Πρῶτον μὲν οὖν τῆς κεφαλῆς κεῖται, τὴν θέσιν ἐν τῷ πρόσθεν ἔχων ὁ ἐγκέφαλος· ὁμοίως δὲ τοῖς ἄλλοις ζώοις, ὅσα ἔχει τοῦτο τὸ μόριον· ἔχει δὲ ἅπαντα ὅσα ἔχει αἷμα, καὶ ἔτι τὰ μαλάκια· κατὰ μέγεθος δ' ἔχει ἄνθρωπος πλεῖστον ἐγκέφαλον καὶ ὑγρότατον. Ὑμένες δὲ αὐτὸν δύο περιέχουσιν· ὁ μὲν περὶ τὸ ὀστοῦν ἰσχυρότερος· ὁ δὲ περὶ αὐτὸν ἐγκέφαλον ἥττων ἐκείνου. Διφυὴς δ' ἐν πᾶσίν ἐστιν ὁ ἐγκέφαλος, καὶ ἐπὶ τούτου ἡ καλουμένη παρεγκεφαλὶς ἔσχατον, ἑτέραν ἔχουσα τὴν μορφὴν, καὶ κατὰ τὴν ἁφὴν, καὶ κατὰ τὴν ὄψιν. Τὸ δ' ὄπισθεν τῆς κεφαλῆς κενὸν καὶ κοῖλον πᾶσιν, ὡς ἑκάστοις ὑπάρχει μέγεθος· ἔνια μὲν γὰρ μεγάλην ἔχει τὴν κεφαλὴν, τὸ δ' ὑποκείμενον τοῦ προσώπου μόριον ἔλαττον, ὅσα στρογγυλοπρόσωπα· τὰ δὲ τὴν μὲν κεφαλὴν μικρὰν, τὰς δὲ σιαγόνας μακράς· οἷον τὸ τῶν λοφούρων γένος πᾶν. Ἄναιμος δ' ὁ ἐγκέφαλος ἅπασι, καὶ οὐδεμίαν ἔχων ἐν αὑτῷ φλέβα, καὶ θιγγανόμενος κατὰ φύσιν ψυχρός. Ἔχει δ' ἐν τῷ μέσῳ ὁ τῶν πλείστων πᾶς, κοῖλόν τι μικρόν· ἡ δὲ περὶ αὐτὸν μῆνιγξ φλεβώδης ἐστίν. Ἔστι δ' ἡ μῆνιγξ ὑμὴν δερματικὸς, ὁ περιέχων τὸν ἐγκέφαλον. Ὑπὲρ δὲ τὸν ἐγκέφαλον, λεπτότατον ὀστοῦν καὶ ἀσθενέστατον τῆς κεφαλῆς ἐστιν, ὃ καλεῖται βρέγμα. Φέρουσι δ' ἐκ τοῦ ὀφθαλμοῦ τρεῖς πόροι εἰς τὸν ἐγκέφαλον· ὁ μὲν μέγιστος καὶ ὁ μέσος εἰς τὴν παρεγκεφαλίδα· ὁ δ' ἐλάχιστος εἰς αὐτὸν τὸν ἐγκέφαλον· ἐλάχιστος δ' ἐστὶν, ὁ πρὸς τῷ μυκτῆρι μάλιστα. Οἱ μὲν οὖν μέγιστοι παράλληλοί εἰσι, καὶ οὐ συμπίπτουσιν· οἱ δὲ μέσοι συμπίπτουσι· δῆλον δὲ τοῦτο μάλιστα ἐπὶ τῶν ἰχθύων· καὶ ἐγγύτερον οὗτοι τοῦ ἐγκεφάλου, ἢ οἱ μεγάλοι· οἱ δὲ ἐλάχιστοι, πλεῖστόν τε ἀπήρτηνται ἀλλήλων, καὶ οὐ συμπίπτουσιν.

Nous avons décrit les parties extérieures du corps humain, dont le nom XVI.
& la disposition sont d'ailleurs, comme nous l'avons observé, assez connus 17.
par l'habitude continuelle de les voir ; habitude qui a fait donner à chaque partie son nom propre. Il n'en est pas de même des parties intérieures de l'Homme : comme elles nous sont moins familieres que celles des Animaux, il faut, pour les connoître, les comparer à celles des Animaux dont la nature se rapproche de la nature de l'Homme.

Ce que l'on trouve d'abord en ouvrant la tête, c'est le cerveau; il est placé dans la partie antérieure. Les Animaux qui ont un cerveau, c'est-à-dire, tous ceux qui ont du sang, & encore ceux du genre des mollusques, l'ont généralement placé de la même maniere : mais le cerveau de l'Homme est beaucoup plus considérable que celui des autres Animaux, proportionnellement à la grandeur de son corps ; il est aussi plus humide. Le cerveau est enveloppé de deux membranes; celle qui est du côté du crâne est plus forte; l'autre, qui le touche immédiatement, est moins forte. Le cerveau est toujours composé de deux lobes, indépendamment du cervelet, qui est placé au dessous, & dont la forme paroît, soit à la vue, soit au toucher, différente de celle du cerveau. Le derriere de la tête est creux & vuide dans tous les Animaux, mais plus ou moins selon le volume de leur tête. Les Animaux, dont la face est ronde, ont la tête grosse, & la partie de leur face qui forme le dessous de la tête, petite. Tous ceux au contraire qui portent un toupet de crins, ont la tête petite, & les machoires allongées. Le cerveau a d'ordinaire un petit vuide dans le milieu de sa masse; sa substance est naturellement froide au toucher, & jamais on ne trouve ni sang ni veines dans son intérieur : mais la membrane qui l'enveloppe est semée de veines. On appelle cette membrane *meninge*; elle est de la nature de la peau. La partie du crâne qui couvre le cerveau, & qu'on nomme la fontanelle, est la plus mince & la plus foible de cette voûte osseuse. De chaque œil il part trois conduits qui se dirigent vers le cerveau : deux de ces conduits, savoir le plus grand & celui qui est d'une grandeur moyenne, vont rendre au cervelet. Le plus petit des trois se porte dans l'intérieur du cerveau. Ce conduit, qui est le plus petit, est le plus voisin du nez : les deux conduits qui sont les plus grands, sortent parallelement de chaque œil, & ne se rencontrent point; les deux conduits moyens sont coïncidents, ce qui est sensible sur-tout dans les poissons, & ils s'approchent davantage du cerveau que les premiers ; enfin les deux plus petits, loin de se réunir, s'écartent considérablement l'un de l'autre.

Εντὸς δὲ τοῦ αὐχένος, ὅ τε οἰσοφάγος καλούμενός ἐστιν, ἔχων τὴν ἐπωνυμίαν ἀπὸ τοῦ μήκους καὶ τῆς στενότητος, καὶ ἡ ἀρτηρία. Πρότερον δὲ τῇ θέσει ἡ ἀρτηρία κεῖται τοῦ οἰσοφάγου, ἐν πᾶσι τοῖς ἔχουσιν αὐτήν· ἔχει δὲ ταύτην πάντα, ὅσαπερ καὶ πνεύμονα ἔχει. Εστι δ᾽ ἡ μὲν ἀρτηρία χονδρώδης τὴν φύσιν, καὶ ὀλίγαιμος, πολλοῖς λεπτοῖς φλεβίοις περιεχομένη· κεῖται δ᾽ ἐπὶ μὲν τὰ ἄνω πρὸς τὸ στόμα, κατὰ τὴν τῶν μυκτήρων σύντρησιν εἰς τὸ στόμα· καὶ ὅταν πίνοντες ἀνασπάσωσί τι τοῦ ποτοῦ, χωρεῖ ἐκ στόματος διὰ τῶν μυκτήρων ἔξω. Μεταξὺ δ᾽ ἔχει τῶν τρήσεων, τὴν ἐπιγλωττίδα καλουμένην, ἐπιπτύσσεσθαι δυναμένην ἐπὶ τὸ τῆς ἀρτηρίας τρῆμα τὸ εἰς τὸ στόμα τεῖνον· ταύτῃ δὲ τὸ πέρας συνήρτηται τῆς γλώττης. Επὶ δὲ θάτερα καθήκει εἰς τὸ μεταξὺ τοῦ πνεύμονος· εἶτα ἀπὸ τούτου σχίζεται εἰς ἑκάτερον τῶν μερῶν τοῦ πνεύματος· θέλει γὰρ εἶναι διμερὴς ὁ πνεύμων ἐν ἅπασι τοῖς ἔχουσιν αὐτόν. Αλλ᾽ ἐν μὲν τοῖς ζωοτόκοις οὐχ ὁμοίως ἡ διάστασις φανερὰ, ἥκιστα δ᾽ ἐν ἀνθρώπῳ· ἔστι δ᾽ οὐ πολυσχιδὴς ὁ τοῦ ἀνθρώπου, ὥσπερ ἐνίων ζωοτόκων, οὐδὲ λεῖος, ἀλλ᾽ ἔχει ἀνωμαλίαν. Εν δὲ τοῖς ᾠοτόκοις, οἷον ὄρνισι καὶ τῶν τετραπόδων ὅσα ᾠοτόκα, πολὺ τὸ μέρος ἑκάτερον ἀπ᾽ ἀλλήλων ἔσχισται, ὥστε δοκεῖν δύο ἔχειν πνεύμονας· καὶ ἀπὸ μιᾶς δύο ἐστὶ μόρια τῆς ἀρτηρίας, εἰς ἑκάτερον τὸ μέρος τείνοντα τοῦ πνεύμονος· συνήρτηται δὲ καὶ τῇ μεγάλῃ φλεβὶ, καὶ τῇ ἀορτῇ καλουμένῃ. Φυσωμένης δὲ τῆς ἀρτηρίας, διαδίδωσιν εἰς τὰ κοῖλα μέρη τοῦ πνεύμονος τὸ πνεῦμα. Ταῦτα δὲ διαφύσεις ἔχει χονδρώδεις εἰς ὀξὺ συνηκούσας· ἐκ δὲ τῶν διαφύσεων τρήματα διὰ παντός ἐστι τοῦ πνεύμονος, ἐκ μειζόνων εἰς ἐλάττω διαδιδόμενα. Συνήρτηται δὲ καὶ ἡ καρδία τῇ ἀρτηρίᾳ, πιμελώδεσι καὶ χονδρώδεσι καὶ ἰνώδεσι δεσμοῖς· ᾗ δὲ συνήρτηται κοῖλόν ἐστι. Φυσωμένης δὲ τῆς ἀρτηρίας, ἐν ἐνίοις μὲν οὐ κατάδηλον ποιεῖ, ἐν δὲ τοῖς μείζοσι τῶν ζῴων δῆλον ὅτι εἰσέρχεται τὸ πνεῦμα εἰς αὐτήν. Η μὲν οὖν ἀρτηρία τοῦτον ἔχει τὸν τρόπον, καὶ δέχεται

Le

Le cou renferme ce qu'on appelle l'œsophage, partie à laquelle on donne encore un autre nom qui caractérise ce canal long & étroit, & la trachée artere. La trachée, dans tous les Animaux qui en ont une, est sur le devant, relativement à l'œsophage, & ce sont tous ceux qui ont un poumon qui ont une trachée artere. La trachée est un conduit cartilagineux qui a peu de sang, & est seulement environné d'un grand nombre de petites veines. Sa partie supérieure prend naissance dans la bouche, au-dessous de l'ouverture qui communique aux narines : c'est pour cela qu'il arrive que, quand en buvant on tire en haut quelques gouttes de la liqueur, elles sortent par le nez. Entre ces ouvertures est l'épiglotte, destinée à couvrir, en se repliant, l'ouverture de la trachée dans la bouche. La trachée artere est attachée à l'extrémité de la langue, & de là elle descend entre les deux parties du poumon : ensuite elle se partage en deux branches, une pour chacun des deux lobes qui composent ce viscere. Le poumon, dans tous les Animaux qui en ont un, est partagé en deux lobes, mais cette division n'est pas également sensible dans tous les vivipares, & elle l'est moins dans l'Homme que dans tout autre : le poumon de l'Homme n'est pas déchiqueté comme celui de quelques vivipares, & la surface n'en est pas lisse, mais inégale. La distinction des deux lobes est très marquée dans les ovipares, c'est-à-dire dans les oiseaux, & dans ceux des quadrupedes qui sont ovipares ; il semble qu'ils ayent réellement deux poumons : la trachée unique, dans son principe, se divise en deux pour rendre à chacune de ces parties du poumon. Le poumon est attaché aussi à la veine cave & à l'aorte. Lorsqu'on souffle dans la trachée artere, l'air se répand dans les cavités du poumon : ce sont autant de vesicules cartilagineuses qui se terminent en pointe & qui sont percées de l'une à l'autre dans toute la cavité de ce viscere, où elles vont toujours en diminuant. Le cœur encore est attaché à la trachée artere par des ligamens gras, fibreux & cartilagineux : ces ligamens sont creux. Si l'on souffle dans la trachée artere, on voit passer l'air jusques dans le cœur : cette observation est à la vérité plus difficile à faire dans certains Animaux, mais le passage est manifeste dans les gros Animaux. Voilà de quelle maniere la trachée artere est disposée. Au reste son unique destination est de laisser entrer & sortir l'air : elle n'admet aucun aliment

μόνον τὸ πνεῦμα καὶ ἀφίησιν, ἄλλο δ' ὐδὲν, ὔτε ξηρὸν, ὔθ' ὑγρὸν, ἢ πόνον παρέχει ἕως ἂν ἐκβήξῃ τὸ κατελθόν.

19. Ο δὲ στόμαχος ἤρτηται μὲν ἄνωθεν ἀπὸ τῦ στόματος, ἐχόμμος τῆς ἀρτηρίας, συνεχὴς ὢν πρός τε ῥάχιν κὴ τ̃ ἀρτηρίαν, ὑμμώδεσι δεσμοῖς· τελευτᾷ δὲ διὰ τῦ διαζώματος εἰς τ̃ κοιλίαν, σαρκώδης ὢν τὴν φύσιν, καὶ τάσιν ἔχων καὶ ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος. Η δὲ κοιλία ἡ τῦ ἀνθρώπου, ὁμοία τῇ κυνείᾳ ἐςὶν, ὐ πολλῷ γὰρ τῦ ἐντέρου μείζων, ἀλλ' ἐοικυῖα, οἱονεὶ ἔντερον εὖρος ἔχον· εἶτα ἔντερον ἁπλῦν εἰλιγμένον, εἶτα ἔντερον ἐπιεικῶς πλατύ· ἡ δὲ κάτω κοιλία, ὁμοία τῇ ὑείᾳ· πλατεῖά τε γάρ ἐςι, καὶ τὸ ἀπὸ ταύτης πρὸς τὴν ἕδραν παχὺ κὴ βραχύ. Τὸ δ' ἐπίπλοον ἀπὸ μέσης τῆς κοιλίας ἤρτηται· ἔςι δὲ τὴν φύσιν ὑμὴν πιμελώδης, ὥσπερ καὶ τοῖς ἄλλοις τοῖς μονοκοιλίοις κὴ ἀμφόδουσιν. Υπὲρ δὲ τῶν ἐντέρων, τὸ μεσεντέριον· ὑμμῶδες τῦτο κὴ πλατὺ, κὴ πῖον γίνεται. Εξήρτηται δὲ ἐκ τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀορτῆς, δι' αὐτῦ φλέβες πολλαὶ καὶ πυκναὶ, κατατείνυσαι πρὸς τὴν τ̃ ἐντέρων φύσιν, ἄνωθεν ἀρξάμμαι μέχρι κάτω.

20. XVII. Τὰ μὲν ὖν περὶ τὸν στόμαχον καὶ τὴν ἀρτηρίαν, ὕτως ἔχει, καὶ τὰ περὶ τὴν κοιλίαν. Η δὲ καρδία ἔχει μὲν τρεῖς κοιλίας· κεῖται δ' ἀνωτέρω τῦ πνεύμονος κατὰ τ̃ σχίσιν τῆς ἀρτηρίας. Εχει δ' ὑμένα πιμελώδη καὶ παχὺν ῃ̃ προσπέφυκε τῇ φλεβὶ τῇ μεγάλῃ, καὶ τῇ ἀορτῇ· κεῖται δὲ τὰ ὀξέα κατὰ τὸ στῆθος ὁμοίως ἁπάντων τ̃ ζώων, ὅσα ἔχει στῆθος. Πᾶσι δ' ὁμοίως κὴ τοῖς ἔχυσι κὴ τοῖς μὴ ἔχυσι τῦτο τὸ μόριον, εἰς τὸ πρόσθεν ἔχει ἡ καρδία τὸ ὀξύ· λάθοι δ' ἂν πολλάκις, διὰ τὸ μεταπίπτειν διαιρυμένον· τὸ δὲ κυρτὸν αὐτῆς ἐςιν ἄνω· ἔχει δὲ τὸ ὀξὺ σαρκῶδες ἐπὶ πολὺ, καὶ πυκνὸν, καὶ ἐν τοῖς κοίλοις αὐτοῖς νεῦρα ἔνεςι. Κεῖται δὲ τ̃ θέσιν ἐν μὲν τοῖς ἄλλοις κατὰ μέσον τῦ στήθους, ὅσα ἔχει στῆθος· τοῖς δ' ἀνθρώποις, ἐν τοῖς ἀριστεροῖς μᾶλλον, μικρὸν τῆς διαιρέσεως τ̃ μαστῶν ἐγκλίνυσα εἰς τὸν ἀριστερὸν μαστὸν, ἐν τῷ ἄνω

ni ſec ni liquide, ou, s'il y entre quelque corps étranger, on ſouffre juſqu'à ce qu'en touſſant la trachée s'en ſoit délivrée.

L'œſophage eſt attaché par ſa partie ſupérieure à la bouche : il ſuit la trachée artere, & eſt retenu par des ligaments membraneux le long de ce canal & de l'épine du dos. Il traverſe le diaphragme & vient aboutir à l'eſtomac. Sa ſubſtance charnue peut s'étendre tant ſur la longueur que ſur la largeur. L'eſtomac de l'Homme eſt ſemblable, pour la forme, à celui du chien, n'étant pas beaucoup plus grand que ne le ſeroit un inteſtin plus large que les autres. L'eſtomac eſt ſuivi du conduit inteſtinal qui eſt unique, mais qui forme pluſieurs contours, & ſe termine par une partie d'une largeur convenable. La maſſe des inteſtins de l'Homme reſſemble à celle des inteſtins du porc : elle s'étend ſur la largeur, & la partie qui ſe trouve entre le total de cette maſſe & le ſiege eſt groſſe & courte. L'épiploon pend du milieu de l'eſtomac en bas. C'eſt une membrane naturellement graſſe, qui ſe trouve ſituée de même dans tous les Animaux, dont les deux machoires ſont également garnies de dents, & qui n'ont qu'un eſtomac. Sur les inteſtins eſt le méſentere, partie également membraneuſe, large, & ſuſceptible de devenir graſſe. Le méſentere eſt traverſé d'un grand nombre de veines aſſez fortes, qui prennent leur naiſſance de la veine cave & de l'aorte, & qui le traverſant, ſe répandent le long des inteſtins, depuis le haut juſqu'en bas. 19.

De la deſcription de l'œſophage, de la trachée artere, & de l'eſtomac, paſſons à celle du cœur. Il renferme trois cavités, & eſt placé vers la partie ſupérieure du poumon, près de la bifurcation de la trachée artere. Une membrane graſſe & épaiſſe dont il eſt environné, l'attache à la veine cave & à l'aorte. La pointe du cœur eſt tournée vers la partie antérieure de la poitrine, dans tous les Animaux qui ont une poitrine, & dans ceux même qui n'ont point de poitrine, la pointe du cœur eſt toujours tournée vers la partie antérieure du corps ; mais ſouvent on ſe trompe ſur la ſituation du cœur, parce qu'il ſe dérange lorſqu'on diſſéque l'Animal. La portion convexe du cœur eſt en haut, ſa pointe eſt preſque entierement charnue & compacte, ſes cavités renferment des nerfs. L'Homme a le cœur placé plus à gauche qu'à droite, & il incline un peu vers le ſein gauche dans la partie ſupérieure de la poitrine : les autres animaux l'ont préciſément au milieu de leur poitrine, lorſque cette partie ne leur manque pas. La groſſeur du cœur n'eſt pas 20. XVII.

μέρει τȣ̃ ςήθȣς. Καὶ ȣ̓́τε μεγάλη· τό τε ὅλον αὐτῆς εἶδος ȣ̓ προμηκές ἐςιν, ἀλλὰ ςρογγυλώτερον, πλὴν τὸ ἄκρον εἰς ὀξὺ συνῆκται. Εχει δὲ κοιλίας τρεῖς, ὥσπερ εἴρηται· μεγίςην μὲν τὴν ἐν τοῖς δεξιοῖς, ἐλαχίςην δὲ τὴν ἐν τοῖς ἀριςεροῖς· μέσην δὲ μεγέθει τὴν ἐν τοῖς ἀνὰ μέσον· καὶ εἰσὶν εἰς τὸν πνεύμονα τετρημέναι πᾶσαι. Αμφοτέρας δὲ ἔχει τὰς δύο μικρὰς, καὶ εἰς τὸν πνεύμονα τετρημένας ἁπάσας· καταδηλον δὲ κατὰ μίαν τῶν κοιλιῶν. Κάτωθεν ἐκ τῆς προσφύσεως, κατὰ μὲν τὴν μέγιςην κοιλίαν, ἐξήρτηται τῇ μεγίςῃ φλεβὶ, πρὸς ἣν καὶ τὸ μεσεντέριόν ἐςι· κατὰ δὲ τὴν μέσην, τῇ ἀορτῇ.

Φέρȣσι δὲ καὶ εἰς τὸν πνεύμονα πόροι ἀπὸ τῆς καρδίας, καὶ σχίζονται τὸν αὐτὸν τρόπον ὅνπερ ἡ ἀρτηρία, κατὰ πάντα τὸν πνεύμονα παρακολȣθȣ̃ντες τοῖς ἀπὸ τῆς ἀρτηρίας. Επάνω δ' εἰσὶν οἱ ἀπὸ τῆς καρδίας πόροι· ȣ̓δεὶς δέ ἐςι κοινὸς πόρος, ἀλλὰ διὰ τὴν σύναψιν δέχονται τὸ πνεῦμα, καὶ τῇ καρδίᾳ διαπέμπουσι. Φέρει γὰρ ὁ μὲν ἐπὶ τὸ δεξιὸν κοῖλον τῶν πόρων, ὁ δ' εἰς τὸ ἀριςερόν. Περὶ δὲ τῆς φλεβὸς τῆς μεγάλης καὶ τῆς ἀορτῆς, κατ' αὐτὰς κοινῇ περὶ ἀμφοτέρων ἐροῦμεν ὕςερον. Αἷμα δὲ πλεῖςον μὲν ὁ πνεύμων ἔχει τῶν ἐν τοῖς ζώοις μορίων, τοῖς ἔχουσί τε πνεύμονα καὶ ζωοτοκοῦσιν ἐν αὐτοῖς τε καὶ ἐκτός. Απας μὲν γάρ ἐςι σομφός· παρ' ἑκάςην δὲ σύριγγα πόροι φέρουσι τῆς μεγάλης φλεβός· ἀλλ' οἱ νομίζοντες εἶναι κενὸν, διηπάτηνται, θεωρȣ̃ντες τȣ̀ς ἐξαιρȣμένȣς ἐκ τῶν διαιρȣμένων ζώων, ὧν εὐθέως ἐξελήλυθε τὸ αἷμα ἀθρόον. Τῶν δ' ἄλλων σπλάγχνων, ἡ καρδία μόνον ἔχει αἷμα· καὶ ὁ μὲν πνεύμων ȣ̓κ ἐν ἑαυτῷ, ἀλλ' ἐν ταῖς φλεψίν· ἡ δὲ καρδία ἐν ἑαυτῇ. Εν ἑκάςῃ γὰρ ἔχει αἷμα τῶν κοιλιῶν· λεπτότατον δὲ τὸ ἐν τῇ μέσῃ.

21. Υπὸ δὲ τὸν πνεύμονά ἐςι τὸ διάζωμα τὸ τȣ̃ θώρακος, αἱ καλούμεναι φρένες, πρὸς μὲν τὰ πλευρὰ καὶ τὰ ὑποχόνδρια καὶ τὴν ῥάχιν συνηρτημέναι· ἐν μέσῳ δ' ἔχει τὰ λεπτὰ καὶ ὑμενώδη·

considérable : sa forme n'est pas allongée, elle est plutôt arrondie, si ce n'est que son extrémité se termine en pointe. Nous avons déja dit que le cœur a trois cavités ; celle qui est à droite est grande ; celle du côté gauche est petite : la troisiéme, placée entre ces deux premieres, est moyenne. Elles communiquent toutes au poumon, & par conséquent les deux petites cavités aussi-bien que la grande, quoique cette communication ne soit fort sensible qu'à l'égard d'une seule. Le cœur, près de sa plus grande cavité & dans sa partie inférieure, relativement à sa position, est attaché à la veine cave, le long de laquelle est aussi le mésentere ; près de sa cavité moyenne il est attaché à l'aorte.

Il part du cœur des vaisseaux qui se portent au poumon, & dont les rameaux se divisant comme ceux de la trachée artere, les suivent exactement, toujours situés au-dessus d'eux, & parcourent la totalité du poumon. Les rameaux de la trachée artere n'ont aucune communication avec ces vaisseaux : mais par le contact réciproque les vaisseaux qui viennent du cœur reçoivent l'air & le font passer au cœur, où leurs troncs s'ouvrent, l'un dans la cavité droite, l'autre dans la cavité gauche. Nous décrirons ailleurs la veine cave & l'aorte, & nous parlerons dans un même lieu de ce qui regarde chacune d'elles. De toutes les parties du corps, le poumon dans les Animaux qui en ont un & qui sont vraiment vivipares, est celle qui contient le plus de sang, parce que sa substance est entiérement spongieuse, & qu'il n'y a point de vésicule où il ne se porte quelque ramification de la veine cave : mais lorsqu'on ouvre un Animal, & qu'on lui enleve le poumon, le sang en sort aussi-tôt avec précipitation ; c'est ce qui a induit en erreur ceux qui ont cru que le poumon étoit vuide. Le cœur est, entre les autres visceres, le seul qui ait du sang : le poumon n'a point de sang dans lui-même, mais seulement dans les vaisseaux qui le parcourent ; au lieu que le cœur a du sang en lui-même & dans chacune de ses cavités. Le sang le plus pur se trouve dans la cavité du milieu.

Au dessous du poumon est une cloison qui sépare la poitrine du bas ven- 21.
tre : on l'appelle le diaphragme. Il est attaché aux côtes, aux hypocondres, & à l'épine du dos. Son milieu est mince & membraneux : il est percé de

ἔχει δὲ καὶ δι' ἑαυτοῦ φλέβας τεταμένας. Εἰσὶ δὲ αἱ τοῦ ἀνθρώπου φλέβες παχεῖαι, ὡς κατὰ λόγον τοῦ ἀνθρωπίνου σώματος.

22. Υπὸ δὲ τὸ διάζωμα, ἐν μὲν τοῖς δεξιοῖς κεῖται τὸ ἧπαρ, ἐν δὲ τοῖς ἀριστεροῖς ὁ σπλὴν, ὁμοίως ἐν ἅπασι τοῖς ἔχουσι ταῦτα τὰ μόρια κατὰ φύσιν, καὶ μὴ τερατωδῶς· ἤδη γὰρ ὦπται μετηλλαχότα τὴν τάξιν ἔν τισι τῶν τετραπόδων· συνήρτηται δὲ τῇ κάτω κοιλίᾳ κατὰ τὸ ἐπίπλοον. Τὴν δ' ὄψιν ἐστὶν ὁ τοῦ ἀνθρώπου σπλὴν στενὸς καὶ μακρὸς, ὅμοιος τῷ ὑείῳ. Τὸ δ' ἧπαρ, ὡς μὲν ἐπιτοπολὺ καὶ ἐν τοῖς πλείστοις, οὐκ ἔχει χολήν· ἐπ' ἐνίοις δὲ ἔπεστι· στρογγύλον δ' ἐστὶ τὸ τοῦ ἀνθρώπου ἧπαρ, καὶ ὅμοιον τῷ βοείῳ· συμβαίνει δὲ τοῦτο καὶ ἐν τοῖς ἱερείοις· οἷον ἐν μὲν τόπῳ τινὶ τῆς ἐν Εὐβοίᾳ Χαλκιδικῆς, οὐκ ἔχει τὰ πρόβατα χολήν· ἐν δὲ Νάξῳ, πάντα σχεδὸν τὰ τετράποδα τοσαύτην ὥστε ἐκπλήττεσθαι τοὺς θύοντας τῶν ξένων, οἰομένους αὐτῶν ἴδιον εἶναι τὸ σημεῖον, ἀλλ' οὐ φύσιν αὐτῶν εἶναι ταύτην. Προσπέφυκε δὲ τῇ μεγάλῃ φλεβὶ τὸ ἧπαρ, τῇ δ' ἀορτῇ οὐ κοινωνεῖ· διὰ γὰρ τοῦ ἥπατος διέχει ἡ ἀπὸ τῆς μεγάλης φλεβὸς φλέψ· ᾗ αἱ καλέμεναι πύλαι εἰσὶ τοῦ ἥπατος. Συνήρτηται δὲ καὶ ὁ σπλὴν τῇ μεγάλῃ φλεβὶ μόνον· τείνει γὰρ ἀπ' αὐτῆς φλὲψ εἰς τὸν σπλῆνα.

23. Μετὰ δὲ ταῦτα οἱ νεφροὶ πρὸς αὐτῇ τῇ ῥάχει κεῖνται, τὴν φύσιν ὄντες τοῖς βοείοις ὅμοιοι. Ανώτερος δὲ ὁ δεξιός ἐστιν ἐν πᾶσι τοῖς ζώοις τοῖς ἔχουσι νεφροὺς, καὶ ἐλάττω δὲ πιμελὴν ἔχει τοῦ ἀριστεροῦ, καὶ αὐχμηρότερος ὁ δεξιός. Εν πᾶσι δ' ἔχει ὁμοίως τοῖς ἄλλοις καὶ τοῦτο. Φέρουσι δὲ εἰς αὐτοὺς πόροι ἔκ τε τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀορτῆς, πλὴν οὐκ εἰς τὸ κοῖλον. Εχουσι γὰρ οἱ νεφροὶ ἐν μέσῳ κοῖλον, οἱ μὲν μεῖζον, οἱ δὲ ἔλαττον, πλὴν οἱ τῆς φώκης· οὗτοι δ' ὅμοιοι τοῖς βοείοις ὄντες, στερεώτατον πάντων εἰσίν. Οἱ δὲ πόροι οἱ τείνοντες εἰς αὐτοὺς, εἰς τὸ σῶμα καταναλίσκονται τῶν νεφρῶν· σημεῖον δὲ ὅτι οὐ περαίνουσι, τὸ μὴ ἔχειν αἷμα, μηδὲ πήγνυσθαι ἐν αὐτοῖς. Εχουσι δὲ κοιλίαν, ὥσπερ

plusieurs ouvertures pour laisser un passage aux veines qui le traversent. Observez que dans l'Homme les veines sont grosses, eu égard aux proportions de son corps.

Sous le diaphragme, à droite, est le foie : à gauche, la rate. Tous les 22.
Animaux qui ont un foie & une rate, les ont ainsi placés, selon l'ordre de la nature, & hors les cas de prodige; car on a vu dans quelques quadrupedes que la disposition de ces parties étoit renversée. Le foie & la rate sont attachés avec les intestins, auprès de l'épiploon. L'Homme a la rate longue & étroite, elle est semblable à celle du porc; son foie est rond, & il ressemble à celui du bœuf. La plupart des Animaux n'ont ordinairement point de fiel dans le foie, mais quelques-uns en ont, & cette variété se remarque aussi dans les victimes. Il y a un canton du territoire de Chalcis dans l'isle d'Eubée, où les brebis n'ont point de fiel; dans l'isle de Naxe au contraire, presque tous les quadrupedes ont la véficule du fiel si grosse, que les étrangers qui viennent y faire des sacrifices, en sont frappés : ils imaginent que c'est un présage particulier pour eux, parce qu'ils ignorent que tel est l'état naturel de ces Animaux. Le foie ne communique point à l'aorte, mais il est uni à la veine cave par un rameau sortant de cette veine, & qui le traverse à l'endroit qu'on nomme les portes du foie. La rate n'est également liée qu'à la seule veine cave, par un rameau qu'elle reçoit de cette veine.

Les reins viennent ensuite : ils sont placés auprès de l'épine du dos, & ils 23.
ressemblent par leur formation à ceux du bœuf. Le rein droit est toujours plus élevé que le gauche; il est aussi plus sec & moins gras : ces observations s'appliquent à tous les Animaux qui ont des reins. Les reins du phoque sont les plus compacts, quoique semblables d'ailleurs à ceux du bœuf, & on ne trouve point au milieu cette cavité qui est dans tous les autres, où elle varie seulement pour la grandeur. Des rameaux de la veine cave & de l'aorte se portent aux reins, mais ils s'absorbent dans la substance même du rein, & ne pénétrent point jusqu'à leur cavité : la preuve en est qu'on n'y trouve point de sang, ni d'autre liqueur susceptible de coagulation. Cette cavité est petite dans l'Homme, & elle donne naissance à deux conduits assez gros qui se rendent à la vessie; d'autres conduits forts & serrés qui naissent de l'aorte, viennent les joindre. Il sort encore du milieu de chaque rein une veine qui a

εἴρηται, μικράν· ἐκ δὲ τῆς κοίλης τῶν νεφρῶν, φέρουσιν εἰς τὴν κύστιν πόροι δύο νεανικοὶ, καὶ ἄλλοι ἐκ τῆς ἀορτῆς ἰσχυροὶ καὶ συνεχεῖς. Ἐκ μέσου δὲ τῶν νεφρῶν ἑκατέρου, φλὲψ κοίλη καὶ νευρώδης ἐξήρτηται, τείνουσα παρ' αὐτὴν τὴν ῥάχιν, διὰ τῶν στενῶν· εἶτα εἰς ἑκάτερον τὸ ἰσχίον ἀφανίζονται, καὶ πάλιν δῆλαι γίνονται, τεταμέναι πρὸς τὸ ἰσχίον· αὗται δ' αἱ ἀποτομαὶ τῶν φλεβῶν εἰς τὴν κύστιν καθήκουσι. Τελευταία γὰρ ἡ κύστις κεῖται, τὴν μὲν ἐξάρτησιν ἔχουσα τοῖς ἀπὸ τῶν νεφρῶν τεταμένοις πόροις παρὰ τὸν αὐλὸν, τὸν ἐπὶ τὴν οὐρήθραν τείνοντα, καὶ σχεδὸν πάντη κύκλῳ λεπτοῖς καὶ ἰνώδεσιν ὑμενίοις ἐστὶ προσειλημμένη, παραπλησίοις οὖσι τρόπον τινὰ τῷ διαζώματι τοῦ θώρακος. Ἔστι δ' ἡ τοῦ ἀνθρώπου κύστις ἐπιεικῶς ἔχουσα μέγεθος.

42. Πρὸς δὲ τὸν καυλὸν τὸν τῆς κύστεως συνήρτηται τὸ αἰδοῖον, τὸ μὲν ἐξωτάτω τρῆμα, τὸ δὲ συνερρωγὸς εἰς ταὐτὸ, μικρὸν δ' ὑποκάτω. Τὸ μὲν οὖν εἰς τοὺς ὄρχεις τῶν τρημάτων· τὸ δὲ πρὸς τὴν κύστιν, νευρῶδες καὶ χονδρῶδες ὄν. Τούτου δ' ἐξήρτηνται οἱ ὄρχεις τοῖς ἄρρεσι· περὶ ὧν ἐν τοῖς κοινῇ λεγομένοις ἅμα καὶ περὶ τῶν ὑστερῶν διορισθήσεται, πῶς ἔχουσι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ θήλει πάντα πέφυκε. Διαφέρει γὰρ οὐθενὶ τῶν ἔσω, πλὴν ταῖς ὑστέραις· ὧν ἡ μὲν ὄψις θεωρείσθω ἐκ τῆς διαγραφῆς, τῆς ἐν ταῖς ἀνατομαῖς· ἡ δὲ θέσις ἐν τοῖς ἐντέροις· ἐπὶ δὲ τῆς ὑστέρας ἡ κύστις. Λεκτέον δὲ καὶ περὶ ὑστερῶν κοινῇ πασῶν ἐν τοῖς ἑπομένοις· οὔτε γὰρ ὅμοιαι πᾶσιν, οὔθ' ὁμοίως ἔχουσι. Τὰ μὲν οὖν μόρια, καὶ τὰ ἐντὸς, καὶ τὰ ἐκτὸς τοῦ ἀνθρώπου, ταῦτα καὶ τοιαῦτα, καὶ τοῦτον ἔχει τὸν τρόπον.



beaucoup de capacité, & dont les parois ſont nerveuſes : ces veines, après avoir traverſé un paſſage étroit le long de l'épine du dos, diſparoiſſent de chaque côté dans la hanche, reparoiſſent enſuite le long de cette même partie, & s'ouvrent enfin dans la veſſie, qui eſt la derniere des parties contenues dans le bas-ventre. La veſſie eſt attachée aux conduits qui viennent des reins, & qui aboutiſſent vers le canal qui va joindre l'uretre. La veſſie preſque dans toute ſa circonférence, eſt enveloppée de membranes minces & fibreuſes, dont la nature approche de celle du diaphragme. Dans l'Homme la veſſie eſt d'une grandeur convenable.

Le long du col de la veſſie eſt attaché le canal qui porte la liqueur ſéminale, & dont l'orifice s'avance à l'extérieur. L'orifice de l'uretre rend au même point, mais il eſt un peu inférieur. Le premier de ces canaux communique aux teſticules, le ſecond à la veſſie; & celui-ci eſt nerveux & cartilagineux. C'eſt au premier que ſont attachés les teſticules dans les mâles : nous expliquerons leur conformation ailleurs, en même temps que celle de la matrice. Toutes les parties que nous avons décrites ſont les mêmes dans les deux ſexes, l'intérieur de la femme n'étant différent de celui de l'Homme que par la matrice. Il faut voir dans les deſcriptions anatomiques quelle eſt la figure de cette derniere partie; à l'égard de ſa poſition, elle eſt entre les inteſtins, au deſſous de la veſſie. La matrice n'eſt pas conformée de même dans tous les Animaux, mais nous réſervons ce que nous devons en dire à un autre lieu, où nous raſſemblerons toutes les variétés qu'on y remarque, terminant ici le détail des parties, ſoit intérieures, ſoit extérieures, du corps humain; le développement de leur nature, & de l'ordre ſelon lequel elles ſont diſpoſées. 24.





HISTOIRE DES ANIMAUX.

LIVRE SECOND.

Sujet de ce Livre.


ARISTOTE avant de confidérer les différentes parties des Animaux, a établi comme point de comparaifon, l'Homme ; il a décrit dans le premier Livre fes parties tant internes qu'externes. L'objet du fecond Livre eft le détail des parties des Animaux, autres que l'Homme. La defcription des parties extérieures fe préfente la premiere, celle des parties intérieures la fuit. Ce Livre eft ainfi divifé en deux portions principales, dans chacune defquelles Ariftote examine fucceffivement les différens genres d'Animaux : quadrupedes vivipares, quadrupedes ovipares, poiffons, ferpens, oifeaux. Il n'eft queftion ici ni des mollufques, ni des teftacées, ni des cruftacées, ni des infectes : tous ces Animaux n'ayant point de fang, forment une claffe abfolument féparée ; les parties qui les compofent feront développées dans le quatriéme Livre.

Relativement à chacun des genres dont Ariftote s'occupe en cet inftant, il met fous les yeux les membres différens dont la réunion compofe la maffe du corps, les rapports de ces membres entre eux, leur proportion,

enfin ce qui couvre l'enſemble du corps de l'Animal. Pour l'intérieur, il décrit la trachée artere, le poumon, le cœur, le foye, le fiel, la rate, l'eſtomac, & le conduit inteſtinal.

Quelques deſcriptions particulieres interrompent l'uniformité de ces deſcriptions générales. Elles font connoître certains Animaux remarquables par des caracteres ſinguliers : tels que le Singe, l'Eléphant & le Caméléon. Ariſtote réunit ſous un même point de vue, les différens traits qui les peignent & les diſtinguent des autres Animaux.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Β.

1. ΤΩΝ δ' ἄλλων ζώων τὰ μόρια, τὰ μὲν κοινὰ πάντων ἐστίν,
ὥσπερ εἴρηται πρότερον, τὰ δὲ γενῶν τινων. Τὰ αὐτὰ δὲ καὶ ἕτε-
ρά ἐστιν ἀλλήλων, τὸν ἤδη πολλάκις εἰρημένον τρόπον. Σχεδὸν
γὰρ ὅσα γέ ἐστι γένη ἕτερα τῶν ζώων, καὶ τὰ πλεῖστα τῶν μερῶν ἔχει
ἕτερα τῷ εἴδει· καὶ τὰ μὲν κατὰ ἀναλογίαν ἀδιάφορα μόνον, τῷ
γένει δ' ἕτερα· τὰ δὲ τῷ γένει μὲν ταὐτά, τῷ εἴδει δ' ἕτερα·
πολλὰ δὲ τοῖς μὲν ὑπάρχει, τοῖς δ' οὐχ ὑπάρχει.

Τὰ μὲν οὖν τετράποδα καὶ ζωοτοκοῦντα, κεφαλὴν μὲν ἔχει, καὶ
αὐχένα, καὶ τὰ ἐν τῇ κεφαλῇ μόρια ἅπαντα· διαφέρει δὲ τὰς
μορφὰς τῶν μορίων ἕκαστον. Καὶ ὁ μὲν λέων τὸ τοῦ αὐχένος ἔχει
ἓν ὀστοῦν, σφονδύλους δ' οὐκ ἔχει· τὰ δ' ἐντὸς ἀνοιχθεὶς ὅμοια
2. ἔχει ἅπαντα κυνί. Εχει δὲ τὰ τετράποδα ζῶα καὶ ζωοτόκα ἀντὶ
τῶν βραχιόνων, σκέλη πρόσθια· πάντα μὲν τὰ τετράποδα, μά-
λιστα δὲ ἀνάλογον ταῖς χερσὶ τὰ πολυσχιδῆ αὐτῶν· χρῆται γὰρ
πρὸς πολλὰ ὡς χερσί. Καὶ τὰ ἀριστερὰ δ' ἧττον ἔχει ἀπολε-
λυμένα τῶν ἀνθρώπων· πλὴν τοῦ ἐλέφαντος. Οὗτος δὲ τά τε περὶ
τοὺς δακτύλους ἀδιαρθρότερα ἔχει τῶν ποδῶν, καὶ τὰ πρόσθια σκέ-
λη πολλῷ μείζω. Εστι δὲ πενταδάκτυλον, καὶ πρὸς τοῖς ὀπισθίοις
σκέλεσι σφυρὰ ἔχει βραχέα. Εχει δὲ μυκτῆρα τοιοῦτον καὶ τηλι-
κοῦτον, ὥστε ἀντὶ χειρῶν ἔχειν αὐτόν. Πίνει γὰρ καὶ ἐσθίει, ὀρέγων
τούτῳ εἰς τὸ στόμα, καὶ τῷ ἐλεφαντιστῇ ἄνω ὀρέγει τούτῳ καὶ δέν-
δρα ἀνασπᾷ, καὶ διὰ τοῦ ὕδατος βαδίζων τούτῳ ἀναφυσᾷ· τῷ δ'
ἄκρῳ ἐγκλίνει, οὐ κάμπτεται δέ· χονδρῶδες γὰρ ἔχει. Μόνον δὲ καὶ
ἀμφιδέξιον γίνεται τῶν ἄλλων ζώων, ἄνθρωπος.



HISTOIRE DES ANIMAUX.

LIVRE SECOND.

CHEZ les Animaux dont nous avons à parler, après avoir traité de l'Homme, on peut distinguer, comme nous avons déja fait, des parties communes à tous, & d'autres qui appartiennent à certains genres seulement : elles sont les mêmes, ou elles sont différentes, dans le sens que nous avons déja expliqué. En général, entre les Animaux de différent genre, la plûpart des parties ont une forme différente : les unes n'ont entre elles qu'une ressemblance de rapport & d'usage, & sont au fond de genre différent; d'autres sont de même genre, mais de forme différente : beaucoup se trouvent dans certains Animaux, & ne se trouvent pas dans d'autres. I.

Il est commun à tous les quadrupedes vivipares d'avoir une tête, un cou, & les parties qui appartiennent à la tête, mais chacune de ces parties différe de figure. Le cou du lion, par exemple, est formé d'un seul os, & non de plusieurs vertebres : pour les parties internes le lion est en tout semblable au chien. Mais ces mêmes quadrupedes vivipares ont, au lieu de bras, des jambes; cela est vrai de tous les quadrupedes, mais ceux dont l'extrémité des pattes est fendue en plusieurs doigts offrent une plus grande analogie encore avec la main de l'Homme : ils se servent souvent de leurs pattes comme de mains. Les parties du côté gauche sont, dans les quadrupedes, moins libres & moins dégagées que dans l'Homme : il faut excepter l'éléphant, à l'égard duquel on observe d'ailleurs que la division de ses doigts est peu sensible, & que ses jambes de devant sont beaucoup plus grandes que celles de derriere; il a cinq doigts à chaque pied, & aux jambes de derriere des malléoles peu apparentes. Son nez est fait de maniere, & tellement allongé qu'il lui sert de main ; il porte à sa bouche avec son nez ses aliments secs & liquides, il le releve & le tend à son conducteur comme une main, il s'en sert pour saisir les arbres & les arracher ; & lorsqu'il traverse un fleuve, il le tient élevé au dessus de l'eau pour respirer : l'extrémité se courbe facilement, quoique sans articulations, à cause des cartilages dont elle est formée. De tous les Animaux, l'Homme seul peut se servir de sa gauche comme de sa droite. 2.

3. Τῷ δὲ στήθει τῷ τοῦ ἀνθρώπου πάντα τὰ ζῶα ἀνάλογον ἔχει τοῦτο τὸ μόριον, ἀλλ᾽ οὐχ ὅμοιον. Ο μὲν γὰρ, πλατὺ τὸ στῆθος, τὰ δ᾽ ἄλλα στενόν. Μαστοὺς δ᾽ οὐκ ἔχει οὐθὲν ἐν τῷ πρόσθεν, πλὴν ἀνθρώπου· ὁ δ᾽ ἐλέφας ἔχει μὲν μαστοὺς δύο, ἀλλ᾽ οὐκ ἐν τῷ στήθει, ἀλλὰ πρὸς τῷ στήθει.

4. Τὰς δὲ κάμψεις τῶν κώλων καὶ τῶν ἔμπροσθεν καὶ τῶν ὄπισθεν, ὑπεναντίας ἔχουσι καὶ ἑαυταῖς, καὶ ταῖς τοῦ ἀνθρώπου καμπαῖς, πλὴν ἐλέφαντος. Τοῖς μὲν γὰρ ζωοτόκοις τῶν τετραπόδων, κάμπτεται τὰ μὲν πρόσθια εἰς τὸ πρόσθεν, τὰ δὲ ὀπίσθια εἰς τοὔπισθεν, καὶ ἔχουσι τὰ κοῖλα τῆς περιφερείας πρὸς ἄλληλα ἐστραμμένα. Ο δ᾽ ἐλέφας οὐχ οὕτως, ὥσπερ ἔλεγόν τινες, ἀλλὰ συγκαθίζει καὶ κάμπτει τὰ σκέλη, πλὴν οὐ δύναται διὰ τὸ βάρος ἐπ᾽ ἀμφότερα ἅμα, ἀλλ᾽ ἀνακλίνεται ἢ ἐπὶ τὰ εὐώνυμα, ἢ ἐπὶ τὰ δεξιὰ, καὶ καθεύδει ἐν τούτῳ τῷ σχήματι· κάμπτει δὲ τὰ ὀπίσθια σκέλη ὥσπερ ἄνθρωπος.

Τοῖς ᾠοτόκοις δὲ ὥσπερ κροκοδείλῳ, καὶ σαύρᾳ, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ἅπασιν, ἀμφότερα τὰ σκέλη καὶ τὰ πρόσθια καὶ τὰ ὀπίσθια εἰς τὸ πρόσθεν κάμπτεται, μικρὸν εἰς τὸ πλάγιον παρεγκλίνοντα. Ομοίως δὲ καὶ τοῖς ἄλλοις τοῖς πολύποσι· πλὴν τὰ μεταξὺ τῶν ἐσχάτων ἀεὶ ἐπαμφοτερίζει, καὶ τὴν κάμψιν ἔχει εἰς τὸ πλάγιον μᾶλλον.

Ο δ᾽ ἄνθρωπος ἄμφω τὰς καμπὰς τῶν κώλων ἐπὶ τὸ αὐτὸ ἔχει, καὶ ἐξ ἐναντίας· τοὺς μὲν βραχίονας εἰς τοὔπισθεν κάμπτει· πλὴν μικρὸν ἐξελαίσσεται ἐπὶ τὰ πλάγια τὰ ἐντός· τὰ δὲ σκέλη εἰς τοὔμπροσθεν. Εἰς δὲ τὸ ὄπισθεν, τά τε πρόσθια καὶ τὰ ὀπίσθια οὐδὲν κάμπτεται τῶν ζώων. Εναντίως δὲ τοῖς ἀγκῶσι καὶ τοῖς προσθίοις σκέλεσιν ἡ τῶν ὤμων ἔχει καμπὴ πᾶσι· καὶ τῶν ὄπισθεν γονάτων, ἡ τῶν ἰσχίων· ὥστ᾽ ἐπεὶ ὁ ἄνθρωπος τοῖς πολλοῖς ἐναντίως κάμπτει, καὶ οἱ τὰ τοιαῦτα ἔχοντες ἐναντίως.

Par rapport à la poitrine, tous les Animaux ont une partie qui répond à 3.
la poitrine de l'Homme, mais sans y être semblable. Ils l'ont étroite : dans l'Homme elle est large, & lui seul a les mamelles sur le devant de sa poitrine. L'éléphant, à la vérité, a deux mamelles situées auprès de la poitrine, mais elles ne sont pas sur la poitrine même.

Dans tous les Animaux, excepté l'éléphant, la flexion des jambes de de- 4.
vant, & celle des jambes de derriere, sont opposées entre elles, & toutes deux sont contraires à la flexion des membres de l'Homme. Les quadrupedes vivipares fléchissent les jambes de devant en avant, celles de derriere en arriere; de sorte que l'intérieur d'une des courbures regarde l'intérieur de l'autre. Il n'en est pas de même de l'éléphant, ainsi que l'ont avancé quelques-uns; mais il plie les jambes de derriere, comme nous le faisons pour nous asseoir : seulement la pésanteur de son corps l'empêchant de fléchir les deux jarrets en même temps, il se couche ou sur la droite, ou sur la gauche, & prend son sommeil en cette posture. Toujours est-il sûr qu'il plie les jambes de derriere, de même que l'Homme.

Dans les quadrupedes ovipares, le crocodile, le lézard, & autres de ce genre, les jambes, tant de devant que de derriere, se plient en avant, mais un peu sur le côté. Il en est de même des Animaux à plusieurs pieds, si ce n'est que celles de leurs jambes, qui sont entre les premieres & les dernieres, ont toujours un mouvement mitoyen, mais qui cependant penche plus vers le côté.

Dans l'Homme la flexion des cuisses & des bras se fait dans le même sens, & au contraire l'articulation du coude est sur le derriere, de façon néanmoins que le bras se courbe un peu en dedans, au lieu que celle du genou est sur le devant. Dans aucun animal, la flexion des jambes de devant & celle des jambes de derriere, ne se fait l'une & l'autre en arriere. L'articulation, soit du coude chez l'Homme, soit de la jambe de devant chez le quadrupede, est toujours opposée à celle de l'épaule; & de même l'articulation du genou est opposée à celle de la cuisse : de sorte que la même opposition qui se trouve entre l'Homme & le plus grand nombre des Animaux, pour la flexion de l'une de ces parties, se trouve également pour la flexion de l'autre.

Παραπλησίως δὲ τὰς καμπὰς ἔχει καὶ ὁ ὄρνις τοῖς τετράποσι ζώοις. Δίπους γὰρ ὤν, τὰ μὲν σκέλη εἰς τὰ ὄπισθεν κάμπτει· ἀντὶ δὲ τῶν βραχιόνων καὶ σκελῶν τῶν ἔμπροσθεν, πτέρυγας ἔχει, ὧν ἡ κάμψις ἐστὶν εἰς τὸ πρόσθεν.

Η δὲ φώκη ὥσπερ πεπηρωμένον τετράπουν ἐστίν· εὐθὺς γὰρ ἔχει μετὰ τὴν ὠμοπλάτην τοὺς πόδας ὁμοίους μὲν χερσὶν, ὥσπερ καὶ οἱ τῆς ἄρκτου. Πενταδάκτυλοι γάρ εἰσι, καὶ ἕκαστος τῶν δακτύλων καμπὰς ἔχει τρεῖς, καὶ ὄνυχα οὐ μέγαν· οἱ δ' ὀπίσθιοι πόδες, πενταδάκτυλοι μέν εἰσι, καὶ τὰς καμπὰς καὶ τοὺς ὄνυχας ὁμοίους ἔχουσι τοῖς προσθίοις· τῷ δὲ σχήματι παραπλήσιοι ταῖς τῶν ἰχθύων οὐραῖς εἰσιν.

Αἱ δὲ κινήσεις τῶν ζώων, τῶν μὲν τετραπόδων καὶ πολυπόδων, κατὰ διάμετρόν εἰσι, καὶ ἑστᾶσιν οὕτως· ἡ δ' ἀρχὴ ἀπὸ τῶν δεξιῶν πᾶσι. Κατὰ σκέλος δὲ βαδίζουσιν ὅ τε λέων, καὶ αἱ κάμηλοι ἀμφότεραι, αἵ τε Βακτριαναὶ καὶ αἱ Ἀραβίαι. Τὸ δὲ κατὰ σκέλος ἐστὶν, ὅτε οὐ προβαίνει τῷ ἀριστερῷ τὸ δεξιὸν, ἀλλ' ἐπακολουθεῖ.

Εχουσι δὲ τὰ τετράποδα ζῶα, ὅσα μὲν ὁ ἄνθρωπος μόρια ἔχει ἐν τῷ πρόσθεν, κάτω ἐν τοῖς ὑπτίοις· τὰ δὲ ὀπίσθια, ἐν τοῖς πρανέσιν. Ετι δὲ τὰ πλεῖστα κέρκον ἔχει· καὶ γὰρ καὶ ἡ φώκη μικρὰν ἔχει, ὁμοίαν τῇ τῆς ἐλάφου. Περὶ δὲ τῶν πιθηκοειδῶν ζώων, ὕστερον διορισθήσεται.

5. Πάντα δ' ὅσα τετράποδα καὶ ζωοτόκα δασέα, ὡς εἰπεῖν, ἐστὶ, καὶ οὐχ ὥσπερ ὁ ἄνθρωπος, ὀλιγότριχον καὶ μικρότριχον, πλὴν τῆς κεφαλῆς, τὴν δὲ κεφαλὴν δασύτατον τῶν ζώων. Εστι δὲ τῶν μὲν ἄλλων ζώων τῶν ἐχόντων τρίχας, τὰ πρανῆ δασύτερα· τὰ δ' ὕπτια, ἢ λεῖα πάμπαν, ἢ δασέα ἧττον. Ο δ' ἄνθρωπος τοὐναντίον. Καὶ βλεφαρίδας ὁ μὲν ἄνθρωπος ἐπ' ἄμφω ἔχει, καὶ ἐν μασχάλαις ἔχει τρίχας, καὶ ἐπὶ τῆς ἥβης. Τῶν δ' ἄλλων οὐθὲν οὔτε τούτων οὐδέτερον, οὔτε τὴν κάτωθεν βλεφαρίδα, ἀλλὰ κάτωθεν τοῦ βλεφάρου ἐνίοις μαναὶ τρίχες πεφύκασιν.

Les

Les articulations de l'oiseau approchent de celles du quadrupede. Ses jambes, qui sont au nombre de deux, ont leur articulation en arriere : ses aîles, qui répondent aux bras ou aux jambes de devant, ont leur articulation en avant.

Le phoque est comme un quadrupede imparfait. Le pied de devant tient immédiatement à l'épaule, & il ressemble à une main comme celui de l'ours. Il a cinq doigts, chaque doigt a trois jointures & un ongle assez petit. Ses pieds de derriere ont également cinq doigts avec les mêmes jointures, & des ongles comme les doigts de devant, mais la forme de l'ensemble du pied tient d'une queue de poisson.

Les Animaux qui ont quatre pieds ou plus, se meuvent en avançant les jambes diamétralement opposées ; & c'est dans cette attitude qu'ils s'arrêtent. Le pied droit est toujours celui qui commence la marche. Le lion avance pied à pied, ainsi que les chameaux, celui de la Bactriane & celui de l'Arabie, c'est-à-dire, que dans leur marche le pied gauche ne devance pas la trace du pied droit, il ne fait que la suivre.

Les parties que l'Homme a en devant, sont en dessous dans les quadrupedes & tournées vers la terre ; les parties qui sont postérieures dans l'Homme, les quadrupedes les ont tournées vers le ciel. De plus la majeure partie des quadrupedes a une queue ; le phoque même en a une petite semblable à celle du cerf. Par rapport aux Animaux de l'espece du singe, il en sera question ailleurs.

5. On pourroit donner, comme une observation générale, que tous les quadrupedes vivipares sont velus, mais non à la maniere de l'Homme, dont le poil est en petite quantité, foible & court ; excepté sur la tête, qu'il a beaucoup plus velue que les autres Animaux. Dans ceux des Animaux qui ont du poil, le dessus de leur corps en est plus fourni que le dessous : le dessous est, ou absolument nud, ou moins velu que le reste. Dans l'Homme c'est le contraire. L'Homme a aussi des cils aux deux paupieres & du poil soit aux aisselles, soit autour des parties de la génération : nul autre animal n'a de poil en ces endroits, ni de cils à la paupiere inférieure ; seulement il y en a quelques-uns chez lesquels on voit quelques poils, en très-petit nombre, sortir du dessous de cette paupiere.

Αυτῶν δὲ τῶν τετραπόδων καὶ τρίχας ἐχόντων, τῶν μὲν ἅπαν τὸ σῶμα δασὺ, καθάπερ ὑὸς, καὶ ἄρκτου, καὶ κυνός· τὰ δὲ δασύτερα τὸν αὐχένα ὁμοίως πάντῃ, οἷον ὅσα χαίτην ἔχει, ὥσπερ λέων· τὰ δ᾽ ἐπὶ τοῦ πρανεῖ τοῦ αὐχένος, ἀπὸ τῆς κεφαλῆς μέχρι τῆς ἀκρωμίας, οἷον ὅσα λοφιὰν ἔχει, ὥσπερ ἵππος, καὶ ὀρεὺς, καὶ τῶν ἀγρίων καὶ κερατοφόρων βόνασσος. Εχει δὲ καὶ ὁ ἱππέλαφος ἐπὶ τῇ ἀκρωμίᾳ χαίτην, καὶ τὸ θηρίον τὸ ἱππάρδιον ὀνομαζόμενον· ἀπὸ δὲ τῆς κεφαλῆς ἐπὶ τὴν ἀκρωμίαν, λεπτὴν ἑκάτερον· ἰδίᾳ δὲ ὁ ἱππέλαφος πώγωνα ἔχει κατὰ τὸν λάρυγγα. Εστι δ᾽ ἀμφότερα κερατοφόρα καὶ διχηλά· ἡ δὲ θήλεια ἱππέλαφος οὐκ ἔχει κέρατα. Τὸ δὲ μέγεθός ἐστι τούτου τοῦ ζώου, ἐλάφῳ προσεμφερές. Γίνονται δ᾽ οἱ ἱππέλαφοι ἐν Αραχώτοις, οὗπερ καὶ οἱ βόες οἱ ἄγριοι. Διαφέρουσι δ᾽ οἱ ἄγριοι τῶν ἡμέρων, ὅσονπερ οἱ ὗες οἱ ἄγριοι πρὸς τοὺς ἡμέρους· μέλανές τε γάρ εἰσι, καὶ ἰσχυροὶ τῷ εἴδει, καὶ ἐπίγρυποι· τὰ δὲ κέρατα ἐξυπτιάζοντα ἔχουσι μᾶλλον. Τὰ δὲ τῶν ἱππελάφων κέρατα, παραπλήσια τοῖς τῆς δορκάδος ἐστίν. Ο δὲ ἐλέφας, ἥκιστα δασύς ἐστι τῶν τετραπόδων. Ακολουθοῦσι δὲ κατὰ τὸ σῶμα καὶ αἱ κέρκοι δασύτητι καὶ ψιλότητι, ὅσων αἱ κέρκοι μέγεθος ἔχουσιν· ἔνια γὰρ μικρὰν ἔχει πάμπαν.

6. Αἱ δὲ κάμηλοι, ἴδιον ἔχουσι παρὰ τὰ ἄλλα τετράποδα τὸν καλούμενον ὕβον ἐπὶ τῷ νώτῳ. Διαφέρουσι δ᾽ αἱ Βακτριαναὶ τῶν Αραβίων· αἱ μὲν γὰρ δύο ἔχουσιν ὕβους· αἱ δ᾽ ἕνα μόνον. Αλλον δ᾽ ἔχουσιν ὕβον τοιοῦτον, οἷον ἄνω, ἐν τοῖς κάτω· ἐφ᾽ οὗ, ὅταν καταχλιθῇ εἰς γόνατα, ἐστήρικται τὸ ἄλλο σῶμα. Θηλὰς δ᾽ ἔχει τέτταρας ἡ κάμηλος, ὥσπερ βοῦς, καὶ κέρκον ὁμοίαν ὄνῳ, καὶ τὸ αἰδοῖον ὄπισθεν. Καὶ γόνυ δ᾽ ἔχει ἐν ἑκάστῳ σκέλει ἓν, καὶ καμπὰς οὐ πλείους, ὥσπερ λέγουσί τινες, ἀλλὰ φαίνεται διὰ τὴν ὑπόστασιν τῆς κοιλίας. Καὶ ἀστράγαλον ὅμοιον μὲν βοῒ, ἰσχίον δὲ μικρὸν ὡς κατὰ τὸ μέγεθος. Εστι δὲ διχηλὸν καὶ οὐκ ἀμφόδουν· διχηλὸν δὲ ὧδε. Εκ μὲν γὰρ τοῦ ὄπισθεν μικρὸν ἔσχισται,

Les quadrupedes qui ont du poil, ou l'ont égal dans toute la longueur de leur corps, comme le porc, l'ours, le chien ; ou bien ils ont le col plus garni, tantôt dans toute sa circonférence, comme le lion & autres Animaux portant criniere ; tantôt seulement dans la partie supérieure, depuis la tête jusqu'au haut des épaules : tels sont ceux qui portent un toupet de crins, comme le cheval, le mulet, &, entre les Animaux sauvages ayant des cornes, le bonase. Le cheval-cerf, & l'animal féroce appellé cheval-pard ont aussi une criniere près de la naissance des épaules, mais le dessus de leur cou depuis cette partie jusqu'à la tête n'a que peu de crins : le cheval-cerf a de plus une barbe sur le devant du cou. Ils ont tous deux le pied fourchu, & la tête armée de cornes, mais la femelle du cheval-cerf n'en a point. Le cheval-cerf est à-peu-près de la grandeur du cerf : il se trouve dans l'Arachosie, où est aussi le bœuf sauvage, celui-ci differe du bœuf domestique comme le sanglier differe du porc. Le bœuf sauvage est noir, son extérieur annonce plus de force que celui du bœuf domestique, il a le nez un peu recourbé, & les cornes fort renversées : les cornes du cheval-cerf approchent de celles du chevreuil. Le moins velu des quadrupedes est l'éléphant. Les poils de la queue des Animaux du genre dont nous traitons, sont en proportion de la quantité qui couvre le reste du corps, du moins lorsque cette queue a d'ailleurs une certaine grandeur ; car il y a des Animaux qui l'ont tout-à-fait petite.

Une chose qui n'appartient qu'au chameau entre tous les quadrupedes, 6.
c'est la bosse qu'il a sur le dos. Ceux de la Bactriane différent de ceux de l'Arabie, en ce que ces derniers n'ont qu'une bosse ; les premiers en ont deux. Les chameaux ont au dessous du corps une autre bosse de même nature que celle du dos, sur laquelle leur corps pose lorsqu'ils s'agenouillent. Leur queue ressemble à celle de l'âne ; la femelle a quatre mamelons comme la vache ; la verge du mâle est dirigée en arriere. Le chameau n'a qu'un seul jarret à chaque jambe, & non plusieurs comme on le dit : on s'y trompe, parce qu'il a le ventre fort relevé : il a à la jambe un osselet, semblable à celui du bœuf : sa croupe est peu considérable, eu égard à la grandeur de l'animal : sa machoire supérieure n'a point de dents en devant ; son pied est fourchu, mais voici de quelle maniere. Par derriere est une séparation assez peu sensible qui va jusqu'à la seconde jointure des doigts ; par devant, l'extrémité du pied se divise en quatre parties, mais cette division est aussi

μέχρι τῆς δευτέρας καμπῆς τῶν δακτύλων· τὸ δ' ἔμπροσθεν, ἔσχισται μικρὰ, ὅσον ἄχρι τῆς πρώτης καμπῆς τῶν δακτύλων, ἐπ' ἄκρων τέτταρα· καὶ ἐστί τι διὰ μέσου τῶν σχισμάτων, ὥσπερ τοῖς χησίν. Ο δὲ ποὺς ἐστι κάτωθεν σαρκώδης, ὥσπερ καὶ οἱ τῶν ἄρκτων· διὸ καὶ τὰς εἰς πόλεμον ἰούσας ὑποδύουσι καρβατίναις, ὅταν ἀλγήσωσιν.

7. Απαντα δὲ τὰ τετράποδα ὀστώδη τὰ σκέλη ἔχει, καὶ νευρώδη, καὶ ἄσαρκα· ὅλως δὲ καὶ τὰ ἄλλα ζῶα ἅπαντα, ὅσα ἔχει πόδας, ἐκτὸς ἀνθρώπου. Εστι δὲ καὶ ἀνίσχια· καὶ γὰρ οἱ ὄρνιθες ἔτι μᾶλλον τοῦτο πεπόνθασιν· ὁ δ' ἄνθρωπος τοὐναντίον. Σαρκώδη γὰρ ἔχει σχεδὸν μάλιστα τοῦ σώματος τὰ ἰσχία, καὶ τοὺς μηροὺς, καὶ τὰς κνήμας· αἱ γὰρ καλούμεναι γαστροκνημίαι, ἐν ταῖς κνήμαις εἰσὶ σαρκώδεις.

Τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ζωοτόκων τὰ μέν ἐστι πολυσχιδῆ, ὥσπερ αἱ τοῦ ἀνθρώπου χεῖρες καὶ οἱ πόδες· πολυδάκτυλα γὰρ ἔνιά ἐστιν· οἷον λέων, κύων, πάρδαλις· τὰ δὲ δισχιδῆ, καὶ ἀντὶ τῶν ὀνύχων χηλὰς ἔχει, ὥσπερ πρόβατον, καὶ αἲξ, καὶ ἔλαφος, καὶ ὁ ποτάμιος ἵππος· τὰ δὲ ἀσχιδῆ, οἷον τὰ μώνυχα, ὥσπερ ἵππος, καὶ ὀρεύς. Τὸ δὲ τῶν ὑῶν γένος ἐπαμφοτερίζει· εἰσὶ γὰρ καὶ ἐν Ιλλυριοῖς καὶ ἐν Παιονίαις, καὶ ἄλλοθι, μώνυχες ὗες. Τὰ μὲν οὖν διχηλὰ, δύο ἔχει σχίσεις ὄπισθεν· τοῖς δὲ μώνυξι, τοῦτ' ἐστὶ συνεχές.

Εστι δὲ καὶ τὰ μὲν κερατοφόρα, τὰ δ' ἄκερα τῶν ζώων. Τὰ μὲν οὖν πλεῖστα τῶν ἐχόντων κέρατα, διχηλὰ κατὰ φύσιν ἐστὶν, οἷον βοῦς καὶ ἔλαφος, καὶ αἴξ· μώνυχον δὲ καὶ δίκερων, οὐθὲν ἡμῖν ὦπται. Μονοκέρατα δὲ καὶ μώνυχα, ὀλίγα, οἷον ὁ Ινδικὸς ὄνος μονόκερως. Μονόκερων δὲ καὶ διχηλὸν, ὄρυξ. Καὶ ἀστράγαλον δὲ ὁ Ινδικὸς ὄνος ἔχει, τῶν μωνύχων μόνον. Η γὰρ ὗς, ὥσπερ ἐλέχθη πρότερον, ἐπαμφοτερίζει· διὸ καὶ οὐ καλλιαστράγαλόν ἐστι· τῶν δὲ διχηλῶν πολλὰ ἔχει ἀστράγαλον. Πολυσχιδὲς δὲ οὐθὲν

peu marquée que celle de derriere, & elle ne va guere que jusqu'à la premiere jointure des doigts qui sont d'ailleurs unis par une membrane comme le sont ceux de l'oie. Le dessous du pied est charnu, de même que dans l'ours, c'est pourquoi lorsqu'on mene des chameaux à la suite d'une armée, & que le pied leur devient douloureux, on l'enveloppe d'une espece de chaussure.

La jambe des quadrupedes est formée d'os & de nerfs, mais elle n'a 7. point de chair. Cette observation s'étend généralement à tous les Animaux qui ont des pieds, excepté l'Homme. Ils n'ont point non plus de fesses, & cela est principalement sensible dans les oiseaux. Au contraire les fesses, les cuisses & les jambes sont à-peu-près les parties les plus charnues du corps de l'Homme : car la partie de la jambe qu'on appelle le gras de la jambe est de la chair.

Parmi les quadrupedes qui ont du sang & qui sont vivipares, les uns ont les extrémités divisées en plusieurs parties, comme le sont les mains & les pieds de l'Homme; quelques especes d'Animaux ont en effet plusieurs doigts, tels que le lion, le chien, la panthere; d'autres ont le pied divisé seulement en deux parties, & terminé par une pince au lieu d'ongles, telle est la brebis & la chevre : tel le cerf & l'hippopotame; ou enfin ils ont le pied d'une seule piece; ce sont les solipedes, comme le cheval & le mulet. Le porc peut être mis dans l'une & l'autre de ces deux dernieres classes, puisqu'on en voit en Pæonie, en Illyrie & ailleurs qui sont solipedes. Les Animaux qui ont le pied fourchu ont une double fente en arriere, au lieu que dans les solipedes cette partie est d'une seule piece.

On peut encore diviser les mêmes Animaux, en Animaux qui ont des cornes, & Animaux sans cornes. La nature a donné à la plûpart des premiers un pied fourchu, au bœuf par exemple, au cerf, à la chevre. Je n'ai point vu de solipede qui eut deux cornes, mais il en est, quoique en petit nombre, l'âne d'Inde par exemple, qui ont une seule corne : l'oryx a une corne, & il a le pied fourchu. L'âne d'Inde est le seul des solipedes qui ait un osselet, car pour le porc on a déja averti qu'il appartenoit au genre des solipedes & à celui des Animaux qui ont le pied fourchu : par cette raison l'osselet qu'il a n'est pas bien formé. La plûpart des Animaux

ὤπλαι ἔχον ἀστράγαλον, ὥσπερ οὐδ' ἄνθρωπος· ἀλλὰ ἡ μὲν λύγξ, ὅμοιον ἡμιαστραγάλῳ· ὁ δὲ λέων, οἷόνπερ πλάττουσι, λαβυρινθώδες. Πάντα δὲ τὰ ἔχοντα ἀστράγαλον, ἐν τοῖς ὄπισθεν ἔχει σκέλεσιν. Ἔχει δὲ ὀρθὸν τὸν ἀστράγαλον ἐν τῇ καμπῇ, τὸ μὲν πρανὲς ἔξω, τὸ δ' ὕπτιον εἴσω· καὶ τὰ μὲν κῶα ἐντὸς ἐστραμμένα πρὸς ἄλληλα, τὰ δὲ χῖα καλούμενα ἔξω, καὶ τὰς κεραίας ἄνω. Ἡ μὲν οὖν θέσις τῶν ἀστραγάλων τοῖς ἔχουσι πᾶσι, τοῦτον ἔχει τὸν τρόπον. Διχηλὰ δ' ἅμα, καὶ χαίτην ἔχοντα καὶ κέρατα δύο κεκαμμένα εἰς αὑτά, ἐστιν ἔνια τῶν ζώων, οἷον ὁ βόνασσος, ὃς γίνεται περὶ τὴν Παιονίαν καὶ τὴν Μαιδικήν. Πάντα δὲ ὅσα κερατοφόρα, τετράποδά ἐστιν, εἰ μή τι κατὰ μεταφορὰν λέγεται ἔχειν κέρας, καὶ λόγου χάριν, ὥσπερ τοὺς περὶ Θήβας ὄφεις οἱ Αἰγύπτιοί φασιν, ἔχοντας ἐπανάστασιν, ὅσον προφάσεως χάριν. Τῶν δ' ἐχόντων κέρας, δι' ὅλου μὲν ἔχει στερεὸν μόνον ἔλαφος, τὰ δ' ἄλλα κοῖλα μέχρι τινὸς, τὸ δ' ἔσχατον στερεόν. Τὸ μὲν οὖν κοῖλον ἐκ τοῦ δέρματος πέφυκε μᾶλλον· περὶ δὲ τοῦτο περιήρμοσται τὸ στερεὸν ἐκ τῶν ὀστῶν, οἷον τὰ κέρατα τῶν βοῶν. Ἀποβάλλει δὲ τὰ κέρατα μόνον ἔλαφος κατ' ἔτος, ἀρξάμενος ἀπὸ διετοῦς, καὶ πάλιν φύει· τὰ δ' ἄλλα συνεχῶς ἔχει, ἐὰν μή τι βίᾳ πηρωθῇ.

8. Ἔτι δὲ περί τε τοὺς μαστοὺς ὑπεναντίως ἐν τοῖς ἄλλοις ζώοις ὑπάρχει, πρός αὐτά τε καὶ πρὸς τὸν ἄνθρωπον, καὶ περὶ τὰ ὄργανα τὰ χρήσιμα πρὸς τὴν ὀχείαν. Τὰ μὲν γὰρ ἔμπροσθεν ἔχει τοὺς μαστοὺς ἐν τῷ στήθει, ἢ πρὸς τῷ στήθει, καὶ δύο μαστοὺς, καὶ δύο θηλὰς, ὥσπερ ἄνθρωπος καὶ ὁ ἐλέφας, καθάπερ ἔμπροσθεν εἴρηται. Καὶ γὰρ ὁ ἐλέφας ἔχει τοὺς μαστοὺς δύο περὶ τὰς μασχάλας· ἔχει δὲ καὶ ἡ θήλεια τοὺς μαστοὺς μικροὺς παντελῶς, καὶ οὐ κατὰ λόγον τοῦ σώματος, ὥστ' ἐκ τοῦ πλαγίου μὴ πάνυ ὁρᾷν· ἔχουσι δὲ καὶ οἱ ἄρρενες μαστοὺς, ὥσπερ αἱ θήλειαι, μικροὺς παντελῶς· ἡ δ' ἄρκτος τέτταρας. Τὰ δὲ δύο μὲν μαστοὺς

qui ont le pied fourchu ont l'osselet, mais parmi les Animaux digités je n'en ai vu aucun qui l'eût : l'Homme ne l'a point non plus. Le lynx a comme un demi-osselet ; le lion a quelque chose de tortueux, du moins à s'en rapporter aux desseins qu'on en donne. La position de l'osselet est la même dans tous les Animaux où il se trouve : toujours placé aux jambes de derriere. Il est au milieu de l'articulation, de sorte que le dessus de l'osselet est en arriere, le dessous en avant. Les côtés auxquels on donne le nom de la déesse de Cô, sont en dedans de la jambe & se regardent ; les côtés qui portent le nom des habitans de Chio sont en dehors ; enfin les antennes sont en haut. Quelques Animaux ont en même tems le pied fourchu, une criniere, & deux cornes courbées l'une vers l'autre : tel est le bonase qui se trouve en Pæonie, & en Mædie. Tous les Animaux qui portent des cornes sont quadrupedes. Je parle de véritables cornes, & non de ces excroissances qu'on nomme ainsi par métaphore & faute d'expression propre, telles que sont celles de ces serpens des environs de Thébes que les Egyptiens appellent cornus, parce qu'il y a quelque chose qui s'éleve sur leur tête. Le cerf est le seul des Animaux cornus qui ait son bois plein dans toute la longueur, les cornes des autres Animaux sont creuses en partie, & l'extrémité seule est solide. L'intérieur qui forme le creux est vraisemblablement une production du cuir, & la partie solide qui est autour une production de la substance osseuse : on peut le voir dans les cornes du bœuf. Il n'y a que le cerf qui se dépouille de son bois, tous les ans à compter depuis sa seconde année, & chaque année son bois renaît. Les autres Animaux ne perdent leurs cornes que par accident.

La disposition des mamelles & des parties destinées à la propagation de 8.
l'espece établit de nouvelles différences, soit entre l'Homme & les Animaux, soit entre les Animaux eux-mêmes. Les uns, tels que l'Homme & l'éléphant, ont deux mamelles & deux mamellons, soit sur la poitrine, soit auprès de la poitrine : c'est une observation qui a été rapportée plus haut. Les mamelles de l'éléphant sont placées près de l'aisselle. Le mâle en a comme la femelle : tous deux, la femelle même, les ont extrêmement petites, & peu proportionnées au volume de leur corps, de sorte qu'on a de la peine à les appercevoir si l'on est de côté. L'ourse à quatre mamelles. D'autres Animaux ont deux mamelles placées entre les cuisses & chaque mamelle a un seul

ἔχει ἐν τοῖς μηροῖς, καὶ τὰς θηλὰς δύο, ὥσπερ πρόβατον· τὰ δὲ τέτταρας θηλὰς, ὥσπερ βοῦς. Τὰ δ' οὔτ' ἐν τῷ στήθει ἔχει τοὺς μαστοὺς, οὔτ' ἐν τοῖς μηροῖς, ἀλλ' ἐν τῇ γαστρὶ, οἷον κύων καὶ ὗς· καὶ πολλοὺς, οὐ πάντας δ' ἴσους. Τὰ μὲν οὖν ἄλλα πλείους ἔχει· ἡ δὲ πάρδαλις τέτταρας ἐν τῇ γαστρί· ἡ δὲ λέαινα δύο ἐν τῇ γαστρί. Εχει δὲ καὶ ἡ κάμηλος μαστοὺς δύο καὶ θηλὰς τέτταρας, ὥσπερ ὁ βοῦς. Τῶν δὲ μωνύχων τὰ ἄῤῥενα οὐκ ἔχουσι μαστοὺς, πλὴν ὅσα ἐοίκασι τῇ μητρί· ὅπερ συμβαίνει ἐπὶ τῶν ἵππων.

9. Τὰ δ' αἰδοῖα τῶν μὲν ἀῤῥένων, τὰ μὲν ἔξω ἔχει, οἷον ἄνθρωπος καὶ ἵππος, καὶ ἄλλα πολλά· τὰ δ' ἐντὸς, ὥσπερ δελφίς. Καὶ τῶν ἔξω ἐχόντων, τὰ μὲν εἰς τὸ πρόσθεν, ὥσπερ καὶ τὰ εἰρημένα· καὶ τούτων τὰ μὲν ἀπολελυμένα καὶ τὸ αἰδοῖον καὶ τοὺς ὄρχεις, ὥσπερ ἄνθρωπος· τὰ δὲ πρὸς τῇ γαστρὶ καὶ τοὺς ὄρχεις καὶ τὸ αἰδοῖον· καὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον ἀπολελυμένα· οὐ γὰρ ὡσαύτως ἀπολέλυται κάπρῳ καὶ ἵππῳ τοῦτο τὸ μόριον. Εχει δὲ καὶ ὁ ἐλέφας τὸ αἰδοῖον ὅμοιον μὲν ἵππῳ, μικρὸν δὲ καὶ οὐ κατὰ λόγον τοῦ σώματος· τοὺς δ' ὄρχεις οὐκ ἔξω φανεροὺς, ἀλλ' ἐντὸς παρὰ τοὺς νεφρούς· διὸ καὶ ἐν τῇ ὀχείᾳ ἀπαλλάττεται ταχέως. Η δὲ θήλεια, τὰ αἰδοῖα ἔχει ἐν ᾧ τόπῳ τὰ οὔθατα τῶν προβάτων ἐστίν· ὅταν δὲ ὀργᾷ ὀχεύεσθαι, ἀνασπᾷ ἄνω, καὶ ἐκτρέπει πρὸς τὸν ἔξω τόπον, ὥστε ῥᾳδίαν εἶναι τῷ ἄῤῥενι τὴν ὀχείαν· ἀνέῤῥωγε δὲ ἐπιεικῶς ἐπὶ πολὺ τὸ αἰδοῖον. Τοῖς μὲν οὖν πλείστοις αὐτῶν, τὰ αἰδοῖα τοῦτον ἔχει τὸν τρόπον. Ενια δὲ ὀπισθουρητικά ἐστιν, οἷον λὺγξ, καὶ λέων, καὶ κάμηλος, καὶ δασύπους. Τὰ μὲν οὖν ἄῤῥενα, ὑπεναντίως ἔχει ἀλλήλοις, καθάπερ εἴρηται, τὰ δὲ θήλεα, πάντα ὀπισθουρητικά ἐστι· καὶ γὰρ ὁ θῆλυς ἐλέφας ἔχει τὰ αἰδοῖα ὑπὸ τοῖς μηροῖς καθάπερ καὶ τὰ ἄλλα. Τῶν δ' αἰδοίων διαφορὰ, πολλή ἐστι. Τὰ μὲν γὰρ ἔχει τὸ αἰδοῖον χονδρῶδες καὶ σαρκῶδες, ὥσπερ ἄνθρωπος· τὸ μὲν οὖν σαρκῶδες οὐκ ἐμφυσᾶται, τὸ δὲ χονδρῶδες

mamellon;

mamellon ; telle eſt la brebis : la vache & d'autres ont quatre mamellons. Il y a des Animaux dont les mamelles ne ſont ni ſur la poitrine, ni entre les cuiſſes, mais ſur le ventre ; c'eſt ainſi que la chienne & la truye les ont placées : leurs mamelles ſont en grand nombre, & elles ne ſont pas toutes égales. Autre différence : la panthere a ſes mamelles ſur le ventre, mais elle n'en a que quatre. La lionne en a deux qui ſont placées de même. La femelle du chameau a, comme la vache, deux mamelles & quatre mamellons. Dans la claſſe des ſolipedes les mâles n'ont point de mamelles ; on n'en voit qu'à quelques individus qui reſſemblent à leur mere : cela ſe rencontre parmi les chevaux.

Les organes de la génération ou ſont apparens en dehors, comme dans 9.
l'Homme, le cheval, & pluſieurs autres ; ou ils ſont renfermés en dedans : c'eſt ainſi que les a le dauphin. Parmi les premiers, les uns, tels que ceux qui viennent d'être nommés, ont ces organes dirigés en avant : mais la verge & les teſticules ou ſont détachés comme dans l'Homme, ou ſont adhérens au ventre : & ici il y a pluſieurs dégrés du plus au moins, car on ne peut pas dire que ces parties ſoient également détachées dans le ſanglier & dans le cheval. La verge de l'éléphant reſſemble à celle du cheval, mais elle eſt petite, & a peu de proportion avec le ſurplus de ſon corps. Ses teſticules ne paroiſſent pas à l'extérieur, ils ſont en dedans auprès des reins, c'eſt pourquoi il ne demeure pas long-temps dans l'accouplement. Le vagin de la femelle de l'éléphant eſt ſitué au même lieu où ſont les mamelles dans la brebis : lorſqu'elle eſt en chaleur elle releve cette partie, & la tourne en dehors pour faciliter les approches du mâle : ſon ouverture eſt proportionnellement fort large. Telle eſt la diſpoſition des organes de la génération dans la plûpart des Animaux : elle eſt différente dans quelques autres qui jettent leur urine en arriere, le lynx par exemple, le lion, le chameau & le daſypode. Cette différence dans la maniere d'uriner n'eſt remarquable qu'à l'égard des mâles, car pour les femelles, elles urinent toutes en arriere ; la femelle de l'éléphant, quoiqu'elle ait le vagin au deſſous des cuiſſes, jette ſon urine en arriere comme les autres. La ſubſtance de la verge varie conſidérablement : quelquefois c'eſt un compoſé de chairs & de cartilages, dans l'Homme par exemple ; la partie charnue ne ſe gonfle pas, mais la partie cartilagineuſe eſt ſuſceptible d'extenſion ; dans quelques-uns, comme

ἔχει αὔξησιν· τὰ δὲ νευρώδη, οἷον καμήλου καὶ ἐλάφου· τὰ δ' ὀστώδη, ὥσπερ ἀλώπεκος καὶ λύκου, καὶ ἴκτιδος, καὶ γαλῆς· καὶ γὰρ ἡ γαλῆ ὀστοῦν ἔχει τὸ αἰδοῖον.

10. Πρὸς δὲ τούτοις ὁ μὲν ἄνθρωπος τελεωθεὶς τὰ ἄνω ἔχει ἐλάττω τῶν κάτωθεν· τὰ δ' ἄλλα ζῶα, ὅσα ἔναιμα, τοὐναντίον. Λέγομεν δὲ ἄνω τὸ ἀπὸ κεφαλῆς μέχρι τοῦ μορίου ᾗ ἡ τοῦ περιττώματός ἐστιν ἔξοδος· κάτω δὲ τὸ ἀπὸ τούτου λοιπόν. Τοῖς μὲν οὖν ἔχουσι πόδας, τὸ ὀπίσθιόν ἐστι σκέλος τὸ κάτωθεν μέρος πρὸς τὸ μέγεθος· τοῖς δὲ μὴ ἔχουσιν, οὐραὶ καὶ κέρκοι, καὶ τὰ τοιαῦτα. Τελειούμενα μὲν οὖν, τοιαῦτά ἐστιν· ἐν δὲ τῇ αὐξήσει διαφέρει. Ο μὲν γὰρ ἄνθρωπος μείζω τὰ ἄνω ἔχει νέος ὤν, ἢ τὰ κάτω· αὐξανόμενος δὲ μεταβάλλει τοὐναντίον· διὸ καὶ μόνον οὐ τὴν αὐτὴν κίνησιν ποιεῖται τῆς πορείας νέος ὢν καὶ τελεωθείς· ἀλλὰ τὸ πρῶτον, παιδίον ὄν, ἕρπει τετραποδίζον. Τὰ δ' ἀνάλογον ἀποδίδωσι τὴν αὔξησιν, οἷον κύων. Ενια δὲ τὸ πρῶτον ἐλάττω τὰ ἄνω, τὰ δὲ κάτω μείζονα ἔχει· αὐξανόμενα δὲ τὰ ἄνω γίνεται μείζω, ὥσπερ τὰ λοφοῦρα· τούτων γὰρ οὐδὲν μεῖζον γίνεται ὕστερον τὸ ἀπὸ τῆς ὁπλῆς μέχρι τοῦ ἰσχίου.

11. Εστι δὲ καὶ περὶ τοὺς ὀδόντας πολλὴ διαφορὰ τοῖς ἄλλοις ζώοις, καὶ πρὸς αὐτά, καὶ πρὸς τὸν ἄνθρωπον. Εχει μὲν γὰρ πάντα ὀδόντας, ὅσα τετράποδα καὶ ἔναιμα καὶ ζωοτόκα· ἀλλὰ πρῶτον τὰ μέν ἐστιν ἀμφόδοντα, τὰ δ' οὔ. Οσα μὲν γάρ ἐστι κερατοφόρα, οὐκ ἀμφόδοντά ἐστιν· οὐ γὰρ ἔχει τοὺς προσθίους ὀδόντας ἐπὶ τῆς ἄνω σιαγόνος· ἔστι δ' ἔνια οὐκ ἀμφόδοντα καὶ ἀκέρατα, οἷον κάμηλος. Καὶ τὰ μὲν χαυλιόδοντας ἔχει, ὥσπερ οἱ ἄῤῥενες ὕες. τὰ δ' οὐκ ἔχει. Ετι τὰ μέν ἐστι καρχαρόδοντα αὐτῶν, οἷον λέων, καὶ πάρδαλις, καὶ κύων· τὰ δὲ ἀνεπάλλακτα, οἷον ἵππος, καὶ βοῦς· καρχαρόδοντα γάρ ἐστιν, ὅσα ἐπαλλάττει τοὺς ὀδόντας τοὺς ὀξεῖς ὁμοῦ. Αμα δὲ χαυλιόδοντα καὶ κέρας οὐδὲν ἔχει ζῶον· οὐδὲ καρχαρόδουν, καὶ τούτων θάτερον. Τὰ δὲ πλεῖστα τοὺς

dans le chameau & le cerf, c'eſt une ſubſtance nerveuſe ; quelquefois enfin la verge eſt oſſeuſe, comme dans le renard, le loup, le putois & la belette : on auroit tort de le nier de cette derniere.

L'Homme après avoir pris ſa croiſſance a le haut du corps moindre que le bas : il différe en cela des autres Animaux qui ont du ſang. J'entends par le haut du corps ce qui eſt depuis la tête juſqu'au lieu où ſont les orifices des conduits excrétoires, & par le bas du corps le ſurplus. Ainſi lorſqu'on conſidere la grandeur des Animaux qui ont des pieds, les cuiſſes & les jambes de derriere ſont le bas de leur corps : dans ceux qui n'ont point de pieds, c'eſt la queue, de quelque eſpece qu'elle ſoit, ou ce qui peut y être aſſimilé. Voilà l'état des Animaux qui ont pris leur croiſſance. Tandis qu'ils croiſſent il en eſt autrement. Dans le premier âge de l'Homme la partie ſupérieure de ſon corps eſt plus grande que la partie inférieure : la proportion change à meſure qu'il croît ; auſſi eſt-il le ſeul dont la marche ne ſoit pas la même dans tous les âges ; dans la premiere enfance il ſe traîne comme un quadrupede. Il y a des Animaux, comme le chien, dont les deux parties croiſſent dans la même proportion : chez quelques-uns le haut eſt d'abord plus petit que le bas ; mais, à meſure qu'ils grandiſſent, le haut du corps devient plus grand que le reſte : les Animaux qui ont un toupet de crins au front en ſont un exemple. La partie compriſe entre l'ongle de leur pied & le haut de la cuiſſe ne reçoit aucun accroiſſement. 10.

Paſſons à la diſpoſition des dents : elles nous fourniront pluſieurs différences, ſoit à l'égard des Animaux comparés avec l'Homme, ſoit à l'égard des Animaux comparés entre eux. Tous les quadrupedes vivipares qui ont du ſang, ont des dents ; mais tous n'en ont point également aux deux machoires. Les Animaux cornus n'ont point de dents ſur le devant de la machoire ſupérieure, & il en eſt qui ſont dans le même cas quoique non cornus : tel eſt le chameau. Il eſt des Animaux qui ont des dents ſaillantes en dehors comme le porc mâle : d'autres qui n'ont point de ces ſortes de dents. Il en eſt dont les dents ſont en forme de ſcie : tels ſont le lion, la panthere & le chien : l'extrémité aigue de leurs dents laiſſe entre chacune d'elles des intervalles égaux : il en eſt d'autres, comme le cheval & le bœuf, dont les dents forment une ſurface plane. Aucun animal n'a en même temps des dents ſaillantes & des cornes, & aucun de ceux qui ont les dents en forme de ſcie 11.

προσθίους ἔχει ὀξεῖς, τοὺς δ' ἐντὸς πλατεῖς. Η δὲ φώκη καρχαρόδουν ἐστὶ πᾶσι τοῖς ὀδοῦσιν, ὡς ἐπαλλάττουσα τῷ γένει τῶν ἰχθύων· οἱ γὰρ ἰχθύες πάντες σχεδὸν καρχαρόδοντές εἰσι.

Διστοίχους δ' ὀδόντας οὐδὲν ἔχει τούτων τῶν γενῶν· ἔστι δέ τι, εἰ δεῖ πιστεῦσαι Κτησίᾳ. Εκεῖνος γὰρ ἐν Ινδοῖς, τὸ θηρίον οὗ ὄνομα εἶναι μαρτιχόραν, τοῦτ' ἔχειν ἐπ' ἀμφότερά φησι τριστοίχους τοὺς ὀδόντας. Εἶναι δὲ μέγεθος μὲν ἡλίκον λέοντα, καὶ δασὺ ὁμοίως, καὶ πόδας ἔχειν ὁμοίους, πρόσωπον δὲ καὶ ὦτα ἀνθρωποειδὲς, τὸ δ' ὄμμα γλαυκὸν, τὸ δὲ χρῶμα κινναβάρινον· τὴν δὲ κέρκον, ὁμοίαν τῇ τοῦ σκορπίου τοῦ χερσαίου, ἐν ᾗ κέντρον ἔχειν, καὶ τὰς ἀποφυάδας ἀπακοντίζειν· φθέγγεσθαι δ' ὅμοιον φωνῇ σύριγγος καὶ σάλπιγγος· ταχὺ δὲ θεῖν οὐχ ἧττον τῶν ἐλάφων, καὶ εἶναι ἄγριον καὶ ἀνθρωποφάγον.

Ανθρωπος μὲν οὖν βάλλει τοὺς ὀδόντας· βάλλει δὲ καὶ ἄλλα τῶν ζώων, οἷον ἵππος, καὶ ὀρεὺς, καὶ ὄνος. Βάλλει δ' ἄνθρωπος τοὺς προσθίους, τοὺς δὲ γομφίους οὐθὲν βάλλει τῶν ζώων. Υς δ' ὅλως
II. οὐθένα βάλλει τῶν ὀδόντων. Περὶ δὲ τῶν κυνῶν ἀμφισβητεῖται: Καὶ οἱ μὲν ὅλως οὐκ οἴονται βάλλειν οὐθένα αὐτοὺς· οἱ δὲ τοὺς κυνόδοντας μόνον· οἱ δ' ὅτι βάλλει καθάπερ καὶ ἄνθρωπος, ἀλλὰ λανθάνει, διὰ τὸ μὴ βάλλειν πρότερον, πρὶν ὑποφυῶσιν ἐντὸς ἴσοι. Ομοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀγρίων εἰκὸς συμβαίνειν, ἐπεὶ λέγονταί γε τοὺς κυνόδοντας μόνον βάλλειν. Τοὺς δὲ κύνας διαγινώσκουσι τοὺς νεωτέρους καὶ πρεσβυτέρους ἐκ τῶν ὀδόντων· οἱ μὲν γὰρ νέοι, λευκοὺς ἔχουσι καὶ ὀξεῖς τοὺς ὀδόντας· οἱ δὲ
III. πρεσβύτεροι μέλανας καὶ ἀμβλεῖς. Εναντίως δὲ πρὸς τ' ἄλλα ζῶα, καὶ ἐπὶ τῶν ἵππων συμβαίνει· τὰ μὲν γὰρ ἄλλα ζῶα πρεσβύτερα γινόμενα μελαντέρους ἔχει τοὺς ὀδόντας, ὁ δὲ ἵππος λευκοτέρους.

Ορίζουσι δὲ τούς τε ὀξεῖς καὶ τοὺς πλατεῖς, οἱ καλούμενοι κυνόδοντες, ἀμφοτέρων μετέχοντες τῆς μορφῆς· κάτωθεν μὲν γὰρ

n'a ni dents saillantes ni cornes. Ordinairement les dents de devant sont aigues, & celles du fonds sont larges ; mais les dents du phoque sont toutes en forme de scie : il semble que ce soit parce qu'il fait la nuance des quadrupedes aux poissons, qui presque tous ont les dents de cette maniere.

Aucun de ces Animaux dont je viens de parler n'a double rangée de dents à la même machoire ; cependant, s'il en faut croire Ctésias, il existe un animal où cette singularité se rencontre. Suivant lui, il y a dans les Indes une bête féroce qu'on nomme martichore, qui a triple rangée de dents. Cet animal, ajoûte Ctésias, ressemble au lion par sa taille, par sa criniere & par la forme de ses pieds : sa face & ses oreilles sont celles d'un Homme ; ses yeux sont bleus ; son corps a le rouge du cinabre ; sa queue est telle que celle du scorpion terrestre, armée d'un aiguillon, & de pointes qu'il lance comme des traits. Sa voix semble être le son réuni d'une flûte & d'une trompette : il a la vitesse du cerf, est cruel, & avide de chair humaine.

L'Homme perd ses premieres dents : d'autres Animaux aussi, tels que le cheval, le mulet & l'âne. Ce sont les dents de devant qui changent dans l'Homme ; les molaires ne changent dans aucun animal. Le porc ne perd absolument aucune dent. A l'égard des chiens, les sentimens sont divisés : II.
suivant quelques personnes ils ne perdent aucune de leurs premieres dents : selon d'autres, ils perdent seulement les dents canines ; de troisiémes assûrent qu'ils perdent les mêmes dents que l'Homme. Il est difficile de constater lequel de ces sentimens est le véritable, parce que les dents du chien ne tombent qu'après qu'il en est venu en dedans de nouvelles de grandeur égale. La même chose arrive vraisemblablement aux Animaux sauvages ; quelques-uns assûrent qu'ils perdent seulement les dents canines. L'âge des chiens se connoît aux dents : jeunes ils les ont blanches & pointues, vieux ils les ont noires & émoussées. Il en est de même des autres Animaux : à mesure qu'ils III.
vieillissent leurs dents deviennent plus noires ; au contraire celles du cheval blanchissent lorsqu'il vieillit.

Les dents appellées canines séparent les incisives des molaires, & elles participent à la nature des unes & des autres, étant larges près de la gencive,

πλατεῖς, ἄνωθεν δέ εἰσιν ὀξεῖς. Εχουσι δὲ πλείους οἱ ἄῤῥενες τῶν
θηλειῶν ὀδόντας, καὶ ἐν ἀνθρώποις, καὶ ἐπὶ προβάτων καὶ αἰγῶν
καὶ ὑῶν· ἐπὶ δὲ τῶν ἄλλων, οὐ τεθεώρηταί πω ταῦτα. Οσοι δὲ
πλείους ἔχουσι μακροβιώτεροι, ὡς ἐπιτοπολύ, εἰσιν· οἱ δ' ἐλάττους
IV. καὶ ἀραιόδοντες, ὡς ἐπιτοπολὺ, βραχυβιώτεροι. Φύονται δ' οἱ
τελευταῖοι τοῖς ἀνθρώποις γόμφιοι, οὓς καλοῦσι κραντῆρας, περὶ
τὰ εἴκοσιν ἔτη, καὶ ἀνδράσι καὶ γυναιξίν. Ηδη δέ τισι γυναιξὶ
καὶ ὀγδοήκοντα ἐτῶν οὔσαις, ἔφυσαν γόμφιοι ἐν τοῖς ἐσχάτοις,
πόνον παρέχοντες ἐν τῇ ἀνατολῇ, καὶ ἀνδράσιν ὡσαύτως. Τοῦτο δὲ
συμβαίνει ὅσοις ἂν μὴ ἐν τῇ ἡλικίᾳ ἀνατείλωσιν οἱ κραντῆρες.

V. Ο δ' ἐλέφας ὀδόντας μὲν ἔχει τέτταρας ἐφ' ἑκάτερα, οἷς
κατεργάζεται τὴν τροφήν· λεαίνει δ' ὥσπερ κριμνά. Χωρὶς δὲ
τούτων ἄλλους δύο τοὺς μεγάλους. Ο μὲν οὖν ἄῤῥην τούτους ἔχει με-
γάλους τε καὶ ἀνωσίμους· ἡ δὲ θήλεια, μικροὺς καὶ ἐξ ἐναντίας
τοῖς ἄῤῥεσι· κάτω γὰρ οἱ ὀδόντες βλέπουσιν. Εχει δ' ὁ ἐλέφας
εὐθὺς γενόμενος ὀδόντας, τοὺς μέν τοι μεγάλους ἀδήλους τὸ πρῶ-
VI. τον. Γλῶτταν δὲ ἔχει μικράν τε σφόδρα, καὶ ἐντός· ὥστε ἔργου
εἶναι ἰδεῖν.

12. VII. Εχουσι δὲ τὰ ζῶα καὶ τὰ μεγέθη διαφέροντα τοῦ στόματος.
Τῶν μὲν γάρ ἐστι τὰ στόματα ἀνεῤῥωγότα, ὥσπερ κυνὸς καὶ λέον-
τος, καὶ πάντων τῶν καρχαροδόντων· τὰ δὲ μικρόστομα, ὥσπερ
ἄνθρωπος· τὰ δὲ μεταξὺ, ὥσπερ τὸ τῶν ὑῶν γένος.

Ο δὲ ἵππος ὁ ποτάμιος ὁ ἐν Αἰγύπτῳ χαίτην μὲν ἔχει ὥσ-
περ ἵππος· διχηλὸν δ' ἐστὶν ὥσπερ βοῦς· τὴν δ' ὄψιν σιμός.
Εχει δὲ καὶ ἀστράγαλον, ὥσπερ τὰ διχηλὰ, καὶ χαυλιόδοντας
ὑποφαινομένους, κέρκον δ' ὑὸς, φωνὴν δ' ἵππου· μέγεθος δ'
ἐστὶν ἡλίκον ὄνος. Τοῦ δὲ δέρματος τὸ πάχος, ὥστε δόρατα ποιεῖ-
σθαι ἐξ αὐτοῦ· τὰ δ' ἐντὸς ἔχει ὅμοια ἵππῳ καὶ ὄνῳ.

13. VIII Ενια δὲ τῶν ζώων ἐπαμφοτερίζει τὴν φύσιν τῷ τε ἀνθρώπῳ
καὶ τοῖς τετράποσιν, οἷον πίθηκοι, καὶ κῆβοι, καὶ κυνοκέφαλοι.

& aigues par le haut. L'Homme a plus de dents que la femme ; le mâle a de même plus de dents que la femelle dans l'espece des brebis, des chevres & des porcs : on n'a pas encore fait d'observations suffisantes à cet égard sur les autres Animaux. Ceux qui ont beaucoup de dents jouissent ordinairement d'une vie plus longue, au contraire ceux qui les ont moins nombreuses & écartées vivent communément moins que les autres. Les dents IV.
molaires qu'on appelle *cranteres* & qui sont les dernieres au fond de la bouche, paroissent, soit aux hommes soit aux femmes, vers la vingtiéme année : on a vu venir à des femmes, & à des hommes mêmes, les dernieres dents à l'âge de quatre-vingts ans ; elles ne leur perçent qu'avec douleur. Il faut pour cela que les *cranteres* n'aient point paru dans la jeunesse.

L'éléphant a quatre dents à chaque machoire : elles lui servent à broyer V.
sa nourriture : il la réduit en une espece de farine. Outre ces dents il a les deux autres grandes, qui dans le mâle sont longues & relevées ; plus petites dans la femelle, & tournées, au contraire de celles du mâle, vers le bas. L'éléphant a des dents dès l'instant de sa naissance, les grandes néanmoins ne sont pas d'abord apparentes. Sa langue est fort petite & enfoncée ; il VI.
est assez difficile de l'appercevoir.

On peut établir de nouvelles différences entre les Animaux à raison de 12.
l'ouverture de leur bouche. Les uns l'ont fort grande, comme le chien, le VII.
lion, & tous ceux qui ont les dents en forme de scie : d'autres petite comme l'Homme : dans d'autres enfin cette ouverture est moyenne, comme dans les Animaux du genre du porc.

L'hippopotame d'Egypte a une criniere, telle que le cheval ; le pied fendu, comme le bœuf ; le museau courbé ; un osselet tel que l'ont les Animaux dont le pied est fendu, & des dents saillantes, mais qui sortent peu. Sa queue est celle du porc, sa voix celle du cheval, sa grandeur celle de l'âne. L'épaisseur de son cuir est telle qu'on en fait des piques. Pour l'intérieur, ses parties ressemblent à celles du cheval & de l'âne.

Il y a quelques Animaux comme les singes, les kêbes, & les cynoce- 13. VIII.
phales dont la nature ambigue tient de l'Homme & du quadrupede. Le kêbe

Ἐστι δ' ὁ μὲν κῆβος, πίθηκος ἔχων οὐράν· καὶ οἱ κυνοκέφαλοι δὲ τὴν αὐτὴν ἔχουσι μορφὴν τοῖς πιθήκοις, πλὴν μείζονές τ' εἰσὶ, καὶ ἰσχυρότεροι, καὶ τὰ πρόσωπα ἔχοντες κυνοειδέστερα· ἔτι δὲ ἀγριώτερά τε τὰ ἤθη, καὶ τοὺς ὀδόντας ἔχουσι κυνοειδεστέρους καὶ ἰσχυροτέρους.

Οἱ δὲ πίθηκοι δασεῖς μέν εἰσι τὰ πρανῆ, ὡς ὄντες τετράποδες· καὶ τὰ ὕπτια δὲ ὡσαύτως, ὡς ὄντες ἀνθρωποειδεῖς. Τοῦτο γὰρ ἐπὶ τῶν ἀνθρώπων ἐναντίως ἔχει καὶ ἐπὶ τῶν τετραπόδων, καθάπερ ἐλέχθη πρότερον. Πλὴν ἥ τε θρὶξ παχεῖα, καὶ δασεῖς ἐπ' ἀμφότερα σφόδρα εἰσὶν οἱ πίθηκοι. Τὸ δὲ πρόσωπον ἔχει πολλὰς ὁμοιότητας τῷ τοῦ ἀνθρώπου· καὶ γὰρ μυκτῆρας, καὶ ὦτα παραπλήσια ἔχει· καὶ ὀδόντας, ὥσπερ ὁ ἄνθρωπος, καὶ τοὺς προσθίους καὶ τοὺς γομφίους· ἔτι δὲ βλεφαρίδας, τῶν ἄλλων τετραπόδων οὐκ ἐπ' ἀμφότερα ἐχόντων, οὗτος ἔχει μὲν, λεπτὰς δὲ σφόδρα, καὶ μᾶλλον τὰς κάτω, καὶ μικρὰς πάμπαν· τὰ γὰρ ἄλλα τετράποδα ταύτας οὐκ ἔχει. Ἔχει δὲ ἐν τῷ στήθει δύο θηλὰς μαστῶν μικρῶν. Ἔχει δὲ καὶ βραχίονας, ὥσπερ ἄνθρωπος, πλὴν δασεῖς· καὶ κάμπτει καὶ τούτους καὶ τὰ σκέλη ὥσπερ ἄνθρωπος, τὰς περιφερείας πρὸς ἀλλήλας ἀμφοτέρων τῶν κώλων. Πρὸς δὲ τούτοις, χεῖρας καὶ δακτύλους καὶ ὄνυχας ὁμοίους τῷ ἀνθρώπῳ· πλὴν πάντα ταῦτα ἐπὶ τὸ θηριωδέστερον. Ἰδίους δὲ τοὺς πόδας· εἰσὶ γὰρ οἷον χεῖρες μεγάλαι, καὶ οἱ δάκτυλοι ὥσπερ οἱ τῶν χειρῶν· ὁ μέσος, μακρότερος· καὶ τὸ κάτω τοῦ ποδὸς χειρὶ ὅμοιον· πλὴν ἐπὶ τὸ μῆκος τῆς χειρὸς ἐπὶ τὰ ἔσχατα τεῖνον, καθάπερ θέναρ· τοῦτο δὲ ἐπ' ἄκρου σκληρότερον, κακῶς καὶ ἀμυδρῶς μιμούμενον πτέρναν. Κέχρηται δὲ τοῖς ποσὶν ἐπ' ἄμφω, καὶ ὡς χερσὶ, καὶ ὡς ποσὶ, καὶ συγκάμπτει ὥσπερ χεῖρας. Ἔχει δὲ τὸν ἀγκῶνα καὶ τὸν μηρὸν βραχεῖς, ὥσπερ πρὸς τὸν βραχίονα καὶ τὴν κνήμην· Ὀμφαλὸν δ' ἐξέχοντα μὲν οὐκ ἔχει, σκληρὸν δὲ τὸ κατὰ τὸν τόπον τοῦ ὀμφαλοῦ. Τὰ δ' ἄνω τῶν κάτω πολὺ

est

est un singe qui a une queue ; le cynocephale est fait comme le singe, si ce n'est qu'il est plus grand & plus fort, & que son museau approche plus de celui du chien. Il est aussi d'un caractere plus farouche, ses dents sont plus fortes, & elles ressemblent davantage à celles du chien.

Les singes sont velus sur le dos, comme étant quadrupedes ; ils ne le sont pas moins sur la partie opposée, comme tenant à l'espece de l'Homme. Nous avons déja remarqué que l'Homme en ce point est l'opposé des quadrupedes. Ce qui est particulier aux singes c'est qu'ils ont le poil épais par tout, dessous aussi bien que dessus. Leur face a plusieurs traits de ressemblance avec le visage de l'Homme ; leurs mains & leurs oreilles approchent de celles de l'Homme : ils ont les dents de devant & les molaires comme l'Homme. De plus, au lieu que les autres quadrupedes n'ont pas des cils aux deux paupieres, le singe en a à toutes deux : ils sont à la vérité fort rares & fort courts, sur-tout à la paupiere inférieure, mais enfin les autres quadrupedes n'en ont absolument point. Sur sa poitrine on voit deux mamellons qui appartiennent à deux petites mamelles. Le singe a des bras comme l'Homme, mais velus, & il les fléchit, ainsi que les jambes, de la même maniere que l'Homme : c'est-à-dire que les courbures formées par la flexion des bras & des jambes se trouvent en sens contraire. Le singe a de plus des mains, des doigts & des ongles qui ressemblent à ceux de l'Homme, si ce n'est que toutes ces parties tiennent quelque chose de la bête. La forme de ses pieds lui est particuliere, ce sont comme de grandes mains : les doigts du pied sont semblables aux doigts de la main, celui du milieu plus long que les autres. Le dessous du pied est encore semblable au dedans de la main, excepté que la partie qu'on peut appeller la paume est allongée par derriere, & se termine par une callosité imitant assez mal le talon. Les pieds du singe lui servent également de pieds & de mains, & il les plie comme la main ; son bras est court par comparaison à l'avant-bras, & sa cuisse par comparaison à la jambe. L'ombilic n'est point apparent à l'extérieur, on sent seulement une callosité en cet endroit. Le haut de son corps est, comme dans les quadrupedes, beaucoup plus grand que le bas, à peu près dans la proportion de cinq à trois. Cette raison, la nature de son pied d'ailleurs, qui est semblable à une main, & pour ainsi-dire composé de l'un & de l'autre, l'extrémité

μείζονα ἔχει, ὥσπερ τὰ τετράποδα· σχεδὸν γὰρ ὥσπερ πέντε πρὸς τρία ἐστί· καὶ διά τε ταῦτα, καὶ διὰ τὸ τοὺς πόδας ἔχειν ὁμοίους χερσὶ, καὶ ὡσπερανεὶ συγκειμένους ἐκ χειρὸς καὶ ποδός· ἐκ μὲν ποδὸς, κατὰ τὸ τῆς πτέρνης ἔσχατον· ἐκ δὲ χειρὸς, τ᾽ ἄλλα μέρη· καὶ γὰρ οἱ δάκτυλοι ἔχουσι τὸ καλούμενον θέναρ· διατελεῖ τὸν πλείω χρόνον τετράπουν μᾶλλον ἢ ὀρθόν. Καὶ οὔτε ἰσχία ἔχει ὡς τετράπουν, οὔτε κέρκον ὡς δίπουν, πλὴν μικρὰν τὸ ὅλον, ὅσον σημείου χάριν. Εχει δὲ καὶ τὸ αἰδοῖον ἡ θήλεια ὅμοιον
IX. γυναικός· ὁ δ᾽ ἄῤῥην, κυνωδέστερον ἢ ἀνθρώπου. Οἱ δὲ κῆβοι, καθάπερ εἴρηται πρότερον, ἔχουσι κέρκον. Τὰ δ᾽ ἐντὸς διαιρεθέντα, ὅμοια ἔχουσιν ἀνθρώπῳ πάντα τὰ τοιαῦτα.

14.
X. Τὰ μὲν οὖν εἰς τὸ ἐκτὸς τῶν ζωοτοκούντων μόρια, τοῦτον ἔχει τὸν τρόπον. Τὰ δὲ τετράποδα μὲν, ᾠοτόκα δὲ καὶ ἔναιμα· οὐδὲν δὲ ᾠοτοκεῖ χερσαῖον καὶ ἔναιμον μὴ τετράπουν ὂν, ἢ ἄπουν· κεφαλὴν μὲν ἔχει, καὶ αὐχένα, καὶ νῶτον, καὶ τὰ πρανῆ, καὶ τὰ ὕπτια τοῦ σώματος· ἔτι δὲ σκέλη πρόσθια καὶ ὀπίσθια, καὶ τὸ ἀνάλογον τῷ στήθει, ὥσπερ τὰ ζωοτόκα τῶν τετραπόδων· καὶ κέρκον, τὰ μὲν πλεῖστα μείζω, ὀλίγα δὲ ἐλάττω. Πάντα δὲ πολυδάκτυλα καὶ πολυσχιδῆ ἐστι τὰ τοιαῦτα. Πρὸς δὲ τούτοις, καὶ τὰ αἰσθητήρια καὶ γλῶτταν πάντα, πλὴν ἐν Αἰγύπτῳ κροκόδειλος. Οὗτος δὲ παραπλήσιος τῶν ἰχθύων τισίν· ὅλως μὲν γὰρ οἱ ἰχθύες ἀκανθώδη καὶ οὐκ ἀπολελυμένην ἔχουσι τὴν γλῶτταν· ἔνιοι δὲ πάμπαν λεῖον καὶ ἀδιάρθρωτον τὸν τόπον, μὴ ἐγκλίνοντι σφόδρα τὸ χεῖλος. Ωτα δ᾽ οὐκ ἔχουσιν, ἀλλὰ τὸν πόρον τῆς ἀκοῆς μόνον πάντα τὰ τοιαῦτα· οὐδὲ μαστοὺς, οὐδ᾽ αἰδοῖον, οὐδ᾽ ὄρχεις ἔξω φανεροὺς, ἀλλ᾽ ἐντός· οὐδὲ τρίχας, ἀλλὰ πάντ᾽ ἐστὶ φολιδωτά. Εστι δὲ καρχαρόδοντα πάντα.

Οἱ δὲ κροκόδειλοι οἱ ποτάμιοι ἔχουσιν ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας, καὶ ὄνυχας ἰσχυροὺς, καὶ δέρμα ἄῤῥηκτον φολιδωτόν. Βλέπουσι δ᾽ ἐν μὲν τῷ ὕδατι φαύλως·

qui forme le talon tenant du pied, le surplus tenant de la main, au point que la partie à laquelle les doigts sont attachés peut s'appeller du même nom que l'intérieur de la main, sont cause que le singe se tient plus souvent sur quatre pieds que sur deux. Comme quadrupede il n'a point de fesses, mais comme bipede il n'a point de queue, ou du moins est-elle absolument petite, & seulement comme pour en marquer le lieu. Le vagin de la femelle ressemble à cette partie dans la femme; la verge du mâle approche plus de celle du chien que de celle de l'Homme. Les kêbes ont une queue : je l'ai IX.
déja dit; pour les parties intérieures, tous ces Animaux les ont semblables à celles de l'Homme.

Après avoir décrit les parties extérieures des quadrupedes vivipares, il faut 14.
parler de celles des quadrupedes ovipares qui ont du sang. Observez que X.
tout Animal terrestre & ayant du sang, qui est ovipare, ou bien a quatre pieds, ou bien n'en a point du tout. Les quadrupedes ovipares ont tous, comme les quadrupedes vivipares, une tête, un cou, un dos : on distingue de même dans leur corps un côté tourné vers le ciel, & un autre tourné vers la terre : ils ont des jambes de devant & des jambes de derriere, & une partie qui répond à la poitrine. Ces Animaux ont aussi une queue, la plûpart fort longue, peu d'entre eux l'ont courte; tous sont fissipedes & ont plusieurs doigts. Il est encore commun à tous d'avoir les organes des sens, & une langue. Il faut excepter, à l'égard de la langue, le crocodile qui se trouve en Egypte : celui-ci approche de la nature de certains poissons; or, en général, les poissons ont la langue d'une substance semblable à celle des arrêtes, & adhérente à la machoire : quelquefois même la bouche paroît entierement lisse, & on n'y apperçoit point de langue, à moins qu'on n'écarte extrêmement les levres du poisson. Aucun des Animaux dont nous parlons n'a d'oreilles, mais seulement une ouverture pour le conduit auditif. Ils n'ont ni mamelles, ni membre génital, ni testicules apparents en dehors; ces parties sont en dedans. Leur peau est couverte d'écailles & jamais de poil : tous ont les dents en forme de scie.

Le crocodile de riviere a des yeux de porc, des dents grandes & saillantes, des ongles forts, le cuir écailleux & impénétrable. Dans l'eau sa vue

ἔξω δ' ὀξύτατον. Τὴν μὲν οὖν ἡμέραν ἐν τῇ γῇ τὸ πλεῖστον διατρίβουσι, τὴν δὲ νύκτα, ἐν τῷ ὕδατι· ἀλεεινότερον γάρ ἐστι τῆς αἰθρίας.

XI. Ο δὲ χαμαιλέων, ὅλον μὲν τοῦ σώματος ἔχει τὸ σχῆμα σαυροειδὲς, τὰ δὲ πλευρὰ κάτω καθήκει, συνάπτοντα πρὸς τὸ ὑπογάστριον, καθάπερ τοῖς ἰχθύσι, καὶ ἡ ῥάχις ἐπανέστηκεν ὁμοίως τῇ τῶν ἰχθύων. Τὸ δὲ πρόσωπον ὁμοιότατον τῷ τοῦ χοιροπιθήκου· κέρκον δ' ἔχει μακρὰν σφόδρα, εἰς λεπτὸν καθήκουσαν, καὶ συνελιττομένην ἐπὶ πολὺ, καθάπερ ἱμάντα. Μετεωρότερος δ' ἐστὶ τῇ ἀπὸ τῆς γῆς ἀποστάσει τῶν σαυρῶν. Τὰς δὲ καμπὰς τῶν σκελῶν καθάπερ οἱ σαῦροι ἔχει· τῶν δὲ ποδῶν ἕκαστος αὐτοῦ, διχῇ διῄρηται εἰς μέρη, θέσιν ὁμοίαν πρὸς αὑτὰ ἔχοντα, οἵανπερ ὁ μέγας ἡμῶν δάκτυλος πρὸς τὸ λοιπὸν τῆς χειρὸς ἀντίθεσιν ἔχει. Ἐπὶ βραχὺ δὲ καὶ τούτων τῶν μερῶν ἕκαστον διῄρηται εἰς τινας δακτύλους· τῶν μὲν ἔμπροσθεν ποδῶν, τὰ μὲν πρὸς αὐτῷ τριχὰ, τὰ δ' ἐκτὸς διχά· τῶν δὲ ὀπισθίων, τὰ μὲν πρὸς αὐτοῦ διχὰ, τὰ δ' ἐκτὸς τριχά· ἔχει δὲ καὶ ὀνύχια ἐπὶ τούτων ὅμοια τοῖς τῶν γαμψωνύχων. Τραχὺ δ' ἔχει ὅλον τὸ σῶμα, καθάπερ ὁ κροκόδειλος. Ὀφθαλμοὺς δ' ἔχει ἐν κοίλῳ τε κειμένους καὶ μεγάλους σφόδρα, καὶ στρογγύλους, καὶ δέρματι ὁμοίῳ τοῦ λοιποῦ σώματος περιεχομένους· κατὰ μέσους δ' αὐτοὺς διαλέλειπται μικρὰ τῇ ὄψει χώρα, δι' ἧς ὁρᾷ· οὐδέποτε δὲ τῷ δέρματι ἐπικαλύπτει τοῦτο. Στρέφει δὲ τὸν ὀφθαλμὸν κύκλῳ, καὶ τὴν ὄψιν ἐπὶ πάντας τοὺς τόπους μεταβάλλει, καὶ οὕτως ὁρᾷ ὃ βούλεται. Τῆς δὲ χροιᾶς ἡ μεταβολὴ ἐμφυσωμένῳ αὐτῷ γίνεται. Ἔχει δὲ καὶ μέλαιναν ταύτην, οὐ πόῤῥω τῆς τῶν κροκοδείλων, καὶ ὠχρὰν καθάπερ οἱ σαῦροι, μέλανι, ὥσπερ τὰ παρδάλια, διαπεποικιλμένην. Γίνεται δὲ καθ' ἅπαν τὸ σῶμα αὐτοῦ ἡ τοιαύτη μεταβολὴ, καὶ γὰρ οἱ ὀφθαλμοὶ συμμεταβάλλουσιν ὁμοίως τῷ λοιπῷ σώματι, καὶ ἡ κέρκος. Ἡ δὲ κίνησις αὐτοῦ νωθὴς ἰσχυρῶς ἐστι, καθάπερ ἡ τῶν χελωνῶν.

eſt trouble, hors de l'eau elle eſt très perçante. Il paſſe ordinairement le jour ſur terre, & la nuit dans l'eau, parce qu'elle eſt alors plus chaude que n'eſt l'air.

Le chaméléon eſt, pour l'habitude générale du corps, ſemblable au lézard, mais ſes côtes deſcendent & elles ſe rejoignent l'une à l'autre juſqu'à la région de l'hypogaſtre, ainſi que dans les poiſſons. Le chaméléon tient des poiſſons encore l'élévation de l'épine du dos : ſon muſeau reſſemble beaucoup à celui du cochon-ſinge ; ſa queue eſt fort longue : elle s'amincit vers le bout & ſe roule pluſieurs fois ſur elle même comme le pourroit faire une laniere. Le chaméléon eſt plus haut ſur ſes pieds que ne l'eſt le lézard : les jambes ſe plient de la même maniere dans l'un & dans l'autre. Ses pieds ſont diviſés en deux parties diſpoſées l'une relativement à l'autre comme notre pouce l'eſt relativement au ſurplus de notre main, & ces deux parties ſe ſoudiviſent en des eſpeces de petits doigts. Les pieds de devant ont la partie qui eſt en dedans par rapport à l'animal partagée en trois doigts ; la partie qui eſt en dehors eſt partagée en deux doigts. Au contraire pour les pieds de derriere, la partie qui eſt en dedans n'a que deux doigts, & celle qui eſt en dehors en a trois ; ces doigts ont de petits ongles en forme de ſerres. Le corps du chaméléon eſt entiérement rude & raboteux comme celui du crocodile. Ses yeux ſont placés dans un creux ; ils ſont fort gros, ronds & recouverts d'une peau ſemblable à celle qui eſt ſur le reſte de ſon corps, mais il reſte au milieu un petit eſpace libre, pour que le chaméléon puiſſe voir, & cette ouverture n'eſt jamais fermée par la peau qui l'environne : il tourne ſes yeux circulairement, & promenant ainſi ſa vue par tout, il apperçoit ce qu'il cherche. Les changements de couleur que le chaméléon éprouve arrivent quand il ſe gonfle. Sa couleur naturelle eſt un noir aſſez ſemblable à celui du crocodile, & un jaune pâle ſemblable à celui du lézard : le noir eſt répandu ſur ſa peau par taches, comme ſur les Animaux de l'eſpece de la panthere. Lorſqu'il change de couleur, cela s'étend à tout ſon corps, à ſes yeux même & à ſa queue. Son allure eſt très-lente comme celle des tortues ; il pâlit en mourant, & la couleur qu'il prend alors lui reſte après ſa mort. L'œſophage & la trachée ont dans cet animal la même diſpoſition XI.

Ἀποθνήσκων τε ὠχρὸς γίνεται· καὶ τελευτήσαντος αὐτοῦ, ἡ χροιὰ τοιαύτη ἐστί. Τὰ δὲ περὶ τὸν στόμαχον καὶ τὴν ἀρτηρίαν ὁμοίως ἔχει τοῖς σαύροις κείμενα· σάρκα δ' οὐδαμοῦ ἔχει, εἰ μὴ πρὸς τῇ κεφαλῇ καὶ ταῖς σιαγόσιν ὀλίγα σαρκία, καὶ περὶ ἄκραν τὴν τῆς κέρκου πρόσφυσιν. Καὶ αἷμα δ' ἔχει περί τε τὴν καρδίαν μόνον, καὶ περὶ τὰ ὄμματα, καὶ τὸν ἄνω τῆς καρδίας τόπον, καὶ ὅσα ἀπὸ τούτων φλέβια ἀποτείνει· ἔστι δὲ καὶ ἐν τούτοις βραχὺ παντελῶς. Κεῖται δὲ καὶ ὁ ἐγκέφαλος ἀνώτερον μὲν ὀλίγον τῶν ὀφθαλμῶν, συνεχὴς δὲ τούτοις. Περιαιρεθέντος δὲ τοῦ ἔξωθεν δέρματος τῶν ὀφθαλμῶν, περιέχει τι διαλάμπον διὰ τούτων, οἷον κρίκος χαλκοῦς λεπτός. Καθ' ἅπαν δὲ αὐτοῦ τὸ σῶμα σχεδὸν διατείνουσιν ὑμένες πολλοὶ καὶ ἰσχυροί, καὶ πολὺ ὑπερβάλλοντες τῶν περὶ τὰ λοιπὰ ὑπαρχόντων. Ἐνεργεῖ δὲ καὶ τῷ πνεύματι, ἀνατετμημένος ὅλος ἐπὶ πολὺν χρόνον, βραχείας ἰσχυρῶς ἔτι κινήσεως ἐν αὐτῷ περὶ τὴν καρδίαν οὔσης· καὶ συνάγει διαφερόντως μὲν τὰ περὶ τὰ πλευρά, οὐ μὴν ἀλλὰ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος. Σπλῆνα δ' οὐδαμοῦ ἔχει φανερόν. Φωλεύει δὲ καθάπερ οἱ σαῦροι.

15. XII. Ὁμοίως δ' ἔνια μόρια καὶ οἱ ὄρνιθες τοῖς εἰρημένοις ἔχουσι ζώοις. Καὶ γὰρ κεφαλὴν καὶ αὐχένα πάντ' ἔχει, καὶ νῶτον, καὶ τὰ ὕπτια τοῦ σώματος, καὶ τὸ ἀνάλογον τῷ στήθει. Σκέλη δὲ δύο καθάπερ ἄνθρωπος μάλιστα τῶν ζώων, πλὴν κάμπτει εἰς τοὔπισθεν ὁμοίως τοῖς τετράποσιν, ὥσπερ εἴρηται πρότερον. Χεῖρας δέ, οὐδὲ πόδας προσθίους ἔχει, ἀλλὰ πτέρυγας, ἴδιον πρὸς τὰ ἄλλα ζῶα. Ἔτι δὲ τὸ ἰσχίον ὅμοιον μηρῷ, μακρὸν καὶ προσπεφυκὸς μέχρις ὑπὸ μέσην τὴν γαστέρα, ὥστε δοκεῖν διῃρημένον μηρὸν εἶναι· τὸν δὲ μηρὸν μεταξὺ τῆς κνήμης, ἕτερόν τι μέρος. Μεγίστους δὲ τοὺς μηροὺς ἔχει τὰ γαμψώνυχα τῶν ὀρνίθων, καὶ τὸ στῆθος ἰσχυρότερον τῶν ἄλλων. Πολυώνυχοι δέ εἰσι πάντες οἱ ὄρνιθες, ἔτι δὲ πολυσχιδεῖς τρόπον τινὰ πάντες. Τῶν μὲν γὰρ πλείστων διήρθρωται οἱ δάκτυλοι· τὰ δὲ πλωτὰ στεγανόποδα

que dans le lézard: il n'a de chair en tout qu'auprès de la tête, aux machoires, & très peu ſeulement à la racine de la queue. On ne lui trouve de ſang qu'au cœur, aux yeux, à la partie qui eſt au-deſſus du cœur, & dans les foibles veines qui partent de ces endroits-là : ce ſang n'eſt même qu'en très-petite quantité. Sa cervelle eſt un peu au-deſſus de ſes yeux, auxquels cependant elle eſt contigue. Si on enleve la peau qui entoure les yeux extérieurement, on apperçoit autour de l'œil, à travers les membranes, quelque choſe de brillant, comme ſeroit un anneau d'airain poli. Le corps du chaméléon eſt revêtu preſque dans ſa totalité de pluſieurs membranes fortes, qui s'élevent ſenſiblement au-deſſus de celles qui couvrent le ſurplus du corps. Il ſouffle long-temps encore après qu'on l'a entiérement diſſequé, & tant que ſon cœur conſerve quelque foible mouvement : quoiqu'il contracte alors toutes les parties de ſon corps, il contracte encore plus fortement celles qui ſont à la région des côtes. On ne lui apperçoit point du tout de rate. Le chaméléon habite dans des trous comme le lézard.

Paſſons aux oiſeaux : ils ont quelques parties ſemblables à celle des Animaux dont nous venons de parler : par exemple, ils ont tous une tête & un cou ; on diſtingue dans leur corps le dos, & la partie oppoſée au dos, ils ont auſſi une partie qui répond à la poitrine. Les oiſeaux ſont bipedes ; & en cela ils ſont de tous les Animaux ceux qui approchent plus de l'Homme : avec cette différence néanmoins que l'articulation de leurs pattes eſt en arriere, comme je l'ai obſervé plus haut, ainſi que chez les quadrupedes. Les oiſeaux n'ont ni mains, ni pieds de devant, mais des aîles qui les diſtinguent des autres Animaux. Leur hanche eſt très allongée : elle vient joindre le milieu du ventre, & cette partie reſſemble tellement à la cuiſſe, que quand elle eſt ſéparée du corps de l'oiſeau on la prendroit pour la cuiſſe, & que la vraie cuiſſe, qui eſt entre elle & la jambe, ſembleroit être quelque autre partie propre à cette eſpece d'animal. Les oiſeaux dont l'ongle eſt recourbé ont les cuiſſes plus grandes que les autres : ils ont auſſi la poitrine plus forte. Tous les oiſeaux ont pluſieurs ongles : on peut les appeller tous fiſſipedes en quelque maniere. Dans la plûpart, les doigts ſont entiérement ſéparés : 15. XII.

διηρθρωμένους ἔχει καὶ χωριστοὺς δακτύλους· εἰσὶ δὲ, ὅσοι αὐτῶν μετεωρίζονται, πάντες τετραδάκτυλοι· τρεῖς μὲν γὰρ εἰς τὸ ἔμπροσθεν, ἕνα δὲ εἰς τὸ ὄπισθεν κείμενον ἔχουσιν οἱ πλεῖστοι ἀντὶ πτέρνης. Ὀλίγοι δέ τινες, δύο μὲν ἔμπροσθεν, δύο δὲ ὄπισθεν, οἷον ἡ καλουμένη ἴυγξ· αὕτη δ᾽ ἐστὶ μικρῷ μὲν μείζων σπίζης, τὸ δὲ εἶδος ποικίλον. Ἰδίᾳ δ᾽ ἔχει τά τε περὶ τοὺς δακτύλους, καὶ τὴν γλῶτταν ὁμοίως τοῖς ὄφεσιν· ἔχει γὰρ ἐπὶ μῆκος ἔκτασιν καὶ ἐπὶ τέτταρας δακτύλους, καὶ πάλιν συστέλλεται εἰς ἑαυτήν. Ἔτι δὲ περιστρέφει τὸν τράχηλον εἰς τοὐπίσω, τοῦ λοιποῦ σώματος ἠρεμοῦντος, καθάπερ οἱ ὄφεις. Ὄνυχας δ᾽ ἔχει μεγάλους μὲν, ὁμοίως δὲ πεφυκότας τοῖς τῶν κολοιῶν. Τῇ δὲ φωνῇ τρίζει.

Στόμα δ᾽ οἱ ὄρνιθες ἔχουσι μὲν, ἴδιον δέ· οὔτε γὰρ χείλη, οὔτ᾽ ὀδόντας ἔχουσιν, ἀλλὰ ῥύγχος· οὔτε ὦτα, οὔτε μυκτῆρας, ἀλλὰ τοὺς πόρους τούτων τῶν αἰσθήσεων· τῶν μὲν μυκτήρων ἐν τῷ ῥύγχει, τῆς δ᾽ ἀκοῆς ἐν τῇ κεφαλῇ. Ὀφθαλμοὺς δὲ πάντες, καθάπερ καὶ τ᾽ ἄλλα ζῶα, δύο, ἄνευ βλεφαρίδων. Μύουσι δ᾽ οἱ βαρεῖς τῷ κάτω βλεφάρῳ· σκαρδαμύττουσι δὲ ἐκ τοῦ κανθοῦ δέρματι ἐπιόντι πάντες· οἱ δὲ γλαυκώδεις τῶν ὀρνίθων, καὶ τῷ ἄνω βλεφάρῳ. Τὸ δ᾽ αὐτὸ τοῦτο ποιοῦσι καὶ τὰ φολιδωτὰ, οἷον οἱ σαῦροι, καὶ τ᾽ ἄλλα τὰ ὁμοιογενῆ τούτοις τῶν ζώων. Μύουσι γὰρ τῇ κάτω βλεφαρίδι πάντες, οὐ μέν τοι σκαρδαμύττουσί γε πάντες ὥσπερ οἱ ὄρνιθες.

Ἔτι δ᾽ οὔτε φολίδας οὔτε τρίχας ἔχουσιν, ἀλλὰ πτερά. Τὰ δὲ πτερὰ καυλὸν ἔχει ἅπαντα. Καὶ οὐρὰν μὲν οὐκ ἔχουσιν, οὐροπύγιον δέ· οἱ μὲν μακροσκελεῖς καὶ στεγανόποδες, βραχύ· οἱ δ᾽ ἐναντίοι, μέγα. Καὶ οὗτοι μὲν πρὸς τῇ γαστρὶ τοὺς πόδας ἔχουσιν, ὅταν πέτωνται· οἱ δὲ μικρουροπύγιοι, ἐκτεταμένους. Καὶ γλῶτταν ἅπαντες, ταύτην δ᾽ ἀνομοίαν· οἱ μὲν γὰρ μακρὰν, οἱ δὲ πλατεῖαν. Μάλιστα δὲ τῶν ζώων, μετὰ τὸν ἄνθρωπον, γράμματα φθέγγεται ἔνια τῶν ὀρνίθων γένη. Τοιαῦτα δ᾽ ἐστὶ τὰ πλατύγλωσσα

καὶ

& même dans ceux qui nagent & dont les doigts sont unis par une membrane, la distinction & la division des doigts ne laisse pas d'être marquée. Tous les oiseaux qui s'élévent dans leur vol ont quatre doigts, le plus communément trois en avant, & un en arriere placé en guise de talon. Quelques-uns, mais en petit nombre, ont deux doigts devant & deux derriere; tel est le torcol. C'est un oiseau un peu plus grand que le pinçon, qui a le plumage varié, & qui, outre la disposition singuliere de ses doigts est remarquable par sa langue. Il l'a semblable à celle du serpent, il l'allonge jusqu'à la distance de quatre doigts, & il la retire ensuite en lui-même. Il peut aussi tourner son cou de devant en arriere, comme le serpent, sans que le reste de son corps fasse aucun mouvement. Ses ongles sont grands, semblables à ceux du choucas; sa voix est aigre & perçante.

Les oiseaux ont une bouche, mais d'une forme particuliere; ils n'ont ni levres ni dents, mais un bec. Ils n'ont également ni oreilles ni narines, ils ont seulement des ouvertures qui conduisent aux organes de ces sensations. Les ouvertures qui servent à l'odorat sont placées sur le bec; celles qui servent à l'ouie, sur la tête. Tous ont deux yeux comme les autres Animaux, mais point de cils. Les oiseaux pesans ferment l'œil en le couvrant avec la paupiere inférieure; tous les oiseaux, quand ils veulent seulement tempérer l'éclat de la lumiere, avancent une peau qui vient de l'angle de chaque œil. Les Animaux à peau écailleuse, tels que les lézards & autres de ce genre, ferment aussi l'œil avec la paupiere inférieure, comme les oiseaux, mais ils n'ont pas tous cette membrane qui sert aux oiseaux à modérer l'éclat de la lumiere. Les oiseaux de l'espece du chat-huant employent la paupiere supérieure comme l'inférieure pour fermer l'œil.

Ce ne sont ni des écailles, ni des poils, qui couvrent les oiseaux, mais des plumes, qui toutes ont un tuyau. Ce n'est point non plus une queue proprement dite qui termine leur corps, mais un croupion: il est petit dans ceux dont les pattes sont hautes, & qui ont les doigts unis par une membrane: il est plus gros dans les autres. Ceux-ci ont, lorsqu'ils volent, les pieds retirés près du ventre, mais ceux dont le croupion est petit les tiennent alors étendus. La langue, partie commune à tous, varie d'ailleurs dans sa forme: les uns l'ont allongée, les autres large: quelques especes d'oiseaux sont après l'Homme, les Animaux qui rendent le mieux le son de nos lettres: ces

αὐτῶν μάλιστα. Τὴν δὲ ἐπιγλωττίδα ἐπὶ τῆς ἀρτηρίας οὐθὲν τῶν ᾠοτοκούντων ἔχει, ἀλλὰ συνάγει καὶ διοίγει τὸν πόρον, ὥστε μηθὲν καθεῖναι τῶν ἐχόντων βάρος ἐπὶ τὸν πνεύμονα. Γένη δ' ἔνια τῶν ὀρνίθων ἔχει καὶ πλῆκτρον· γαμψώνυχον δ' ἅμα καὶ πλῆκτρον ἔχον, οὐθέν. Εστι δὲ τὰ μὲν γαμψώνυχα, τῶν πτητικῶν· τὰ δὲ πληκτροφόρα, τῶν βαρέων. Ετι δ' ἔνια τῶν ὀρνέων λόφον ἔχουσι, τὰ μὲν αὐτῶν τῶν πτερῶν ἐπανεστηκότα· ὁ δ' ἀλεκτρυὼν μόνος ἴδιον, ὃ οὔτε σάρξ ἐστιν, οὔτε πόῤῥω σαρκὸς τὴν φύσιν.

16. XIII. Τῶν δ' ἐνύδρων ζώων τὸ τῶν ἰχθύων γένος ἓν ἀπὸ τῶν ἄλλων ἀφώρισται, πολλὰς περιέχον ἰδέας. Κεφαλὴν μὲν γὰρ ἔχει, καὶ τὰ πρανῆ, καὶ τὰ ὕπτια, ἐν ᾧ τόπῳ ἡ γαστὴρ καὶ τὰ σπλάγχνα· καὶ ὀπίσθιον οὐραῖον συνεχὲς ἔχει, καὶ ἄσχιστον· τοῦτο δ' οὐ πᾶσιν ὅμοιον. Αὐχένα δὲ οὐδεὶς ἔχει ἰχθὺς, οὐδὲ κῶλον οὐθὲν, οὐδ' ὄρχεις ὅλως, οὔτ' ἐντὸς, οὔτ' ἐκτός· οὐδὲ μαστούς. Τοῦτο μὲν οὖν ὅλως, οὐδ' ἄλλο οὐθὲν τῶν μὴ ζωοτοκούντων, οὐδὲ τὰ ζωοτοκοῦντα πάντα, ἀλλὰ ὅσα εὐθὺς ἐν αὐτοῖς ζωοτοκεῖ, καὶ μὴ ᾠοτοκεῖ πρῶτον. Καὶ γὰρ ὁ δελφὶς ζωοτοκεῖ· διὸ ἔχει μαστοὺς δύο, οὐκ ἄνω δὲ, ἀλλὰ πλησίον τῶν ἄρθρων. Εχει δ' οὐχ, ὥσπερ τὰ τετράποδα, ἐπιφανεῖς θηλὰς, ἀλλ' οἷον ῥύακας δύο, ἑκατέρωθεν ἐκ τῶν πλαγίων ἕνα, ἐξ ὧν τὸ γάλα ῥεῖ· καὶ θηλάζεται ὑπὸ τῶν τέκνων παρακολουθούντων· καὶ τοῦτο ὦπται ἤδη ὑπό τινων φανερῶς.

Οἱ δ' ἰχθύες, ὥσπερ εἴρηται, οὔτε μαστοὺς ἔχουσιν, οὔτε αἰδοίων πόρον ἐκτὸς οὐθένα φανερόν· ἴδιον δ' ἔχουσι τό τε τῶν βραγχίων, ᾗ τὸ ὕδωρ ἀφιᾶσι, δεξάμενοι κατὰ τὸ στόμα, καὶ τὰ πτερύγια· οἱ μὲν πλεῖστοι, τέτταρα· οἱ δὲ προμήκεις, οἷον ἔγχελυς, δύο ὄντα πρὸς τὰ βραγχία. Ομοίως δὲ καὶ κεστρεῖς, οἷον ἐν Σιφαῖς οἱ ἐν τῇ λίμνῃ, δύο· καὶ ἡ καλουμένη ταινία ὡσαύτως. Ενια δὲ τῶν προμήκων, οὐδὲ πτερύγια ἔχει, οἷον σμύραινα, οὐδὲ τὰ βραγχία διηρθρωμένα ὁμοίως τοῖς ἄλλοις ἰχθύσιν. Αὐτῶν δὲ τῶν ἐχόντων τὰ βραγχία, τὰ μὲν ἔχει ἐπικαλύμ-

especes sont sur-tout celles qui ont la langue large. Les Animaux ovipares n'ont point d'épiglotte pour couvrir l'entrée de la trachée artere; mais ils peuvent en resserrer ou en dilater l'ouverture à leur volonté, de sorte que rien de pesant ne tombe dans le poumon. L'ergot est particulier à quelques oiseaux : il ne se trouve dans aucun de ceux qui ont les ongles recourbés. Ces derniers sont du nombre de ceux dont le vol est élevé : les oiseaux à ergot sont du nombre des oiseaux pesans. La crête est encore particuliere à certains oiseaux ; le coq seul l'a d'une substance particuliere, qui sans être de la chair n'est pas fort différente de la chair. Dans les autres, la crête est formée par quelques-unes de leurs plumes qui se redressent.

Entre les Animaux aquatiques les poissons doivent former un genre séparé des autres, & ce genre comprend un grand nombre d'especes. Les poissons ont une tête ; on distingue dans leur corps un côté tourné vers le ciel, un autre vers les parties opposées : c'est dans cette derniere situation que sont leur ventre & leurs entrailles. Ils ont une sorte de queue qui est comme le prolongement de leur corps, sans aucune séparation : cependant elle n'est pas semblable dans tous. Ils n'ont ni cou, ni ce que nous appellons les extrémités supérieures ou inférieures, ni testicules soit apparens soit cachés, ni mamelles. Au reste, de n'avoir point de mamelles est une chose commune à tous les Animaux non vivipares, & entre les vivipares même, il n'y a que ceux qui le sont absolument qui en ayent, & non ceux dans lesquels la reproduction commence par un œuf. Le dauphin est vraiment vivipare, aussi a-t-il deux mamelles ; elles ne sont pas placées en haut, mais vers les parties de la génération. Il n'a pas comme les quadrupedes des mamellons apparens, mais seulement deux orifices, un de chaque côté, par lesquels le lait coule. Les petits dauphins tettent ce lait, en nageant à la suite de leur mere : on tient ce fait de témoins oculaires. 16. XIII.

Les poissons, n'ont donc, comme je le disois, ni mamelles, ni membre génital extérieur & apparent, mais ils ont d'autres parties qui leur sont propres : les ouies pour rejetter l'eau qu'ils avalent par la bouche, & les nageoires. La plûpart ont quatre nageoires, les poissons longs, tels que l'anguille, en ont deux seulement près des ouies. Le muge de l'étang de Siphes n'en a également que deux, ainsi que le *tænia*. Quelques poissons longs, comme la murene, n'ont point de nageoires, & leurs ouies ne sont pas développées comme dans les autres. Parmi les poissons qui ont des ouies, quelques-uns

ματα τοῖς βραγχίοις· τὰ δὲ σελάχη πάντα, ἀκάλυπτα. Καὶ τὰ μὲν ἔχοντα καλύμματα, πάντα ἐκ πλαγίου ἔχει τὰ βραγχία· τῶν δὲ σελαχῶν, τὰ μὲν πλατέα, κάτω ἐν τοῖς ὑπτίοις, οἷον νάρκη καὶ βάτος· τὰ δὲ προμήκη, ἐν τοῖς πλαγίοις, οἷον πάντα τὰ γαλεώδη. Ο δὲ βάτραχος ἐκ πλαγίου μὲν ἔχει, καλυπτόμενα δ' οὐκ ἀκανθώδει καλύμματι, ὥσπερ οἱ μὴ σελαχώδεις, ἀλλὰ δερματώδει. Ετι δὲ τῶν ἐχόντων βραγχία, τῶν μὲν ἁπλᾶ ἐστι τὰ βραγχία, τῶν δὲ διπλᾶ· τὸ δὲ ἔσχατον πρὸς τὸ σῶμα, πάντων ἁπλοῦν. Καὶ τὰ μὲν ὀλίγα βραγχία ἔχει· τὰ δὲ πλῆθος βραγχίων· ἴσα δὲ ἐφ' ἑκάτερα πάντες. Εχει δὲ ὁ ἐλάχιστα ἔχων, ἓν ἐφ' ἑκάτερα βραγχίον· διπλοῦν δὲ τοῦτο, οἷον ὁ κάπρος· οἱ δὲ δύο ἐφ' ἑκάτερα, τὸ μὲν ἁπλοῦν, τὸ δὲ διπλοῦν, οἷον γόγγρος καὶ σκάρος· οἱ δὲ τέτταρα ἐφ' ἑκάτερα ἁπλᾶ, οἷον ἔλλοψ, συναγρὶς, σμύραινα, ἔγχελυς· οἱ δὲ τέτταρα μὲν, δίστοιχα δὲ, πλὴν τοῦ ἐσχάτου, οἷον κίχλη, καὶ πέρκη, καὶ γλανὶς, καὶ κυπρῖνος. Εχουσι δὲ καὶ οἱ γαλεώδεις διπλᾶ πάντες, καὶ πέντε ἐφ' ἑκάτερα· ὁ δὲ ξιφίας ὀκτὼ διπλᾶ. Περὶ μὲν οὖν πλήθους βραγχίων ἐν τοῖς ἰχθύσι, τοῦτον ἔχει τὸν τρόπον.

Ετι δὲ πρὸς τ' ἄλλα ζῶα, οἱ ἰχθύες διαφέρουσι πρὸς τῇ διαφορᾷ τῇ περὶ τὰ βραγχία. Οὔτε γὰρ, ὥσπερ τῶν πεζῶν ὅσα ζωοτόκα, ἔχει τρίχας· οὔθ' ὥσπερ ἔνια τῶν ᾠοτοκούντων τετραπόδων, φολίδας· οὔτε ὡς τὸ τῶν ὀρνέων γένος πτερωτόν· ἀλλ' οἱ μὲν πλεῖστοι αὐτῶν λεπιδωτοί εἰσιν, ὀλίγοι δέ τινες τραχεῖς, ἐλάχιστον δ' ἐστὶ πλῆθος αὐτῶν τὸ λεῖον. Τῶν μὲν οὖν σελαχῶν τὰ μὲν τραχέα ἐστὶ, τὰ δὲ λεῖα· γόγγροι δὲ, καὶ ἐγχέλυες, καὶ θύννοι, τῶν λείων.

Καρχαρόδοντες δὲ πάντες οἱ ἰχθύες, ἔξω τοῦ σκάρου· καὶ πάντες ἔχουσιν ὀξεῖς τοὺς ὀδόντας, καὶ πολυστοίχους ἔνιοι, καὶ ἐν τῇ γλώττῃ· καὶ γλῶτταν σκληρὰν καὶ ἀκανθώδη ἔχουσι, καὶ προσπεφυκυῖαν οὕτως, ὥστ' ἐνίοτε μὴ δοκεῖν ἔχειν. Τὸ δὲ στόμα, οἱ

les ont couvertes ; mais tous les sélaques les ont découvertes. Les ouies des premiers sont toujours sur le côté : quant aux sélaques, ceux qui sont plats les ont dessous, comme la torpille & la raie ; ceux qui ont le corps allongé les ont sur le côté : tous les sélaques du genre des chiens de mer les ont ainsi. La grenouille de mer a les ouies sur le côté, recouvertes d'une espece de peau, & non pas comme les poissons autres que les sélaques, d'une substance de la nature des arrêtes. Les lames qui composent les ouies sont simples ou doubles, mais la derniere du côté du corps est toujours simple. Quelques poissons ont moins de ces lames, d'autres en ont plus ; mais dans chacun le nombre en est toujours égal de chaque côté. Le moins est une lame de chaque côté, & alors elle est double : telles sont les ouies du sanglier de mer : quelques-uns en ont deux de chaque côté, l'une simple & l'autre double : on le voit dans le congre & le scare. Les ouies de l'ellops, de la synagris, de la murene & de l'anguille sont formées de quatre lames simples ; celles de la grive de mer, de la perche, du glanis, de la carpe, ont quatre lames doubles excepté la derniere : nous ne nommons ces différents poissons que pour servir d'exemple. Tous les chiens de mer ont cinq lames à leurs ouies de chaque côté & toutes doubles. L'espadon les a doubles aussi & au nombre de huit. Voilà les observations qu'on peut faire sur le nombre de lames dont les ouies des poissons sont composées.

Indépendamment des ouies, d'autres différences encore séparent les poissons des autres Animaux. Le poisson n'est pas couvert de poils comme l'animal vivipare qui marche sur la surface de la terre ; ni d'écailles semblables à celles de certains quadrupedes ovipares, ni de plumes comme les oiseaux. Le plus grand nombre des poissons est couvert de lames écailleuses : quelques-uns en petit nombre, ont la peau rude & inégale ; d'autres enfin, & c'est le moindre nombre, ont la peau lisse. Les sélaques sont partagés entre ces deux dernieres classes : les congres, les anguilles & les thons sont de la classe de ceux qui ont la peau lisse.

Les poissons ont généralement, à l'exception du scare, les dents en forme de scie, & aigues ; quelques-uns en ont plusieurs rangées, & jusques sur la langue même. Leur langue est dure, d'une substance semblable à celles des arrêtes, & tellement adhérente que quelquefois ils semblent n'en point avoir.

μὲν ἀνέῤῥωγος, ὥσπερ ἔνια τῶν ζωοτόκων καὶ τετραπόδων. Τῶν δ᾽ αἰσθητηρίων τῶν μὲν ἄλλων οὐδὲν ἔχουσι φανερὸν, οὔτ᾽ αὐτὸ, οὔτε τοὺς πόρους, οὔτ᾽ ἀκοῆς, οὔτ᾽ ὀσφρήσεως, ὀφθαλμοὺς δὲ πάντες ἔχουσιν ἄνευ βλεφάρων, οὐ σκληρόφθαλμοι ὄντες. Ἔναιμον μὲν οὖν ἐστὶν ἅπαν τὸ τῶν ἰχθύων γένος· εἰσὶ δ᾽ αὐτῶν οἱ μὲν ᾠοτόκοι, οἱ δὲ ζωοτόκοι. Οἱ μὲν λεπιδωτοί εἰσι πάντες ᾠοτόκοι· τὰ δὲ σελάχη πάντα ζωοτόκα, πλὴν βατράχου.

17. XIV. Λοιπὸν δὲ τῶν ἐναίμων ζώων τὸ τῶν ὄφεων γένος. Ἔστι δὲ κοινὸν ἀμφοῖν· τὸ μὲν γὰρ πλεῖστον αὐτῶν χερσαῖόν ἐστιν, ὀλίγον δὲ τὸ τῶν ἐνύδρων, ὃ ἐν τοῖς ποτίμοις ὕδασι διατελεῖ. Εἰσὶ δὲ καὶ θαλάττιοι ὄφεις, παραπλήσιοι τὴν μορφὴν τοῖς χερσαίοις τ᾽ ἄλλα· πλὴν τὴν κεφαλὴν ἔχουσι γογγροειδεστέραν· γένη δὲ πολλὰ τῶν θαλαττίων ὄφεών ἐστι, καὶ χρόαν ἔχουσι παντοδαπήν· οὐ γίγνονται δ᾽ οὗτοι ἐν τοῖς σφόδρα βαθέσιν. Ἄποδες δ᾽ εἰσὶν οἱ ὄφεις ὥσπερ τὸ τῶν ἰχθύων γένος.

Εἰσὶ δὲ καὶ σκολόπενδραι θαλάσσιαι, παραπλήσιαι τῷ εἴδει ταῖς χερσαίαις· τὸ δὲ μέγεθος, μικρῷ ἐλάττους. Γίγνονται δὲ περὶ τοὺς πετρώδεις τόπους· τὴν δὲ χροιάν εἰσιν ἐρυθρότεραι, καὶ πολύποδες μᾶλλον, καὶ λεπτοσκελέστεραι τῶν χερσαίων· οὐ γίγνονται δὲ οὐδ᾽ αὗται, ὥσπερ οὐδ᾽ οἱ ὄφεις, ἐν τοῖς βαθέσι σφόδρα.

Ἔστι δ᾽ ἰχθύδιόν τι πετραῖον, ὃ καλοῦσί τινες ἐχενηΐδα, καὶ χρῶνταί τινες αὐτῷ πρὸς δίκας καὶ φίλτρα· ἔστι δὲ ἄβρωτον· τοῦτο δ᾽ ἔνιοί φασιν ἔχειν πόδας, οὐκ ἔχον· ἀλλὰ φαίνεται, διὰ τὸ τὰς πτέρυγας ὁμοίας ἔχειν ποσί.

18. XV. Τὰ μὲν οὖν ἔξω μόρια καὶ πόσα καὶ ποῖα τῶν ἐναίμων ζώων, καὶ τίνας ἔχει πρὸς ἄλληλα διαφορὰς, εἴρηται· τὰ δ᾽ ἐντὸς πῶς ἔχει, λεκτέον ἐν τοῖς ἐναίμοις ζώοις πρῶτον. Τούτῳ γὰρ διαφέρει τὰ μέγιστα γένη πρὸς τὰ λοιπὰ τῶν ἄλλων ζώων, τῷ τὰ μὲν ἔναιμα, τὰ δ᾽ ἄναιμα εἶναι. Ἔστι δὲ ταῦτα, ἄνθρωπός τε καὶ τὰ ζωοτόκα τῶν τετραπόδων· ἔτι δὲ καὶ τὰ ᾠοτόκα τῶν

La bouche eſt fort ouverte dans quelques-uns, comme elle l'eſt dans certains quadrupedes vivipares. On ne leur voit au dehors aucun organe pour les ſens de l'ouie & de l'odorat, pas même de conduits ouverts, mais ils ont tous des yeux, & ces yeux ſont ſans paupieres, quoique leur ſubſtance ne ſoit pas dure & ſéche. Tous les poiſſons ont du ſang; mais quelques-uns ſont ovipares, d'autres vivipares. Tous les poiſſons couverts de lames écailleuſes ſont ovipares : les ſélaques, à l'exception de la grenouille de mer, ſont tous vivipares.

Il reſte, pour achever de parcourir les Animaux qui ont du ſang, à parler 17. XIV.
du ſerpent. C'eſt un genre qui tient aux deux grandes diviſions des Animaux terreſtres & aquatiques ; ſi la plûpart des ſerpents vivent ſur la terre, d'autres, quoique en plus petit nombre, vivent dans l'eau, & dans l'eau douce. Il y a auſſi des ſerpents de mer qui, pour la forme, ſont ſemblables aux ſerpents de terre, ſi ce n'eſt qu'ils ont la tête plus approchante de celle du congre. On diſtingue pluſieurs eſpeces de ſerpents de mer : ils ont toutes ſortes de couleurs. En général ces ſerpents ne ſe trouvent point dans les lieux extrêmement profonds. Les ſerpents ſont des Animaux ſans pieds, comme les poiſſons.

La mer a auſſi des ſcolopendres, un peu plus petites que celles de terre, auxquelles elles ſont d'ailleurs aſſez ſemblables. On les trouve dans les lieux ſemés de rochers. Elles ſont plus rouges que les ſcolopendres terreſtres, leurs pieds ſont plus nombreux, & leurs jambes plus grêles : elles évitent, de même que les ſerpents, les lieux trop profonds.

Il exiſte un petit poiſſon ſaxatile que quelques-uns nomment remore, qui n'eſt pas bon à manger, mais dont quelques gens ſe ſervent pour compoſer des philtres, & des enchantemens qu'ils croyent capables de faire gagner les procès. On prétend que ce poiſſon a des pieds : la vérité eſt qu'il n'en a point ; ce qui trompe c'eſt que ſes nageoires ont l'apparence de pieds.

Après avoir conſidéré les parties extérieures des Animaux qui ont du ſang, 18. XV.
leur nombre, leur figure, & leurs différences reſpectives, il faut paſſer à l'examen des parties intérieures, en commençant par ces mêmes Animaux qui ont du ſang. On ſe rappelle que cette différence, d'avoir du ſang ou de n'en point avoir, ſépare les principaux genres d'Animaux d'avec les autres. On compte parmi les premiers, l'Homme, les quadrupedes vivipares &

τετραπόδων, καὶ ὄρνις, καὶ ἰχθὺς, καὶ κῆτος, καὶ εἴ τι ἄλλο ἀνώνυμόν ἐστι διὰ τὸ μὴ εἶναι γένος, ἀλλ' ἁπλοῦν τὸ εἶδος ἐπὶ τῶν καθ' ἕκαστα, οἷον ὄφις καὶ κροκόδειλος.

Οσα μὲν οὖν ἐστι τετράποδα καὶ ζωοτόκα, στόμαχον μὲν καὶ ἀρτηρίαν πάντ' ἔχει, καὶ κείμενα τὸν αὐτὸν τρόπον ὥσπερ ἐν τοῖς ἀνθρώποις· ὁμοίως δὲ καὶ ὅσα ᾠοτοκεῖ τῶν τετραπόδων, καὶ ἐν τοῖς ὄρνισιν· ἀλλὰ τοῖς εἴδεσι τῶν μορίων τούτων διαφέρουσιν. Ολως δὲ πάντα ὅσα τὸν ἀέρα δεχόμενα ἀναπνεῖ καὶ ἐκπνεῖ, πάντ' ἔχει πνεύμονα, καὶ ἀρτηρίαν, καὶ στόμαχον, καὶ τὴν θέσιν τοῦ στομάχου καὶ τῆς ἀρτηρίας ὁμοίως, ἀλλ' οὐχ ὅμοια· τὸν δὲ πνεύμονα, οὔθ' ὅμοιον, οὔτε τῇ θέσει ὁμοίως ἔχοντα.

Ετι δὲ καρδίαν ἅπαντ' ἔχει, ὅσα αἷμα ἔχει, καὶ τὸ διάζωμα, ὃ καλεῖται φρένες· ἀλλ' ἐν τοῖς μικροῖς, διὰ λεπτότητα καὶ σμικρότητα, οὐ φαίνεται ὁμοίως, πλὴν ἐν τῇ καρδίᾳ. Ιδιον δ' ἐστὶν ἐπὶ τῶν βοῶν· ἔστι γάρ τι γένος βοῶν, ἀλλ' οὐ πάντες, ὃ ἔχει ἐν τῇ καρδίᾳ ὀστοῦν· ἔχει δὲ καὶ ἡ τῶν ἵππων καρδία ὀστοῦν. Πνεύμονα δὲ οὐ πάντα ἔχει· οἷον οἱ ἰχθύες οὐκ ἔχουσιν, οὐδὲ εἴ τι ἄλλο τῶν ζώων ἔχει βραγχία. Καὶ ἧπαρ ἅπαντ' ἔχει ὅσαπερ αἷμα. Σπλῆνα δὲ τὰ πλεῖστα ἔχει, ὅσαπερ καὶ αἷμα. Τὰ δὲ πολλὰ τῶν μὴ ζωοτοκούντων ἀλλ' ᾠοτοκούντων, μικρὸν ἔχει τὸν σπλῆνα, οὕτως ὥστε λανθάνειν ὀλίγου τὴν αἴσθησιν ἔν τοῖς ὄρνισι τοῖς πλείστοις, οἷον περιστερᾷ, καὶ ἰκτίνῳ, καὶ ἱέρακι, καὶ γλαυκί· ὁ δ' αἰγοκέφαλος ὅλως οὐκ ἔχει. Επὶ τῶν ᾠοτόκων δὲ καὶ τετραπόδων, τὸν αὐτὸν τρόπον ἔχει· μικρὸν γὰρ πάμπαν ἔχουσι καὶ ταῦτα, οἷον χελώνη, ἐμὺς, φρύνη, σαῦρος καὶ κροκόδειλος, καὶ βάτραχος.

Χολὴν δὲ τῶν ζώων τὰ μὲν ἔχει, τὰ δ' οὐκ ἔχει ἐπὶ τῷ ἥπατι. Τῶν μὲν ζωοτόκων καὶ τετραπόδων ἔλαφος οὐκ ἔχει, οὐδὲ πρόξ· ἔτι δὲ τάδε, ἵππος, ὀρεὺς, ὄνος, φώκη, καὶ τῶν μυῶν ἔνιοι. Τῶν δ' ἐλάφων αἱ Αχαιναὶ καλούμεναι δοκοῦσιν ἔχειν ἐν

ovipares,

ovipares, les oiſeaux, les poiſſons, les cétacées, & autres qu'on ne ſauroit déſigner ſous un nom commun, parce qu'ils ne forment point de genre, mais ſeulement des eſpeces qui ne comprennent que des individus : tel eſt le ſerpent & le crocodile.

Tous les quadrupedes vivipares ont un œſophage & une trachée diſpoſée de même que dans l'Homme. Les quadrupedes ovipares & les oiſeaux ont également ces parties, mais leur forme n'eſt pas la même dans tous. On peut dire en général, que tout animal qui attire l'air & le rejette, a un poumon, une trachée & un œſophage ; & quoique ces deux dernieres parties ne ſoient pas ſemblables dans tous, leur poſition eſt toujours la même ; mais, à l'égard du poumon, il eſt différent dans les divers Animaux, ſoit en lui-même, ſoit pour la poſition.

Le cœur eſt une partie commune à tout animal qui a du ſang, ainſi que cette cloiſon intérieure qu'on nomme le diaphragme. Dans les petits Animaux, la ténuité de leur ſang & le peu de volume de leur corps font qu'on n'apperçoit de ſang qu'au cœur. Une ſingularité dans le bœuf, ou du moins dans une certaine eſpece de bœufs, c'eſt d'avoir un os dans le cœur. On trouve auſſi un pareil os dans le cœur du cheval. Quant au poumon, il n'eſt pas commun à tous les Animaux qui ont du ſang ; les poiſſons n'ont point cet organe, & ſi quelque autre animal a des ouies, il n'a point non plus de poumon. Le foye ſe trouve dans tous les Animaux qui ont du ſang ; la rate dans la plûpart : mais elle eſt ſi petite dans le plus grand nombre de ceux qui ſont ovipares, que chez la plûpart des oiſeaux à peine l'apperçoit-on, & en particulier dans le pigeon, le milan, l'épervier, le chat-huant ; l'ægocephale n'en a point du tout. Cette partie eſt de même abſolument petite dans les quadrupedes ovipares, la tortue, l'émys, la grenouille de haie, le lézard, le crocodile & la grenouille commune.

Quelques Animaux ont une véſicule de fiel jointe au foie, d'autres n'en ont point : entre les quadrupedes vivipares, le cerf, le daim, le cheval, le mulet, l'âne, le phoque, & certains rats n'en ont point. Les cerfs qu'on ſurnomme *Achæens* paroiſſent avoir le fiel à la queue, mais ce qu'on prend

τῇ κέρκῳ χολήν· ἔςι δ' ὃ λέγουσι, τὸ μὲν χρῶμα ὅμοιον χολῇ, οὐ μέντοι ὑγρὸν οὕτως, ἀλλ' ὅμοιον τῷ τοῦ σπληνὸς τὰ ἐντός. Σκώληκας μὲν πάντες ἔχουσιν ἐν τῇ κεφαλῇ ζῶντας· ἐγγίνονται δὲ ὑποκάτω τοῦ ὑπογλωττίου ἐν τῷ κοίλῳ, καὶ περὶ τὸν σφόνδυλον, ᾗ ἡ κεφαλὴ προσπέφυκε· τὸ μέγεθος οὐκ ἐλάττους ὄντες τῶν μεγίςων εὐλῶν. Εγγίνονται δ' ἀθρόοι καὶ συνεχεῖς· τὸν ἀριθμὸν δ' εἰσὶ μάλιςα περὶ εἴκοσι. Χολὴν μὲν οὖν οὐκ ἔχουσιν οἱ ἔλαφοι, ὥσπερ εἴρηται, τὸ δ' ἔντερον αὐτῶν ἐςὶ πικρὸν, οὕτως ὥστε μηδὲ τοὺς κύνας ἐθέλειν ἐσθίειν, ἂν μὴ σφόδρα πίων ᾖ ὁ ἔλαφος. Εχει δὲ καὶ ὁ ἐλέφας τὸ ἧπαρ ἄχολον μὲν, τεμνομένου μέντοι περὶ τὸν τόπον οὗ τοῖς ἔχουσιν ἐπιφύεται ἡ χολὴ, ῥεῖ ὑγρότης χολώδης, ἢ πλείων, ἢ ἐλάττων.

Τῶν δὲ δεχομένων τὴν θάλατταν καὶ ἐχόντων πνεύμονα, δελφὶς οὐκ ἔχει χολήν. Οἱ δ' ὄρνιθες καὶ ἰχθύες πάντες ἔχουσι χολὴν, καὶ τὰ ᾠοτόκα καὶ τετράποδα, καὶ ὡς ἐπίπαν εἰπεῖν, ἢ πλείω, ἢ ἐλάττω· ἀλλ' οἱ μὲν πρὸς τῷ ἥπατι τῶν ἰχθύων, οἷον οἵ τε γαλεώδεις, καὶ γλανὶς, καὶ ῥίνη, καὶ λειόβατος, καὶ νάρκη· καὶ τῶν μακρῶν, ἔγχελυς, καὶ βελόνη, καὶ ζύγαινα· ἔχει δὲ καὶ ὁ καλλιώνυμος ἐπὶ τῷ ἥπατι, ὅσπερ ἔχει μεγίςην τῶν ἰχθύων, ὡς κατὰ μέγεθος· οἱ δὲ πρὸς τοῖς ἐντέροις ἔχουσιν, ἀποτεταμένην ἀπὸ τοῦ ἥπατος, πόροις πάνυ λεπτοῖς. Η μὲν οὖν ἀμία παρὰ τὸ ἔντερον παρατεταμένην ἰσομήκη ἔχει· πολλάκις δὲ καὶ ἐπαναδίπλωμα· οἱ δ' ἄλλοι πρὸς τοῖς ἐντέροις, οἱ μὲν πορρώτερον, οἱ δ' ἐγγύτερον, οἷον βάτραχος, ἔλλοψ, συναγρὶς, σμύραινα, ξιφίας. Πολλάκις δὲ καὶ τὸ αὐτὸ γένος ἐπ' ἀμφότερα φαίνεται ἔχον, οἷον γόγγροι· οἱ μὲν πρὸς τῷ ἥπατι· οἱ δὲ κάτω ἀπηρτημένην. Ομοίως δ' ἔχει τοῦτο καὶ ἐπὶ τῶν ὀρνίθων. Ενιοι γὰρ πρὸς τῇ κοιλίᾳ ἔχουσιν, οἱ δὲ πρὸς τοῖς ἐντέροις τὴν χολὴν, οἷον περιςερὰ, κόραξ, ὄρτυξ, χελιδὼν, ςρουθός. Ενιοι δ' ἅμα πρὸς τῷ ἥπατι ἔχουσι καὶ πρὸς τῇ κοιλίᾳ, οἷον αἰγοκέφαλος· οἱ δ' ἅμα πρὸς τῷ ἥπατι καὶ τοῖς ἐντέροις, οἷον ἱέραξ καὶ ἰκτῖνος.

dans ces Animaux pour du fiel n'en a que la couleur, & n'eſt pas auſſi liquide que le fiel ; c'eſt plutôt un corps ſolide dont le dedans reſſemble à l'intérieur de la rate. Les cerfs ont tous des vers vivans dans la tête ; ces vers ſe forment dans des cavités qui ſont ſous la racine de la langue, près de la vertebre à laquelle la tête eſt articulée : leur groſſeur eſt celle des plus grands vers qui ſe trouvent dans les chairs corrompues ; ils ſe tiennent ſerrés & unis l'un contre l'autre, & ſont tout au plus au nombre d'environ vingt. Pour revenir au fiel, le cerf n'en a point, comme je viens de le dire ; mais ſes entrailles ſont tellement amères, que les chiens même n'en veulent manger que quand l'animal eſt fort gras. L'éléphant non plus n'a point de fiel contenu dans une veſicule à part, mais ſi on ouvre ſon foie à l'endroit où cette veſicule ſe trouve dans les Animaux qui en ont une, il en coule une liqueur de la nature du fiel, & plus ou moins abondante.

Parmi les Animaux qui aſpirent l'eau de la mer, & qui ont un poumon, le dauphin n'a point de fiel : mais les autres poiſſons, les oiſeaux & les quadrupedes ovipares ont tous un fiel ; on peut dire qu'il n'y a de différence que du plus au moins. Dans quelques poiſſons la véſicule eſt auprès du foie, comme dans le chien de mer, le glanis, la lime, la raie liſſe & la torpille ; de même encore dans certains poiſſons longs, l'aiguille, la zygene & l'anguille : le callionyme l'a jointe au foie, & plus grande qu'aucun autre, à proportion de ſon corps. D'autres poiſſons ont la véſicule du fiel près des entrailles, & ſuſpendue au foie par des conduits très déliés. Celle du boniton eſt couchée le long de l'inteſtin ; elle en égale la longueur, ſouvent même elle fait encore un retour. Dans les autres poiſſons cette véſicule eſt plus ou moins près des inteſtins : on le voit dans la grenouille de mer, l'ellops, la ſynagris, la murene & l'eſpadon. Il n'eſt pas rare que la ſituation de la véſicule du fiel varie dans des individus de même genre : il y a des congres où on la trouve auprès du foie, & d'autres dans leſquels elle pend plus bas. La ſituation du fiel ne varie pas moins dans les oiſeaux : quelques-uns l'ont près de l'eſtomac, d'autres près des entrailles, tels que le pigeon, le corbeau, la caille, l'hirondelle & le paſſereau. Dans quelques-uns, tels que l'ægocephale, elle tient également au foie & à l'eſtomac : ailleurs, comme dans l'épervier & le milan, elle tient au foie & aux inteſtins.

XVI. Νεφροὺς δὲ καὶ κύστιν τὰ μὲν ζωοτόκα τῶν τετραπόδων πάντ' ἔχει· ὅσα δὲ ᾠοτοκεῖ, τῶν μὲν ἄλλων οὐθὲν ἔχει, οἷον οὔτ' ὄρνις οὔτ' ἰχθὺς, τῶν δὲ τετραπόδων μόνον χελώνη ἡ θαλαττία μέγεθος κατὰ λόγον τῶν ἄλλων μορίων. Ὁμοίους δ' ἔχει τοὺς νεφροὺς ἡ θαλαττία χελώνη τοῖς βοείοις· ἔστι δ' ὁ τοῦ βοὸς, οἷον ἐκ πολλῶν μικρῶν εἷς συγκείμενος. Ἔχει δὲ καὶ ὁ βόνασσος τὰ ἐντὸς ἅπαντα ὅμοια βοΐ.

19.
XVII. Τῇ δὲ θέσει, ὅσα ἔχει, ταῦτα τὰ μόρια ὁμοίως κείμενα ἔχει, τήν τε καρδίαν περὶ τὸ μέσον, πλὴν ἐν ἀνθρώπῳ. Οὗτος δ' ἐν τῷ ἀριστερῷ μᾶλλον μέρει, καθάπερ ἐλέχθη πρότερον. Ἔχει δὲ καὶ τὸ ὀξὺ ἡ καρδία πάντων εἰς τὸ πρόσθεν, πλὴν ἐπὶ τῶν ἰχθύων οὐκ ἂν δόξειεν· οὐ γὰρ πρὸς τὸ στῆθος ἔχει τὸ ὀξὺ, ἀλλὰ πρὸς τὴν κεφαλὴν, καὶ τὸ στόμα. Ἀνήρτηται δ' αὐτῶν τὸ ἄκρον ᾗ συνάπτῃ τὰ βράγχια ἀλλήλοις, τὰ δεξιὰ καὶ τὰ ἀριστερά. Εἰσὶ δὲ καὶ ἄλλοι πόροι τεταμένοι ἐξ αὐτῆς εἰς ἕκαστον τῶν βραγχίων, μείζους μὲν τοῖς μείζοσιν, ἐλάττους δὲ τοῖς ἐλάττοσιν· ὁ δὲ ἐπ' ἄκρας τῆς καρδίας τοῖς μεγάλοις αὐτῶν, σφόδρα παχὺς αὐλός ἐστι καὶ λευκός. Στόμαχον δ' ὀλίγοι ἔχουσι τῶν ἰχθύων, οἷον γόγγρος καὶ ἔγχελυς, καὶ οὗτοι μικρόν.

Καὶ τὸ ἧπαρ τοῖς ἔχουσι, τοῖς μὲν ἀσχιδὲς ἔχουσίν, ἐστιν ἐν τοῖς δεξιοῖς ὅλον· τοῖς δὲ ἐσχισμένον ἀπ' ἀρχῆς, τὸ μεῖζον ἐν τοῖς δεξιοῖς· ἐνίοις γὰρ ἑκάτερον τὸ μόριον ἀπήρτηται, καὶ οὐ συμπέφυκεν ἡ ἀρχή· οἷον τῶν τε ἰχθύων τοῖς γαλεώδεσι, καὶ δασυπόδων τι γένος, ὃ ἐστι καὶ ἄλλοθι, καὶ περὶ τὴν λίμνην τὴν Βόλβην, ἐν τῇ καλουμένῃ Συκίνῃ, οὓς ἄν τις δόξειε δύο ἥπατα ἔχειν, διὰ τὸ πόρρω τοὺς πόρους συνάπτειν, ὥσπερ καὶ ἐπὶ τοῦ τῶν ὀρνίθων πνεύμονος.

Καὶ ὁ σπλὴν δ' ἐστὶ πᾶσιν ἐν τοῖς ἀριστεροῖς κατὰ φύσιν· ἤδη δὲ διανοιχθέν τι τῶν τετραπόδων ὤφθη ἔχον τὸν σπλῆνα μὲν ἐν τοῖς δεξιοῖς, τὸ δ' ἧπαρ ἐν τοῖς ἀριστεροῖς· ἀλλὰ τὰ τοιαῦτα ὡς τέρατα κρίνεται.

Tout quadrupede vivipare a des reins & une vessie : les ovipares non XVI.
quadrupedes n'ont point ces parties ; ainsi elles n'appartiennent ni à l'oiseau, ni au poisson : la tortue de mer est le seul quadrupede ovipare qui les ait, & proportionnées à sa grosseur. Ses reins ont la forme de ceux du bœuf, c'est-à-dire qu'ils sont comme composés de la réunion de plusieurs petits reins. Le bonase a toutes les parties internes semblables à celles du bœuf.

19.

Les reins & la vessie sont, ainsi que le cœur, placés de la même maniere XVII.
dans tous ceux qui les ont. Le cœur est vers le milieu, excepté dans l'Homme, qui, comme je l'ai dit, l'a un peu à gauche. La pointe du cœur est toujours sur le devant : sa situation pourroit paroître différente dans les poissons, la pointe de leur cœur n'étant pas tournée vers la poitrine, mais vers la tête & la bouche. Le sommet de leur cœur est attaché au point où leurs ouies viennent de droite & de gauche se réunir, & il y a d'ailleurs d'autres conduits, qui du cœur vont à chaque lame des ouies, & qui sont plus ou moins forts à proportion de la lame. Le canal qui va du sommet du cœur aux lames les plus grandes est blanc & fort épais. Il est rare que les poissons ayent un œsophage ; celui qui se trouve dans le congre & l'anguille, est petit.

Les Animaux qui ont un foie d'une seule piece l'ont entiérement à droite ; ceux dont le foie est partagé dans toute sa hauteur ont au moins le lobe le plus fort de ce même côté. En effet il y a quelques Animaux qui ont chaque lobe du foie suspendu par des ligamens distincts, & séparé dès le principe : tels sont les chiens de mer, & une espece de dasypodes qui se trouvent, entre autres lieux, dans le Sycinum, auprès de l'étang de Bolba. Ils semblent avoir deux foies, parce que les ligamens auxquels ces lobes sont suspendus ne s'unissent qu'à une grande distance : leur foie est partagé comme l'est le poumon des oiseaux.

Naturellement la rate est toujours à gauche : en ouvrant des quadrupedes on a trouvé quelquefois la rate à droite, & le foie à gauche, mais ces événemens sont regardés comme des prodiges.

Τείνει ἡ μὲν ἀρτηρία πᾶσιν εἰς τὸν πνεύμονα· ὃν ᾧ τρόπον, ὕϛερον ἐροῦμεν. ὁ δὲ ϛόμαχος, εἰς τὴν κοιλίαν διὰ τοῦ διαζώματος, ὅσα ἔχει ϛόμαχον· οἱ γὰρ ἰχθύες, ὥσπερ εἴρηται, οἱ πλεῖϛοι οὐκ ἔχουσιν, ἀλλ᾽ εὐθὺς πρὸς τὸ ϛόμα συνάπτει ἡ κοιλία· διὸ πολλάκις ἐνίοις τῶν μεγάλων διώκουσι τοὺς ἐλάττους, προπίπτει ἡ κοιλία εἰς τὸ ϛόμα.

Ἔχει δὲ κοιλίαν πάντα τὰ εἰρημένα, καὶ κειμένην ὁμοίως· κεῖται γὰρ ὑπὸ τὸ διάζωμα εὐθύς· καὶ τὸ ἔντερον ἐχόμενον, καὶ τελευτῶν πρὸς τὴν ἔξοδον τῆς τροφῆς, καὶ τὸν καλούμενον ἀρχόν. Ἀνομοίας δ᾽ ἔχουσι τὰς κοιλίας· πρῶτον μὲν γὰρ τῶν τετραπόδων καὶ ζωοτόκων ὅσα μή ἐϛιν ἀμφόδοντα τῶν κεραλοφόρων, τέτταρας ἔχει τοὺς τοιούτους πόρους· ἃ δὴ καὶ λέγεται μηρυκάζειν. Διήκει γὰρ ὁ μὲν ϛόμαχος ἀπὸ τοῦ ϛόματος ἀρξάμενος, ἐπὶ τὰ κάτω παρὰ τὸν πνεύμονα, ἀπὸ τοῦ διαζώματος εἰς τὴν κοιλίαν τὴν μεγάλην· αὕτη δ᾽ ἐϛὶ τὰ ἔσω τραχεῖα, καὶ διειλημμένη. Συνήρτηται δ᾽ αὐτῇ πλησίον τῆς τοῦ ϛομάχου προσβολῆς ὁ καλούμενος κεκρύφαλος, ἀπὸ τῆς ὄψεως· ἔϛι γὰρ τὰ μὲν ἔξωθεν ὅμοιος τῇ κοιλίᾳ, τὰ δ᾽ ἐντὸς ὅμοιος τοῖς πλεκτοῖς κεκρυφάλοις· μεγέθει δὲ πολὺ ἐλάττων ἐϛὶν ὁ κεκρύφαλος τῆς κοιλίας. Τούτου δ᾽ ἔχεται ὁ ἐχῖνος, τὰ ἐντὸς ὢν τραχὺς καὶ πλακώδης, τὸ δὲ μέγεθος παραπλήσιος τῷ κεκρυφάλῳ. Μετὰ δὲ τοῦτον, τὸ καλούμενον ἤνυϛρόν ἐϛι, τῷ μὲν μεγέθει τοῦ ἐχίνου μεῖζον· τὸ δὲ σχῆμα, προμηκέϛερον· ἔχει δ᾽ ἐντὸς πλάκας πολλὰς καὶ μεγάλας καὶ λείας. Ἀπὸ δὲ τούτου τὸ ἔντερον ἤδη. Τὰ μὲν οὖν κερατοφόρα καὶ μὴ ἀμφόδοντα, τοιαύτην ἔχει τὴν κοιλίαν· διαφέρει δὲ πρὸς ἄλληλα τοῖς σχήμασι καὶ τοῖς μεγέθεσι, τούτῳ τε καὶ τῷ τὸν ϛόμαχον εἰς μέσην ἢ πλαγίαν τείνειν τὴν κοιλίαν.

Τὰ δ᾽ ἀμφόδοντα μίαν ἔχει τὴν κοιλίαν, οἷον ἄνθρωπος, ὗς, κύων, ἄρκτος, λέων, λύκος. Ἔχει δὲ καὶ ὁ θὼς πάντα τὰ ἐντὸς ὅμοια λύκῳ. Πάντα μὲν οὖν ἔχει μίαν κοιλίαν, καὶ μετὰ

Dans tous les Animaux la trachée va se rendre au poumon : j'expliquerai dans la suite de quelle maniere. Pour l'œsophage, il va à l'estomac en traversant le diaphragme : je parle des Animaux qui ont un œsophage, car j'ai déja observé que la plûpart des poissons n'en ont point ; leur estomac touche immédiatement au fonds de leur bouche : aussi arrive-t-il fréquemment à certains grands poissons que, quand ils en poursuivent de petits, l'estomac leur tombe dans la bouche.

L'estomac est une partie qui se trouve dans tous les Animaux dont nous avons parlé : il est placé de même dans tous, c'est-à-dire immédiatement au dessous du diaphragme. Les intestins suivent : ils se terminent à la partie par laquelle sort le superflu des alimens, & qu'on nomme l'anus. Quant à la forme de l'estomac, elle varie. Les quadrupedes vivipares qui n'ont point de dents en devant de la machoire supérieure & qui portent des cornes, ont quatre estomacs. Ce sont ces mêmes Animaux qu'on appelle ruminans. Leur œsophage partant du fonds de la bouche descend le long du poumon, & traversant le diaphragme se rend dans le grand estomac, dont la surface intérieure est inégale & ridée. A cet estomac, & auprès de l'endroit où l'œsophage s'y introduit, est attaché le *rezeau*, ainsi appellé à cause de sa forme. Les parois extérieures ressemblent à celles de l'estomac, mais les parois intérieures présentent un tissu réticulaire : le rezeau est beaucoup plus petit que le grand estomac. Le troisiéme estomac que nous nommons *le hérisson* vient ensuite : il est à peu près de la grandeur du *rezeau*, inégal & plein de cellules intérieurement ; le dernier est la *caillette*, qui est plus grand que le troisiéme & d'une forme plus allongée. Sa tunique intérieure a grand nombre de cellules larges & unies. Après la *caillette* commencent les intestins. Tel est l'estomac des Animaux qui ont des cornes, & dont la machoire supérieure n'a pas de dents sur le devant : ils différent ensuite entre eux, soit par la forme & la grandeur des estomacs, soit par la maniere dont l'œsophage s'introduit dans le premier, où il entre quelquefois par le milieu, & quelquefois par le côté.

Dans les Animaux qui ont des dents également aux deux machoires, l'estomac est unique, & les intestins suivent immédiatement. Tel est l'Homme, le porc, le chien, l'ours, le lion, le loup & le thos qui a toutes les parties

ταῦτα τὸ ἔντερον· ἀλλὰ τὰ μὲν ἔχει μείζω τὴν κοιλίαν, ὥσπερ ὗς καὶ ἄρκτος· καὶ ἥ γε τῆς ὑὸς ὀλίγας ἔχει λείας πλάκας· τὰ δὲ πολὺ ἐλάττω, καὶ οὐ πολὺ μείζω τοῦ ἐντέρου, καθάπερ κύων, καὶ λέων, καὶ ἄνθρωπος. Καὶ τῶν ἄλλων δὲ τὰ εἴδη διέστηκε πρὸς τὰς τούτων κοιλίας· τὰ μὲν γὰρ ὑὶ ὁμοίαν ἔχει, τὰ δὲ κυνί· καὶ τὰ μείζω καὶ τὰ ἐλάττω τῶν ζώων ὡσαύτως. Διαφορὰ δὲ καὶ ἐν τούτοις κατὰ τὰ μεγέθη, καὶ τὰ σχήματα, καὶ πάχη, καὶ λεπτότητας ὑπάρχει τὰς τῆς κοιλίας, καὶ κατὰ τοῦ στομάχου τῇ θέσει τὴν σύντρησιν.

Διαφέρει δὲ καὶ ἡ τῶν ἐντέρων φύσις ἑκατέροις τῶν εἰρημένων ζώων, τοῖς τε μὴ ἀμφώδουσι καὶ τοῖς ἀμφώδουσι, τῷ τε μεγέθει καὶ πάχει, καὶ ταῖς ἐπαναδιπλώσεσι. Πάντα δὲ μείζω τὰ τῶν μὴ ἀμφοδόντων ἐστί· καὶ γὰρ αὐτὰ πάντα μείζω· μικρὰ μὲν γὰρ ὀλίγα· πάμπαν δὲ μικρὸν οὐδέν ἐστι κερατοφόρον. Ἔχουσι δ' ἔνια καὶ ἀποφυάδας τῶν ἐντέρων, εὐθυέντερον δὲ οὐθέν ἐστι μὴ ἀμφόδουν. Ὁ δ' ἐλέφας ἔντερον ἔχει συμφύσεις ἔχον, ὥστε φαίνεσθαι τέτταρας κοιλίας ἔχειν· ἐν τούτῳ καὶ ἡ τροφὴ ἐγγίνεται, χωρὶς δ' οὐκ ἔχει ἀγγεῖον. Καὶ τὰ σπλάγχνα δ' ἔχει παραπλήσια τοῖς ὑείοις, πλὴν τὸ μὲν ἧπαρ τετραπλάσιον τοῦ βοείου, καὶ τ' ἄλλα· τὸν δὲ σπλῆνα ἐλάττω ἢ κατὰ λόγον.

Τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ τὰ περὶ τὴν κοιλίαν καὶ τὴν τῶν ἐντέρων φύσιν, καὶ τοῖς τετράποσι μὲν τῶν ζώων, ᾠοτόκοις δὲ, οἷον χελώνῃ χερσαίᾳ, καὶ χελώνῃ θαλαττίᾳ, καὶ σαύρᾳ, καὶ τοῖς κροκοδείλοις ἀμφοῖν, καὶ πᾶσιν ὅλως τοῖς τοιούτοις. Ἁπλῆν τε γὰρ ἔχουσι καὶ μίαν τὴν κοιλίαν, καὶ τὰ μὲν ὁμοίαν τῇ ὑείᾳ, τὰ δὲ τῇ τοῦ κυνός.

20. Τὸ δὲ τῶν ὄφεων γένος ὅμοιόν ἐστι, καὶ ἔχει παραπλήσια σχεδὸν πάντα τῶν πεζῶν καὶ ᾠοτόκων τοῖς σαύροις, εἴ τις μῆκος ἀποδιδοὺς αὐτοῖς, ἀφέλοι τοὺς πόδας· φολιδωτόν τε γάρ ἐστι, καὶ τὰ πρανῆ καὶ τὰ ὕπτια παραπλήσια τούτοις ἔχει· πλὴν ὄρχεις

internes

internes ſemblables à celles du loup. Dans tous ces Animaux il n'y a qu'un ſeul eſtomac, mais dont la grandeur varie. Il eſt plus ample dans l'ours & le porc, & d'ailleurs dans le porc ſa tunique intérieure a quelques cellules liſſes. D'autres Animaux, tels que l'Homme, le chien, le lion, ont l'eſtomac beaucoup plus petit, il n'excéde gueres la largeur des inteſtins. L'eſtomac de tous les Animaux tant grands que petits, peut être comparé à l'un de ceux que nous venons de décrire; ils l'ont ou comme le porc, ou comme le chien, ſauf les différences qui réſultent de la grandeur abſolue de cette partie, de ſa figure, du plus ou moins d'épaiſſeur de ſes parois, & de la maniere dont ſe fait l'inſertion de l'œſophage.

La conformation des inteſtins n'eſt pas moins différente que celle de l'eſtomac dans les Animaux qui ont des dents ſur le devant de la machoire ſupérieure, & dans ceux qui n'en ont pas. Leurs inteſtins varient pour la capacité, l'épaiſſeur des tuniques, & les replis qu'ils forment. Tout eſt plus grand dans les Animaux de la ſeconde de ces deux claſſes; ils ſont eux-mêmes plus grands que les autres Animaux, il y a très-peu de petites eſpeces dans leur genre, & parmi ceux qui ſont armés de cornes il n'en eſt point qu'on puiſſe appeller abſolument petit. Aucun des Animaux qui n'ont pas de dents également aux deux machoires n'a le conduit inteſtinal droit dans toute ſa longueur; quelques Animaux ont à ce conduit des appendices. Dans l'éléphant l'inteſtin a des ſinus tels qu'on lui croiroit quatre eſtomacs: c'eſt là que ſa nourriture eſt reçue, car il n'a point d'autre cavité particuliere pour cette deſtination; ſes viſceres approchent pour la forme de ceux du porc, mais ſon foie eſt quatre fois plus gros que celui d'un bœuf, & il en eſt de même des autres parties: la rate ſeule eſt plus petite que la proportion ne le demanderoit.

Dans les quadrupedes ovipares, tels que la tortue de mer & celle de terre, le lézard, les deux crocodiles, & généralement tous les autres du même genre, la diſpoſition de l'eſtomac & des inteſtins eſt la même. Leur eſtomac eſt unique, ſemblable à celui du porc dans les uns, & à celui du chien dans les autres.

Les ſerpens, ſi l'on veut les comparer à des Animaux ovipares du genre de 20.
ceux qui ont des pieds, peuvent être mis à côté du lézard. Ils lui reſſemblent preſque en tout, en ſuppoſant au lézard plus de longueur, & en lui retranchant les pieds. Les ſerpens & le lézard ſont couverts d'ecailles, ils ont le deſſus

οὐκ ἔχει, ἀλλ' ὥσπερ ἰχθῦς δύο πόρους εἰς ἓν συνάπτοντας, καὶ τὴν ὑστέραν μακρὰν καὶ δικρόαν. Τὰ δ' ἄλλα τὰ ἐντὸς τὰ αὐτὰ τοῖς σαύροις, πλὴν ἅπαντα διὰ τὴν στενότητα καὶ τὸ μῆκος στενὰ καὶ μακρὰ τὰ σπλάγχνα· ὥστε καὶ λανθάνειν διὰ τὴν ὁμοιότητα τῶν σχημάτων· τήν τε γὰρ ἀρτηρίαν ἔχει σφόδρα μακρὰν, ἔτι δὲ μακρότερον τὸν στόμαχον. Ἀρχὴ δὲ τῆς ἀρτηρίας πρὸς αὐτῷ ἐστι τῷ στόματι, ὥστε δοκεῖν ὑπὸ ταύτην εἶναι τὴν γλῶτταν. Προέχειν δὲ δοκεῖ τῆς γλώττης ἡ ἀρτηρία, διὰ τὸ συσπᾶσθαι τὴν γλῶτταν, καὶ μὴ μένειν ὥσπερ τοῖς ἄλλοις. Ἐστι δ' ἡ γλῶττα λεπτὴ, καὶ μακρὰ, καὶ μέλαινα, καὶ ἐξέρχεται μέχρι πόῤῥω. Ιδιον δὲ παρὰ τὰς τῶν ἄλλων γλώττας ἔχουσι καὶ οἱ ὄφεις καὶ οἱ σαῦροι, τὸ δικρόαν αὐτῶν εἶναι τὴν γλῶτταν ἄκραν· πολὺ δὲ μάλιστα οἱ ὄφεις· τὰ γὰρ ἄκρα αὐτῶν ἐστι λεπτὰ, ὥσπερ τρίχες. Ἐχει δὲ καὶ ἡ φώκη ἐσχισμένην τὴν γλῶτταν.

Τὴν δὲ κοιλίαν ὁ ὄφις ἔχει οἷον ἔντερον εὐρυχωρέστερον, ὁμοίαν τῇ τοῦ κυνός· εἶτα τὸ ἔντερον μακρὸν καὶ λεπτὸν, καὶ μέχρι τοῦ τέλους ἕν. Ἐπὶ δὲ τοῦ φάρυγγος ἡ καρδία μικρὰ καὶ μακρὰ, καὶ νεφροειδής· διὸ δόξειεν ἂν ἐνίοτε, οὐ πρὸς τὸ στῆθος ἔχειν τὸ ὀξύ· εἶθ' ὁ πνεύμων ἁπλοῦς, ἰνώδει πόρῳ διηρθρωμένος, καὶ μακρὸς σφόδρα, καὶ πολὺ ἀπηρτημένος τῆς καρδίας. Καὶ τὸ ἧπαρ μακρὸν καὶ ἁπλοῦν· σπλῆνα δὲ μικρὸν καὶ στρογγύλον, ὥσπερ καὶ οἱ σαῦροι. Χολὴν δ' ἔχει ὁμοίως τοῖς ἰχθύσιν· οἱ μὲν γὰρ ὕδροι ἐπὶ τῷ ἥπατι ἔχουσιν· οἱ δ' ἄλλοι πρὸς τοῖς ἐντέροις, ὡς ἐπιτοπολύ. Καρχαρόδοντες δὲ πάντες εἰσί. Πλευρὰς δ' ἔχουσιν ἴσας ταῖς ἐν τῷ μηνὶ ἡμέραις· τριάκοντα γὰρ ἔχουσι. Λέγουσι δέ τινες συμβαίνειν περὶ τοὺς ὄφεις τὸ αὐτὸ, ὅπερ καὶ περὶ τοὺς νεοττοὺς τῶν χελιδόνων· ἐὰν γάρ τις ἐκκεντήσῃ τὰ ὄμματα τῶν ὄφεων, φασὶ φύεσθαι πάλιν· καὶ κέρκοι δὲ ἀποτεμνόμεναι τῶν τε σαύρων καὶ τῶν ὄφεων φύονται.

21. Ὡσαύτως δὲ καὶ τοῖς ἰχθύσιν ἔχει τὰ περὶ τὰ ἔντερα, καὶ τὴν

& le deſſous du corps approchant l'un comme l'autre ; mais les ſerpents n'ont point de teſticules ; ils ont ſeulement, comme les poiſſons, deux conduits qui ſe réuniſſent enſuite en un ſeul : la matrice de la femelle eſt longue & partagée en deux. Le ſurplus de leurs parties internes eſt tel que dans le lézard, ſi ce n'eſt que, leur corps étant long & effilé, elles ſont plus longues & plus étroites, difficiles même à diſtinguer à cauſe de la reſſemblance de leur forme. Leur trachée eſt extrémement longue, & leur œſophage l'eſt plus encore. La naiſſance de la trachée dans la gueule eſt diſpoſée de maniere que la langue ſembleroit être au deſſous : ce qui donne lieu à cette apparence c'eſt que les ſerpents retirent leur langue en dedans, & qu'elle n'eſt point, comme chez les autres Animaux, toujours dans le même état. Cette langue eſt mince, longue, noire, & elle s'allonge beaucoup hors de la gueule. Elle a de particulier, ainſi que celle des lézards, d'être fendue en deux à la pointe, mais la diviſion eſt plus ſenſible dans les ſerpents que dans les lézards & les pointes de leur langue ſont fines comme des cheveux. Le phoque a auſſi la langue fendue.

L'eſtomac du ſerpent eſt comme un large inteſtin, & ſemblable à l'eſtomac du chien. Il eſt ſuivi du conduit inteſtinal, long, mince, & qui eſt un dans toute ſa longueur. Le cœur eſt tout près du pharynx : il eſt petit, long & de la forme d'un rein : cette forme trompe & feroit croire quelquefois que ſa pointe n'eſt pas tournée vers la poitrine. Après le cœur, & à une diſtance conſidérable, eſt le poumon, d'une ſeule piece, formé de veſicules fibreuſes, & très allongé. Le foie eſt de même d'une ſeule piece, & allongé : la rate petite & ronde, telle que celle du lézard. Le fiel eſt ſitué comme dans les poiſſons : près du foie dans les ſerpents d'eau ; près des inteſtins dans les autres. Tous ont les dents en forme de ſcie. Le nombre de leurs côtes égale celui des jours du mois : ils en ont trente. Quelques perſonnes leur attribuent un avantage qui leur ſeroit commun avec les petits des hirondelles, c'eſt que leurs yeux étant crevés ſe reproduiſent. Par rapport à leur queue, elle renaît après avoir été coupée, & celle des lézards également.

Les obſervations précédentes s'appliquent à l'eſtomac & aux inteſtins des 21

κοιλίαν· μίαν γὰρ καὶ ἁπλῆν ἔχουσι, διαφέρουσαν τοῖς σχήμασιν. Ἔνιοι γὰρ πάμπαν ἑτεροειδῆ ἔχουσιν, οἷον ὃν καλοῦσι σκάρον, ὃς δὴ καὶ μόνος ἰχθὺς δοκεῖ μηρυκάζειν· καὶ τὸ τοῦ ἐντέρου δὲ μέγεθος ἁπλοῦν, καὶ ἀναδίπλωσιν ἔχει, ὃ ἀναλύεται εἰς ἕν. Ἴδιον δὲ τῶν ἰχθύων ἐστὶ καὶ τῶν ὀρνίθων τῶν πλείστων, τὸ ἔχειν ἀποφυάδας· ἀλλ' οἱ μὲν ὄρνιθες κάτωθεν καὶ ὀλίγας, οἱ δ' ἰχθύες πλείους ἄνωθεν περὶ τὴν κοιλίαν· καὶ ἔνιοι πολλὰς, οἷον κωβιὸς, γαλεὸς, πέρκη, σκορπίος, κιθαρὸς, τρίγλη, σπάρος· ὁ δὲ κεστρεὺς ἐπὶ μὲν θάτερα τῆς κοιλίας πολλὰς, ἐπὶ θάτερα δὲ μίαν. Ἔνιοι δ' ἔχουσι μὲν, ὀλίγας δὲ, οἷον ἥπατος καὶ γλαυκός· ἔχει δὲ καὶ ὁ χρύσοφρυς ὀλίγας. Διαφέρουσι δὲ καὶ αὐτοὶ αὑτῶν· οἷον χρύσοφρυς ὁ μὲν πλείους ἔχει, ὁ δὲ ἐλάττους. Εἰσὶ δὲ καὶ οἳ ὅλως οὐκ ἔχουσιν, οἷον οἱ πλεῖστοι τῶν σελαχωδῶν. Τῶν δ' ἄλλων οἱ μὲν ὀλίγας, οἱ δὲ πάνυ πολλάς. Πάντες δὲ παρ' αὐτὴν ἔχουσι τὴν κοιλίαν τὰς ἀποφυάδας οἱ ἰχθύες.

22. Οἱ δ' ὄρνιθες ἔχουσι καὶ πρὸς ἀλλήλους, καὶ πρὸς τὰ ἄλλα ζῶα, περὶ τὰ ἐντὸς μέρη διαφοράν. Οἱ μὲν γὰρ ἔχουσι πρὸς τῆς κοιλίας πρόλοβον, οἷον ἀλεκτρυὼν, φάσσα, περιστερὰ, πέρδιξ. Ἔστι δ' ὁ πρόλοβος δέρμα κοῖλον καὶ μέγα, ἐν ᾧ ἡ τροφὴ πρώτη εἰσιοῦσα, ἄπεπτός ἐστιν. Ἔστι δ' αὐτόθι μὲν, ἀπὸ τοῦ στομάχου στενώτερος, ἔπειτα εὐρύτερος, ᾗ δὲ καθήκει πάλιν πρὸς τὴν κοιλίαν λεπτότερος. Τὴν δὲ κοιλίαν, σαρκώδη καὶ στιφρὰν οἱ πλεῖστοι ἔχουσι, καὶ ἔσωθεν ἓν δέρμα ἰσχυρὸν, καὶ ἀφαιρούμενον ἀπὸ τοῦ σαρκώδους. Οἱ δὲ πρόλοβον μὲν οὐκ ἔχουσιν, ἀλλ' ἀντὶ τούτου τὸν στόμαχον εὐρὺν καὶ πλατὺν, ἢ δι' ὅλου, ἢ τὸ πρὸς τὴν κοιλίαν τεῖνον, οἷον κολοιὸς, καὶ κόραξ, καὶ κορώνη. Ἔχει δὲ καὶ ὁ ὄρτυξ τοῦ στομάχου τὸ πλατὺ κάτω, καὶ ὁ αἰγοκέφαλος μικρὸν εὐρύτερον τὸ κάτω, καὶ ἡ γλαύξ. Νῆττα δὲ, καὶ χὴν, καὶ λάρος, καὶ καταῤῥάκτης, καὶ ὠτὶς, τὸν στόμαχον εὐρὺν καὶ πλατὺν ὅλον· καὶ ἄλλοι δὲ πολλοὶ τῶν ὀρνίθων ὁμοίως. ἔνιοι δὲ τῆς

poissons. Ils n'ont qu'un seul estomac qui est simple, mais dont la forme varie, & quelquefois du tout au tout, comme dans le scare, le seul des poissons qui paroisse ruminer. Le conduit intestinal des poissons est simple dans toute sa longueur ; les replis qu'il forme s'effaçent lorsqu'on l'étend : il leur est propre, ainsi qu'à la plûpart des oiseaux, d'avoir des appendices aux intestins. Les oiseaux les ont plus bas & en moindre nombre : ils sont ordinairement plus multipliés dans les poissons, & placés plus haut, vers l'estomac. Ces appendices sont quelquefois en très grand nombre, par exemple dans le goujon, le chien de mer, la perche, le scorpion, le citharus, le surmulet & le spare. Le muge a d'un côté de l'estomac plusieurs appendices, & du côté opposé un seul. Dans d'autres poissons, comme l'hépatus, le glaucus & la dorade, ces appendices sont en petit nombre. Quelquefois les individus d'une même espece varient à cet égard ; on voit plus d'appendices dans certaines dorades, moins dans d'autres. Il est des poissons qui n'en ont point du tout, tels que la plûpart des sélaques ; dans les autres, ces sinus sont plus ou moins fréquents, mais toujours près de l'estomac.

Les parties intérieures des oiseaux sont différentes de celles des Animaux d'autres genres ; il y a même de la variété en ce point d'espece à espece. 22.
Le coq, le ramier, le pigeon, la perdrix, & d'autres, ont avant l'estomac un jabot : c'est une poche de peau assez grande, où la nourriture est reçue d'abord & où elle ne se digere pas. Le jabot est étroit vers la partie qui tient à l'œsophage, il s'élargit ensuite, & se rétrécit de nouveau en approchant de l'estomac. La plûpart des oiseaux ont l'estomac charnu & compact : l'intérieur est tapissé d'une peau forte, peu adhérente à la partie charnue. D'autres oiseaux, tels que le choucas, le corbeau, la corneille, n'ont point de jabot, mais un œsophage ample & large, soit dans toute sa longueur, soit auprès de l'estomac. La caille a l'œsophage large vers le bas ; l'ægocephale & le chat-huant l'ont aussi un peu élargi en cet endroit, au lieu que le canard, l'oie, le goiland, le catarracte & l'outarde l'ont ample dans toute sa longueur. De même beaucoup d'autres oiseaux. Dans quelques-uns, comme la cresserelle, il y a une portion de l'estomac qui ressemble à un jabot. Certains oiseaux n'ont ni l'œsophage ni le jabot large, mais leur

κοιλίας αὐτῆς τι ἔχουσιν ὅμοιον προλόβῳ, οἷον ἡ κεγχρίς. Ἔστι δ' ἃ οὐκ ἔχει οὔτε τὸν στόμαχον, οὔτε τὸν πρόλοβον εὐρὺν, ἀλλὰ τὴν κοιλίαν μακρὰν, ὅσα μικρὰ τῶν ὀρνίθων, οἷον χελιδὼν, καὶ στρουθός. Ὀλίγοι δ' οὔτε πρόλοβον ἔχουσιν, οὔτε τὸν στόμαχον εὐρὺν, ἀλλὰ σφόδρα μακρὸν, ὅσοι τὸν αὐχένα μακρὸν ἔχουσιν, οἷον πορφυρίων· σχεδὸν δ' οὗτοι καὶ τὸ περίττωμα ὑγρότερον τῶν ἄλλων προΐενται πάντες. Ὁ δ' ὄρτυξ ἰδίως ταῦτα ἔχει πρὸς τοὺς ἄλλους· ἔχει γὰρ καὶ πρόλοβον, καὶ πρὸ τῆς γαστρὸς τὸν στόμαχον εὐρὺν καὶ πλάτος ἔχοντα· διέχει δὲ ὁ πρόλοβος τοῦ πρὸ τῆς γαστρὸς στομάχου, συχνὸν, ὡς κατὰ μέγεθος.

Ἔχουσι δὲ καὶ λεπτὸν τὸ ἔντερον οἱ πλεῖστοι, καὶ ἁπλοῦν ἀναλυόμενον· τὰς δ' ἀποφυάδας ἔχουσιν οἱ ὄρνιθες, καθάπερ εἴρηται, ὀλίγας, καὶ οὐκ ἄνωθεν, ὥσπερ οἱ ἰχθύες, ἀλλὰ κάτωθεν κατὰ τὴν τοῦ ἐντέρου τελευτήν. Ἔχουσι δ' οὐ πάντες, ἀλλ' οἱ πλεῖστοι, οἷον ἀλεκτρυὼν, πέρδιξ, νῆττα, νυκτικόραξ, λόκαλος, ἀσκάλαφος, χὴν, κύκνος, ὠτὶς, γλαύξ· ἔχουσι δὲ καὶ τῶν σμικρῶν τινες, ἀλλὰ σμικρὰ πάμπαν, οἷον στρουθός.



estomac est allongé : tels sont le passereau, l'hirondelle, & les autres petits oiseaux. Il y en a aussi, mais en petit nombre, qui n'ont point de jabot ni l'œsophage bien large, mais il est très-long ; ce sont ceux dont le col est d'une longueur extraordinaire, le porphyrion par exemple : presque tous les oiseaux de ce genre ont les excréments plus liquides que les autres. La conformation de la caille par rapport à ces différentes parties est singuliere ; elle a un jabot, & néanmoins son œsophage s'élargit, & devient ample avant d'entrer dans l'estomac : son jabot est fort éloigné de la partie large de son œsophage par proportion à la grandeur de son corps.

La plûpart des oiseaux ont le conduit intestinal étroit & simple lorsqu'on le développe ; ils ont aussi, comme je l'ai dit, des appendices aux intestins, mais en petit nombre, dans la partie inférieure, vers l'extrémité du conduit intestinal, & non dans la partie supérieure, comme on les trouve dans les poissons. Ces appendices se trouvent dans le plus grand nombre des oiseaux, le coq, par exemple, la perdrix, le canard, le corbeau de nuit, le localus, l'ascalaphus, l'oie, le cygne, l'outarde, le chat-huant : néanmoins on ne peut pas dire que tous les oiseaux généralement en ayent, & lorsqu'il s'en trouve dans les petits, ils y sont très-peu sensibles ; le passereau peut servir d'exemple.



HISTOIRE DES ANIMAUX.

LIVRE TROISIEME.

Sujet de ce Livre.


On a vu dans les deux premiers Livres la deſcription du plus grand nombre des parties extérieures & intérieures de l'Homme & des Animaux qui ont du ſang, mais il reſte un objet important à décrire : les organes de la génération. Leur deſcription fait la premiere partie du troiſiéme Livre. Ariſtote nous montre ces organes tels qu'ils ſont dans l'Homme ; il nous apprend quelles ſont leur variétés dans les différens Animaux, quadrupedes & autres, vivipares & ovipares.

Les organes de la génération, & les autres parties décrites dans le premier & le ſecond Livre, ſont celles qui ont été appellées en commençant organiques ou compoſées. Ariſtote reprend dans la ſuite du troiſiéme Livre le ſecond membre de ſa diviſion : les parties ſimples ou ſimilaires. Cette claſſe comprend les veines, les nerfs, les fibres, les os, les arrêtes, les cartilages, les ongles, les cornes, les poils, la peau, les membranes, la chair, la graiſſe, le ſang, la moëlle, le lait & la liqueur ſpermatique. Voilà les divers objets dont Ariſtote développe ſucceſſivement la nature, la diſtribution, & les

modifications

modifications effets de l'âge, des ſaiſons, & du régime. La diſtribution des veines eſt un des articles les plus étendus : Ariſtote rapporte ce que des Auteurs plus anciens que lui en ont dit ; il expoſe enſuite ſes propres découvertes. On conçoit combien les obſervations ſur un pareil ſujet ont du être incertaines & fautives dans un temps où l'anatomie n'exiſtoit pas : mais c'eſt au ſiecle d'Ariſtote qu'il faut attribuer les défauts de ſes deſcriptions ; ce qui lui appartient perſonnellement c'eſt la ſagacité avec laquelle il s'efforce de ſuppléer aux ſecours dont il manque.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Γ.

1. ΠΕΡΙ μὲν οὖν τῶν ἄλλων μορίων τῶν ἐντὸς εἴρηται, καὶ πόσα καὶ ποῖα ἄτλα, καὶ τίνας ἔχει πρὸς ἄλληλα διαφοράς· λοιπὸν δὲ περὶ τῶν εἰς τὴν γένεσιν συντελούντων μορίων εἰπεῖν. Ταῦτα γὰρ τοῖς μὲν θήλεσι πᾶσιν ἐντός ἐστι· τὰ δὲ τῶν ἀῤῥένων διαφορὰς ἔχει πλείους. Τὰ μὲν γὰρ ὅλως τῶν ἐναίμων ζώων οὐκ ἔχει ὄρχεις, τὰ δὲ ἔχει μὲν, ἐντὸς δὲ ἔχει. Καὶ τῶν ἐντὸς ἐχόντων τὰ μὲν πρὸς τῇ ὀσφύϊ ἔχει, περὶ τὸν τῶν νεφρῶν τόπον· τὰ δὲ πρὸς τῇ γαστρί· τὰ δ' ἐκτός· καὶ τὸ αἰδοῖον τούτων τοῖς μὲν συνήρτηται πρὸς τὴν γαστέρα, τοῖς δὲ ἀφεῖται καθάπερ καὶ οἱ ὄρχεις· πρὸς δὲ τὴν γαστέρα συνήρτηται ἄλλως τοῖς τ' ἐμπροσθουρητικοῖς καὶ τοῖς ὀπισθουρητικοῖς.

Τῶν μὲν οὖν ἰχθύων οὐδεὶς ὄρχεις ἔχει, οὐδ' εἴ τι ἄλλο ἔχει βράγχια, οὐδὲ τὸ τῶν ὄφεων γένος ἅπαν, οὐδ' ὅλως ἄπουν οὐδὲν, ὅσα μὴ ζωοτοκεῖ ἐν ἑαυτοῖς. Οἱ δ' ὄρνιθες ἔχουσι μὲν ὄρχεις, ἔχουσι δ' ἐντὸς πρὸς τῇ ὀσφύϊ. Καὶ τῶν τετραπόδων ὅσα ᾠοτοκεῖ τὸν αὐτὸν ἔχει τρόπον· οἷον σαύρα, καὶ χελώνη, καὶ κροκόδειλος· καὶ τῶν ζωοτόκων, ἐχῖνος. Τὰ δὲ τῶν ἐντὸς ἐχόντων πρὸς τῇ γαστρὶ ἔχει· οἷον τῶν ἀπόδων μὲν, δελφίς· τῶν δὲ τετραπόδων καὶ ζωοτόκων, ἐλέφας· τὰ δ' ἄλλα φανεροὺς ἔχει. Η δ' ἐξάρτησις ἡ πρὸς τὴν κοιλίαν καὶ τὸν τόπον τὸν συνεχῆ, τίνα διαφορὰν ἔχει πρότερον εἴρηται. Τοῖς μὲν γὰρ ἐκ τοῦ ὄπισθεν συνεχεῖς, καὶ οὐκ ἀπηρτημένοι εἰσὶν, οἷον τῷ γένει τῷ τῶν ὑῶν· τοῖς δὲ ἀπηρτημένοι, καθάπερ τοῖς ἀνθρώποις.

Οἱ μὲν οὖν ἰχθύες ὄρχεις μὲν οὐκ ἔχουσιν, ὥσπερ εἴρηται



HISTOIRE DES ANIMAUX.

LIVRE TROISIEME.

J'AI décrit l'intérieur des Animaux : j'ai donné le détail des parties qu'il contient : j'en ai exposé les différences ; il me reste à parler des organes de la génération. Dans toutes les femelles, ces organes sont renfermés en dedans du corps ; dans les mâles il y a plusieurs variétés. Entre les Animaux qui ont du sang, tels n'ont absolument point de testicules ; tels en ont mais qui sont en dedans : & alors tantôt les testicules sont placés à la région des lombes, près du lieu qu'occupent les reins, tantôt ils sont auprès du ventre. D'autres ont les testicules apparens à l'extérieur, & parmi ces derniers les uns ont la verge adhérente au ventre, les autres ont la verge & les testicules détachés. La maniere dont la verge adhere au ventre est différente dans les Animaux qui jettent leur urine en devant, & dans ceux qui la jettent en arriere. I.

Les poissons, & les autres Animaux, s'il en est, qui ont des ouies, tous les serpens, & généralement tous les Animaux sans pieds & qui ne sont point parfaitement vivipares, n'ont point de testicules. Les oiseaux ont des testicules, mais en dedans, près des reins : les quadrupedes ovipares, tels que le lézard, la tortue, le crocodile, les ont disposés de même. Il faut y joindre le hérisson, quoique vivipare. Le dauphin entre les Animaux qui n'ont point de pieds, & l'éléphant entre les quadrupedes vivipares sont des exemples d'Animaux qui ont les testicules intérieurement & près du ventre. Les autres Animaux ont les testicules apparens, & à l'égard de la différence dans la maniere dont ils tiennent au ventre & à la région contigue, j'ai déja exposé en quoi elle consiste. Quelques Animaux, ceux du genre du porc, par exemple, les ont adhérens à la partie postérieure du ventre : d'autres, comme l'homme, les ont détachés.

Je viens de dire que les poissons & les serpens n'ont point de testicules ;

πρότερον, ὥσπερ οἱ ὄφεις· πόρους δὲ δύο ἔχουσιν, ἀπὸ τοῦ διαζώματος ἠρτημένους ἐφ' ἑκάτερα τῆς ῥάχεως, συνάπτοντας εἰς ἕνα πόρον, ἄνωθεν τῆς τοῦ περιττώματος ἐξόδου· τὸ δὲ ἄνωθεν λέγομεν τὸ πρὸς τὴν ἄκανθαν. Οὗτοι δὲ γίνονται περὶ τὴν ὥραν τῆς ὀχείας θοροῦ πλήρεις, καὶ θλιβομένων ἐξέρχεται τὸ σπέρμα λευκόν. Αὐτοὶ δὲ πρὸς αὐτοὺς ἣν ἔχουσι διαφορὰν, ἔκ τε τῶν ἀνατομῶν θεωρεῖν δεῖ, καὶ ὕστερον λεχθήσεται ἐν τοῖς περὶ ἑκάστου ἰδίοις ἀκριβέστερον. Οσα δὲ ᾠοτοκεῖ, ἢ δίποδα ὄντα, ἢ τετράποδα, πάντ' ἔχει ὄρχεις πρὸς τῇ ὀσφύϊ, κάτωθεν τοῦ διαζώματος, τὰ μὲν λευκοτέρους, τὰ δὲ ὠχροτέρους, λεπτοῖς πάμπαν φλεβίοις περιεχομένους. Καὶ ἀφ' ἑκατέρου τείνει πόρος συνάπτων εἰς ἕνα, καθάπερ καὶ τοῖς ἰχθύσιν, ὑπὲρ τῆς τοῦ περιττώματος ἐξόδου. Τοῦτο δὲ ἐστὶν αἰδοῖον, ὃ τοῖς μὲν μικροῖς ἄδηλον, ἐν δὲ τοῖς μείζοσιν, οἷον ἐν χηνὶ καὶ τοῖς τηλικούτοις, φανερώτερον γίνεται ὅταν ἡ ὀχεία πρόσφατος ᾖ. Οἱ δὲ πόροι, καὶ τοῖς ἰχθύσι καὶ τούτοις προσπεφύκασι πρὸς τῇ ὀσφύϊ, ὑποκάτω τῆς κοιλίας καὶ τῶν ἐντέρων, μεταξὺ τῆς μεγάλης φλεβὸς, ἀφ' ἧς τείνουσι πόροι εἰς ἑκάτερον τῶν ὄρχεων. Ωσπερ δὲ τοῖς ἰχθύσι περὶ μὲν τὴν ὥραν τῆς ὀχείας θορός τε φαίνεται ἐνὼν, καὶ οἱ πόροι σφόδρα δῆλοι, ὅταν δὲ παρέλθῃ ἡ ὥρα ἄδηλοι καὶ οἱ πόροι ἐνίοτε· οὕτω καὶ τῶν ὀρνίθων οἱ ὄρχεις, πρὶν μὲν ὀχεύειν, οἱ μὲν μικροὺς, οἱ δὲ πάμπαν ἀδήλους ἔχουσιν· ὅταν δὲ ὀχεύωσι, σφόδρα μεγάλους ἔχουσιν. Επιδηλότατα δὲ τοῦτο συμβαίνει ταῖς φάτταις καὶ τοῖς πέρδιξιν, ὥστε ἔνιοι οἴονται οὐδ' ἔχειν τοῦ χειμῶνος ὄρχεις αὐτούς.

Τῶν δὲ ἐν τῷ πρόσθεν ἐχόντων τοὺς ὄρχεις, οἱ μὲν ἐντὸς ἔχουσι πρὸς τῇ γαστρὶ, καθάπερ δελφίς· οἱ δὲ ἐκτὸς ἐν τῷ φανερῷ, πρὸς τῷ τέλει τῆς γαστρός. Τούτοις δὲ τὰ μὲν ἄλλα τὸν αὐτὸν ἔχει τρόπον· διαφέρουσι δὲ, ὅτι οἱ μὲν αὐτοὺς ἔχουσι καθ' αὑτοὺς τοὺς ὄρχεις, οἱ δὲ ἐν τῇ καλουμένῃ ὀσχέᾳ, ὅσοι ἔξωθεν.

ils ont deux conduits suspendus au diaphragme, de chaque côté de l'épine du dos, qui se réunissent au dessus de l'orifice par lequel sortent les excrémens : quand je dis au dessus, j'entends vers l'arrête. Lorsque la saison de l'accouplement approche, ces conduits se remplissent de la liqueur prolifique, & en les pressant on en fait sortir de la semence qui est blanche. Par rapport aux variétés dont ces parties sont susceptibles, c'est par la dissection qu'il faut s'en instruire, & j'en parlerai dans la suite plus en détail en traitant en particulier de chaque espece. Tout bipede ou quadrupede ovipare a des testicules près les reins, au dessous du diaphragme, tantôt plus blancs, tantôt plus jaunâtres, & entourés de veines très-déliées. De chaque testicule il part un conduit, & ces deux conduits se réunissent en un, comme dans les poissons, au dessus de l'issue des excrémens : c'est cette réunion qui forme la verge. Elle ne s'apperçoit point dans les petits Animaux, mais dans les grands, tels que l'oye, & autres de cette taille, elle est fort sensible au moment où le mâle quitte sa femelle. Les conduits dont nous parlons, naissent dans ces Animaux & dans les poissons, près des lombes, au dessous de l'estomac & des intestins, entre les rameaux que la grande veine distribue à chacun des testicules. De même que dans les poissons c'est vers la saison de l'accouplement que ces conduits deviennent très-sensibles & qu'on y trouve la liqueur séminale, mais qu'après ce tems ils deviennent quelquefois imperceptibles; ainsi dans les oiseaux les testicules sont petits & quelquefois ne s'apperçoivent point du tout avant le tems de leurs amours, mais alors ils acquièrent un volume considérable. Cette différence est si sensible dans les ramiers & les perdrix, que quelques personnes croyent que ces oiseaux n'ont point de testicules l'hiver.

Dans le nombre des Animaux qui ont les testicules en devant, les uns, comme le dauphin, les ont en dedans près du ventre : les autres les ont apparens en dehors à l'extrémité du ventre. Une différence à remarquer entre les uns & les autres, est que dans les premiers le corps du testicule est nud, au lieu que chez les derniers les testicules sont renfermés dans ce qu'on appelle le *scrotum*.

Αυτοὶ δ' οἱ ὄρχεις ἐν πᾶσι τοῖς πεζοῖς καὶ ζωοτόκοις τοῦτον δ' ἔχουσι τὸν τρόπον. Τείνουσιν ἐκ τῆς ἀορτῆς πόροι φλεβικοὶ, μέχρι τῆς κεφαλῆς ἑκατέρου τοῦ ὄρχεως· καὶ ἄλλοι ἀπὸ τῶν νεφρῶν δύο. Εἰσὶ δ' οὗτοι μὲν αἱματώδεις· οἱ δ' ἐκ τῆς ἀορτῆς ἄναιμοι. Ἀπὸ δὲ τῆς κεφαλῆς πρὸς αὐτῷ τῷ ὄρχει, πόρος ἐστὶ πυκνότερος ἐκείνου καὶ νευρωδέστερος, ὃς ἀνακάμπτει πάλιν ἐν ἑκατέρῳ τῷ ὄρχει πρὸς τὴν κεφαλὴν τοῦ ὄρχεως. Ἀπὸ δὲ τῆς κεφαλῆς ἑκάτεροι πάλιν εἰς ταυτὸ συνάπτουσιν, εἰς τὸ πρόσθεν ἐπὶ τὸ αἰδοῖον· οἱ δ' ἐπανακάμπτοντες πόροι καὶ προσκαθήμενοι τοῖς ὄρχεσιν ὑμένι περιειλημμένοι εἰσὶ τῷ αὐτῷ· ὥστε δοκεῖν ἕνα εἶναι πόρον, ἐὰν μὴ διέλῃ τὸν ὑμένα τις. Ὁ μὲν οὖν προσκαθήμενος πόρος ἔτι αἱματῶδες ἔχει τὸ ὑγρὸν, ἧττον μέντοι τῶν ἄνω τῶν ἐκ τῆς ἀορτῆς· ἐν δὲ τοῖς ἐπανακάμπτουσιν εἰς τὸν καυλὸν τὸν ἐν τῷ αἰδοίῳ λευκή ἐστιν ἡ ὑγρότης. Φέρει δὲ καὶ ἀπὸ τῆς κύστεως πόρος, καὶ συνάπτει ἄνωθεν εἰς τὸν καυλόν· περὶ τοῦτον δὲ οἷον κέλυφός ἐστι τὸ καλούμενον αἰδοῖον. Θεωρείσθω δὲ τὰ εἰρημένα ταῦτα καὶ ἐκ τῆς ὑπογραφῆς τῆσδε. Τῶν πόρων ἡ ἀρχὴ τῶν ἀπὸ τῆς ἀρτηρίας, ἐφ' ἧς Α· ἡ κεφαλὴ τῶν ὄρχεων, καὶ οἱ καθήκοντες πόροι, ἐφ' οἷς Κ Κ· οἱ ἀπὸ τούτων πρὸς τῷ ὄρχει προσκαθήμενοι, ἐφ' οἷς τὰ Ω Ω· οἱ δ' ἀνακάμπτοντες ἐφ' οἷς ἡ ὑγρότης ἡ λευκὴ, ἐφ' οἷς τὰ Β Β· αἰδοῖον, Δ· κύστις, Ε· ὄρχεις δ' ἐν οἷς τὰ Ψ Ψ. Ἀποτεμνομένων δὲ, ἢ ἀφαιρουμένων τῶν ὄρχεων αὐτῶν, ἀνασπῶνται οἱ πόροι ἄνω. Διαφθείρουσι δ' οἱ μὲν ἔτι νέων ὄντων τρίψει· οἱ δ' ὕστερον, ἐκτέμνονται. Συνέβη δὲ ταῦρον ἐκτμηθέντα καὶ εὐθὺς ἐπιβάντα, ὀχεῦσαι καὶ γεννῆσαι.

2\. Τὰ μὲν οὖν περὶ τοὺς ὄρχεις τῶν ζώων τοῦτον ἔχει τὸν τρόπον. Αἱ δ' ὑστέραι τῶν ἐχόντων ὑστέρας ζώων οὔτε τὸν αὐτὸν τρόπον ἔχουσιν, οὔθ' ὅμοιαι πάντων εἰσίν· ἀλλὰ διαφέρουσι καὶ τῶν ζωοτοκούντων πρὸς ἄλληλα, καὶ τῶν ᾠοτοκούντων. Δικρόαι μὲν οὖν

Passons à la description des testicules dans les Animaux vivipares qui ont des pieds : elle sera la même pour tous. Il part de l'aorte deux conduits de la nature des veines qui se rendent à la tête de chacun des testicules ; des reins il part deux autres conduits qui sont des vaisseaux sanguins, au lieu que les premiers qui viennent de l'aorte ne contiennent point de sang. De la tête au corps du testicule il va un conduit plus épais & plus nerveux que le premier, qui se repliant dans le testicule, remonte vers sa tête : delà ces deux conduits se replient encore pour aller se réunir au même point, en devant vers la verge. Ces vaisseaux qui se replient vers le haut du testicule & qui sont couchés sur sa surface sont enveloppés d'une membrane commune, de sorte qu'avant d'avoir enlevé la membrane on les prendroit pour un seul vaisseau. La partie des vaisseaux qui descend en rampant sur le testicule contient une liqueur qui est encore sanguinolente, moins cependant qu'elle ne l'est dans les vaisseaux supérieurs qui viennent de l'aorte : dans les vaisseaux qui se replient vers l'urethre, la liqueur est blanche. La vessie donne naissance à un autre conduit qui va joindre la partie supérieure de l'urethre, & ce qu'on appelle la verge est autour de ce canal, comme une espece d'enveloppe. Une figure rendra ceci plus sensible. Soit A, le point de l'artere d'où partent les conduits : K K, la tête des testicules, & les vaisseaux qui y aboutissent : O O, les vaisseaux qui partent de la tête des testicules & qui rampent sur le corps de cette partie : B B, les vaisseaux qui se replient en haut, & qui contiennent une liqueur blanche : D, la verge ; E, la vessie ; P P, les testicules. Si l'on coupe les testicules, ou qu'on les enleve de quelque autre maniere, les conduits dont nous avons parlé se retirent en haut. On peut rendre les Animaux inhabiles à la génération, ou en froissant les testicules, lorsque l'animal est encore jeune, ou en les coupant s'il est plus âgé. On a vu un taureau couvrir une vache au moment où il venoit d'être coupé, & cet accouplement être fécond.

Voilà ce qui regarde les testicules, passons à la matrice. Cette partie n'est ni semblable, ni située de la même maniere dans tous les Animaux où elle se trouve : elle est sujette à des différences, soit dans les vivipares, soit dans les ovipares. Partout où la matrice est placée près des articulations 2.

εἰσιν ἁπάντων τῶν πρὸς τοῖς ἄρθροις ἐχόντων τὰς ὑστέρας, καὶ τὸ μὲν αὐτῶν ἐν τοῖς δεξιοῖς μέρεσι, τὸ δ᾽ ἕτερον ἐν τοῖς ἀριστεροῖς ἐστιν· ἡ δ᾽ ἀρχὴ μία, καὶ τὸ στόμα ἕν, οἷον καυλὸς σαρκώδης σφόδρα καὶ χονδρώδης τοῖς πλείστοις καὶ μεγίστοις. Καλεῖται δὲ τούτων τὰ μὲν ὑστέρα καὶ δελφὺς, ὅθεν καὶ ἀδελφοὺς προσαγορεύουσι· μήτρα δ᾽ ὁ καυλὸς καὶ τὸ στόμα τῆς ὑστέρας.

Οσα μὲν οὖν ἐστι ζωοτόκα καὶ δίποδα ἢ τετράποδα, τούτων μὲν ἡ ὑστέρα πάντων ἐστὶ κάτω τοῦ ὑποζώματος, οἷον ἀνθρώπῳ, καὶ κυνὶ, καὶ ὑὶ, καὶ ἵππῳ, καὶ βοί. Καὶ τοῖς κερατοφόροις ὁμοίως ταῦτ᾽ ἔχει πᾶσιν. Επ᾽ ἄκρων δὲ αἱ ὑστέραι τῶν καλουμένων κερατίων εἴλιγμα ἔχουσιν αἱ τῶν πλείστων. Τῶν δ᾽ ᾠοτοκούντων εἰς τοὐμφανὲς οὐχ ὁμοίως ἁπάντων ἔχουσιν, ἀλλ᾽ αἱ μὲν τῶν ὀρνίθων πρὸς τῷ ὑποζώματι, αἱ δὲ τῶν ἰχθύων κάτω, καθάπερ αἱ τῶν ζωοτοκούντων διπόδων καὶ τετραπόδων· πλὴν λεπταὶ καὶ ὑμενώδεις καὶ μακραί· ὥστ᾽ ἐν τοῖς σφόδρα μικροῖς τῶν ἰχθύων δοκεῖν ἑκατέραν ᾠὸν ἕν, ὡς δύο ἐχόντων ᾠὰ τῶν ἰχθύων τούτων, ὅσων λέγεται τὸ ᾠὸν εἶναι ψαθυρόν· ἔστι γὰρ οὐχ ἕν, ἀλλὰ πολλά· διόπερ διαχεῖται εἰς πολλά. Η δὲ τῶν ὀρνίθων ὑστέρα κάτωθεν μὲν ἔχει τὸν καυλὸν σαρκώδη καὶ στιφρὸν, τὸ δὲ πρὸς τῷ ὑποζώματι ὑμενῶδες καὶ λεπτὸν πάμπαν· ὥστε δόξαι ἂν ἔξω τῆς ὑστέρας εἶναι τὰ ᾠά. Εν μὲν οὖν τοῖς μείζοσι τῶν ὀρνίθων δῆλός ἐστιν ὁ ὑμὴν μᾶλλον, καὶ φυσώμενος διὰ τοῦ καυλοῦ αἴρεται καὶ κολποῦται· ἐν δὲ τοῖς μικροῖς ἀδηλότερα ταῦτα. Τὸν αὐτὸν δὲ τρόπον ἔχει ἡ ὑστέρα καὶ ἐν τοῖς τετράποσι μὲν τῶν ζώων, ᾠοτόκοις δὲ, οἷον χελώνῃ, καὶ σαύρᾳ, καὶ βατράχοις, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. Ο μὲν γὰρ καυλὸς κάτωθεν εἷς καὶ σαρκωδέστερος· ἡ δὲ σχίσις καὶ τὰ ᾠὰ ἄνω πρὸς τῷ ὑποζώματι.

Οσα δὲ τῶν ἀπόδων εἰς τὸ φανερὸν μὲν ζωοτοκεῖ, ἐν αὐτοῖς δ᾽ ᾠοτοκεῖ, οἷον οἵ τε γαλεοὶ καὶ τἆλλα τὰ καλούμενα σελάχη· καλεῖται δὲ σέλαχος ὃ ἂν τι ἄπουν ὂν καὶ βράγχια ἔχον ζωοτόκον ῇ·

on

on y distingue deux sinus, l'un à droite, l'autre à gauche, mais ils ont un principe commun, & l'entrée de la matrice est unique. C'est dans la plûpart des Animaux & dans les plus grands un canal très charnu & cartilagineux. Ce canal qui est l'orifice de la matrice, se nomme le vagin : le surplus s'appelle proprement la matrice ou l'*uterus*, & de là dérive le nom de frere uterin.

Tout animal vivipare, soit à deux soit à quatre pieds, a la matrice au-dessous du diaphragme. On le voit dans l'Homme, le chien, le porc, le cheval, le bœuf : il en est de même dans tous les Animaux à cornes. Dans la plûpart, on remarque aux extrémités de la matrice que ce qu'on appelle les cornes de cette partie, est replié en spirale. A l'égard des Animaux qui produisent leurs œufs à l'extérieur, il y a des variétés entre eux. Les oiseaux ont la matrice près du diaphragme, les poissons l'ont plus bas & placée comme dans les vivipares à deux & à quatre pieds ; mais ce n'est, pour ainsi dire, qu'une membrane mince & allongée, tellement que dans les poissons fort petits chacune des deux branches de la matrice sembleroit être un œuf : on croiroit que ces poissons, dont on dit que l'œuf est graveleux, n'ont effectivement que deux œufs en tout ; mais chacun d'eux est composé d'un grand nombre d'autres, & se résout en une quantité d'œufs. La partie inférieure de la matrice des oiseaux a un canal épais & charnu, mais la partie voisine du diaphragme est comme une membrane, & si mince qu'on diroit que les œufs sont hors de la matrice. Dans les grands oiseaux cette membrane est plus sensible, & en soufflant par le vagin on la voit s'élever en arc : dans les petits toutes ces parties sont moins faciles à appercevoir. Les quadrupedes ovipares, la tortue, le lézard, les grenouilles & les autres de cette espece, ont la matrice disposée comme les oiseaux : un canal unique, très-charnu, placé vers le bas, y donne entrée ; la séparation & les œufs sont en haut vers le diaphragme.

Entre les Animaux qui n'ont point de pieds il en est qui produisent à l'extérieur un animal vivant, après avoir d'abord produit intérieurement un œuf. Tels sont les chiens de mer & autres sélaques. On appelle sélaques, des Animaux sans pieds, qui ont des ouies & qui sont vivipares. La matrice

τούτων δὴ δικρόα μὲν ἡ ὑστέρα· ὁμοίως δὲ καὶ πρὸς τὸ ὑπόζωμα τείνει, καθάπερ καὶ τῶν ὀρνίθων. Ετι δὲ διὰ μέσου τῶν δικρόων κάτωθεν ἀρξαμένη, μέχρι πρὸς τὸ ὑπόζωμα τείνει, καὶ τὰ ὠὰ ἐνταῦθα γίνεται, καὶ ἄνω ἐπ' ἀρχῇ τοῦ ὑποζώματος· εἶτα προελθόντα εἰς τὴν εὐρυχωρίαν, ζῶα γίνεται ἐκ τῶν ὠῶν. Αυτῶν δὲ τούτων πρὸς ἄλληλά τε καὶ πρὸς τοὺς ἄλλους ἰχθῦς ἡ διαφορὰ τῶν ὑστερῶν ἀκριβέστερον ἂν θεωρηθείη τοῖς σχήμασιν ἐκ τῶν ἀνατομῶν.

Εχει δὲ καὶ τὸ τῶν ὄφεων γένος πρός τε ταῦτα καὶ πρὸς ἄλληλα διαφοράν. Τὰ μὲν γὰρ ἄλλα γένη τῶν ὄφεων ᾠοτοκεῖ πάντα, ἔχις δὲ ζωοτοκεῖ μόνον, ᾠοτοκήσας ἐν αὑτῷ πρῶτον· διὸ παραπλησίως ἔχει τὰ περὶ τὴν ὑστέραν τοῖς σελάχεσιν. Η δὲ τῶν ὄφεων ὑστέρα μακρὰ, καθάπερ τὸ σῶμα, τείνει κάτωθεν ἀρξαμένη ἀφ' ἑνὸς πόρου συνεχὴς, ἔνθεν καὶ ἔνθεν τῆς ἀκάνθης, οἷον πόρος ἑκάτερος ὤν, μέχρι πρὸς τὸ ὑπόζωμα, ἐν ᾗ τὰ ὠὰ κατὰ στοῖχον ἐγγίνεται, καὶ ἐκτίκτει οὐ καθ' ἓν, ἀλλὰ συνεχές. Εχει δὲ τὴν ὑστέραν, ὅσα μὲν ζωοτοκεῖ καὶ ἐν αὑτοῖς καὶ εἰς τοὐμφανὲς, ἄνωθεν τῆς κοιλίας· ὅσα δ' ᾠοτοκεῖ, πάντα κάτωθεν πρὸς τῇ ὀσφύϊ. Οσα δὲ εἰς τὸ φανερὸν μὲν ζωοτοκεῖ, ἐν αὑτοῖς δ' ᾠοτοκεῖ, ἐπαμφοτερίζει. Τὸ μὲν γὰρ κάτωθεν πρὸς τὴν ὀσφὺν αὐτῆς μέρος ἐστὶν ἐν ᾧ τὰ ὠά· τὸ δὲ περὶ τὴν ἔξοδον ἐπάνω τῶν ἐντέρων.

Ετι δὲ διαφορὰ καὶ ἥδε πρὸς ἀλλήλας ἐστὶ τῶν ὑστερῶν. Τὰ μὲν γὰρ κερατοφόρα καὶ μὴ ἀμφόδοντα, ἔχει κοτυληδόνας ἐν τῇ ὑστέρᾳ ὅταν ἔχῃ τὸ ἔμβρυον, καὶ τῶν ἀμφοδόντων, οἷον δασύπους, καὶ μῦς, καὶ νυκτερίς· τὰ δ' ἄλλα τὰ ἀμφόδοντα καὶ ζωοτόκα καὶ ὑπόποδα πάντα λείαν ἔχει τὴν ὑστέραν, καὶ ἡ τῶν ἐμβρύων ἐξάρτησις ἐξ αὐτῆς ἐστι τῆς ὑστέρας, ἀλλ' οὐκ ἐκ κοτυληδόνος. Τὰ μὲν οὖν ἀνομοιομερῆ ἐν τοῖς ζώοις μέρη τοῦτον ἔχει τὸν τρόπον, καὶ τὰ ἐκτὸς καὶ τὰ ἐντός.

de ces Animaux eſt compoſée de deux parties, & elle remonte vers le diaphragme ainſi que celle des oiſeaux. C'eſt du point où les deux parties ſe ſéparent qu'elle commence à s'élever pour atteindre au deſſous du diaphragme, & c'eſt dans cette partie, en haut, vers le commencement à prendre du côté du diaphragme, que les œufs ſe forment. Ils deſcendent enſuite dans la partie de la matrice qui s'élargit; c'eſt là que le fœtus ſort de l'œuf. Mais les variétés rélatives à la matrice, ſoit entre les différentes eſpeces de ſélaques, ſoit entre eux & les autres poiſſons, s'appercevront mieux par l'inſpection des figures anatomiques.

Les ſerpents différent encore pour la conformation de la matrice, ſoit des Animaux dont nous venons de parler, ſoit les uns d'avec les autres. Tous ſont ovipares, à l'exception de la vipere qui ſeule eſt vivipare; mais elle produit d'abord intérieurement un œuf: auſſi ſa matrice approche-t-elle de celle des ſélaques. La matrice des ſerpents eſt longue de même que l'eſt leur corps, ſon entrée n'a qu'une ouverture qui ſe trouve en bas, & elle continue enſuite ſans interruption comme un double conduit, de chaque côté de l'épine du dos, s'avançant juſques auprès du diaphragme. Les œufs s'y forment pour ainſi-dire à la file les uns des autres, & les ſerpents ne les pondent pas un à un, mais par grappes & tenant les uns aux autres. Tous les Animaux abſolument vivipares ont la matrice ſur le deſſus du ventre, au contraire les ovipares l'ont tous à la partie oppoſée & proche des lombes. La matrice des Animaux extérieurement vivipares mais intérieurement ovipares, tient de celles des vivipares & de celle des ovipares; une portion eſt en deſſous du côté des lombes, & c'eſt là que ſont les œufs: le ſurplus qui avoiſine l'orifice, eſt au-deſſus des entrailles.

Voici encore une obſervation ſur cette même partie. Les fémelles des bêtes à cornes qui n'ont point de dents ſur le devant de la machoire ſupérieure ont, lorſqu'elles ſont pleines, des lacunes aux parois intérieures de la matrice. Quelques Animaux d'un autre genre en ont auſſi: le daſypode, par exemple, le rat, & la chauve-ſouris. Tous les autres Animaux vivipares qui ont des dents également aux deux machoires & des pieds, ont ces parois liſſes: l'embryon eſt attaché à la ſurface intérieure de la matrice, ſans le ſecours des eſpeces d'articulations que forment les lacunes. Ces obſervations termineront le détail des parties tant intérieures qu'extérieures, & que nous avons nommées parties compoſées.

3. II. Τῶν δ' ὁμοιομερῶν κοινότατον μέν ἐστι τὸ αἷμα πᾶσι τοῖς ἐναίμοις ζώοις, καὶ τὸ μόριον ἐν ᾧ πέφυκεν ἐγγίνεσθαι· τοῦτο δὲ καλεῖται φλέψ· ἔπειτα δὲ τὸ ἀνάλογον τούτοις, ἰχὼρ καὶ ἶνες· καὶ ὃ μάλιστα δή ἐστι τὸ σῶμα τῶν ζώων, ἡ σὰρξ, καὶ τὸ τούτῳ ἀνάλογον ἐν ἑκάστῳ μόριον. Ετι ὀστοῦν, καὶ τὸ ἀνάλογον τούτῳ, οἷον ἄκανθα καὶ χόνδρος. Ετι δέρμα, ὑμὴν, νεῦρα, τρίχες, ὄνυχες, καὶ τὰ ἀναλογοῦντα τούτοις· πρὸς δὲ τούτοις, πιμελὴ, στέαρ, καὶ τὰ περιττώματα· ταῦτα δ' ἐστὶ κόπρος, φλέγμα, καὶ χολὴ ξανθὴ καὶ μέλαινα·

Επεὶ δ' ἀρχὴ ἔοικεν ἡ τοῦ αἵματος φύσις καὶ ἡ τῶν φλεβῶν, πρῶτον περὶ τούτων λεκτέον, ἄλλως τε ἐπειδὴ τῶν πρότερον εἰρηκότων τινὲς οὐκ ἀληθῶς λέγουσιν· αἴτιον δὲ τῆς ἀγνοίας τὸ δυσθεώρητον αὐτῶν. Εν μὲν γὰρ τοῖς τεθνεῶσι τῶν ζώων ἄδηλος ἡ φύσις τῶν κυριωτάτων φλεβῶν, διὰ τὸ συμπίπτειν εὐθὺς ἐξιόντος τοῦ αἵματος μάλιστα ταύτας· ἐκ τούτων γὰρ ἐκχεῖται ἀθρόον, ὥσπερ ἐξ ἀγγείου· καθ' αὑτὸ γὰρ οὐδὲν ἔχει αἷμα, πλὴν ὀλίγον ἐν τῇ καρδίᾳ, ἀλλὰ πᾶν ἐστιν ἐν ταῖς φλεψίν· ἐν δὲ ζῶντι ἀδύνατον εἶναι θεάσασθαι πῶς ἔχουσιν, ἐντὸς γὰρ ἡ φύσις αὐτῶν. Ωσθ' οἱ μὲν ἐν τεθνεῶσι καὶ διῃρημένοις τοῖς ζώοις θεωροῦντες τὰς μεγίστας ἀρχὰς οὐκ ἐθεώρουν, οἱ δ' ἐν τοῖς λελεπτυσμένοις σφόδρα ἀνθρώποις ἐκ τῶν τότε ἔξωθεν φαινομένων τὰς ἀρχὰς τῶν φλεβῶν διώρισαν.

Συέννεσις μὲν ὁ Κύπριος ἰατρὸς τόνδε τὸν τρόπον· » Αἱ φλέ-
» βες αἱ παχεῖαι ὧδε πεφύκασιν. Εκ τοῦ ὀφθαλμοῦ παρὰ τὴν ὀφρὺν
» διὰ τοῦ νώτου, παρὰ τὸν πνεύμονα ὑπὸ τοὺς μαστοὺς, ἡ μὲν
» ἐκ τοῦ δεξιοῦ, εἰς τὰ ἀριστερά· ἡ δ' ἐκ τοῦ ἀριστεροῦ, εἰς τὸ
» δεξιόν· ἡ μὲν οὖν ἐκ τοῦ ἀριστεροῦ, διὰ τοῦ ἥπατος, εἰς τὸν νε-
» φρὸν καὶ εἰς τὸν ὄρχιν· ἡ δ' ἐκ τοῦ δεξιοῦ εἰς τὸν σπλῆνα, καὶ
» νεφρὸν, καὶ ὄρχιν· ἐντεῦθεν δὲ εἰς τὸ αἰδοῖον.

Διογένης δὲ ὁ Απολλωνιάτης τάδε λέγει· » Αἱ φλέβες ἐν τῷ

Entre les parties ſimilaires, le ſang & les vaiſſeaux qui le contiennent & 3.
qu'on nomme veines, ſont les parties le plus généralement communes aux II.
Animaux qui ont du ſang : enſuite ce qui répond au ſang & aux veines, la ſéroſité & les fibres; après cela ce qui compoſe la majeure partie du corps des Animaux, la chair ou ce qui y répond dans chacun; puis les os, ou les arrêtes & cartilages qui tiennent lieu d'os; la peau, les membranes, les nerfs, les cheveux, les ongles & ce qui y correſpond; la graiſſe, l'axonge & les excrémens : ſavoir la fiente, les excrétions humides, & la bile tant jaune que noire.

Puiſque le ſang & les veines paroiſſent tenir ici le premier rang, nous commencerons par ces parties, d'autant plus que quelques-uns de ceux qui en ont traité précédemment l'ont fait avec peu d'exactitude. Leur erreur vient de la difficulté de l'obſervation. Dans les cadavres on ne ſauroit diſcerner les principales veines, parce que ce ſont celles qui s'affaiſſent le plus à l'inſtant que le ſang en ſort; & il en ſort rapidement & en abondance, comme d'un vaſe : or tout le ſang eſt renfermé dans les veines, à l'exception d'une petite quantité qui eſt dans le cœur; nul autre viſcere ne ſert de réſervoir immédiat au ſang. Dans l'animal vivant, il n'eſt pas poſſible de voir comment les veines ſont diſpoſées, puiſque ce ſont des parties intérieures : ceux donc qui ont fait leurs obſervations ſur des Animaux morts qu'ils diſſéquoient n'ont point apperçu les principales veines, ſources des autres; ceux qui ont obſervé ſur des ſujets fort maigres ont déterminé les premiers troncs des veines, d'après ce que la maigreur du ſujet leur laiſſoit voir à l'extérieur.

Selon Syenneſis, le Médecin de Chypre, voici quelle eſt la diſpoſition des groſſes veines. » De l'œil, auprès du ſourcil, part une veine qui deſ» cend le long du dos, ſuit le poumon, & va au deſſous des mamelles.
» Là celle qui vient de droite paſſe à gauche, & celle de gauche à droite.
» Celle-ci traverſe le foie, va à l'un des reins & à l'un des teſticules : celle
» qui vient du côté droit rend à la rate, à l'autre rein & à l'autre teſticule,
» de là elles vont à la verge. »

Diogene d'Apollonie les décrit d'une autre maniere. » Telle eſt, dit-il,

» ἀνθρώπῳ ὧδ᾽ ἔχουσιν. Εἰσὶν αἱ δύο μέγισται· αὗται τείνουσι διὰ » τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν· ἡ μὲν ἐπὶ δεξιὰ, ἡ δ᾽ » ἐπ᾽ ἀριστερὰ, εἰς τὰ σκέλη ἑκάτερα τὰ παρ᾽ ἑαυτῇ, καὶ ἄνω εἰς » τὴν κεφαλὴν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν. Ἀπὸ δὲ τού- » των καθ᾽ ἅπαν τὸ σῶμα αἱ φλέβες διατείνουσαι ἀπὸ μὲν τῆς » δεξιᾶς εἰς τὰ δεξιὰ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερά. » Μέγισται μὲν δύο εἰς τὴν καρδίαν, περὶ αὐτὴν τὴν νωτιαίαν » ἄκανθαν. Ἕτεραι δ᾽ ὀλίγον ἀνωτέρω, διὰ τῶν στηθέων ὑπὸ τὴν » μασχάλην, εἰς ἑκατέραν τὴν χεῖρα τὴν παρ᾽ ἑαυτῇ· καὶ καλεῖται » ἡ μὲν σπληνῖτις, ἡ δὲ ἡπατῖτις. Σχίζεται δ᾽ αὐτῶν ἄκρα » ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μέγαν δάκτυλον, ἡ δ᾽ ἐπὶ τὸν ταρσόν· » ἀπὸ δὲ τούτων, λεπταὶ καὶ πολύοζοι ἐπὶ τὴν ὅλην χεῖρα καὶ » δακτύλους.

» Ἕτεραι δὲ λεπτότεραι ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσαι, » ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὸ ἧπαρ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς » τὸν σπλῆνα, καὶ εἰς τοὺς νεφρούς. Αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι » σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν· » ἡ δὲ μεγίστη αὐτῶν ὄπισθεν τείνει τοῦ μηροῦ, καὶ ἐκφαίνεται » παχεῖα· ἑτέρα δὲ, εἴσω τοῦ μηροῦ, μικρὸν ἧττον παχεῖα ἐκεί- » νης. Ἔπειτα παρὰ τὸ γόνυ τείνουσιν εἰς τὴν κνήμην τε καὶ τὸν » πόδα, καθάπερ αἱ εἰς τὰς χεῖρας· καὶ ἐπὶ τὸν ταρσὸν τοῦ πο- » δὸς καθήκουσι, καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους διατείνουσι. Σχί- » ζονται δὲ ἐπὶ τὴν κοιλίαν καὶ ἐπὶ τὸ πλευρὸν πολλαὶ ἀπ᾽ αὐτῶν » καὶ λεπταὶ φλέβες. "

» Αἱ δὲ εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν φαίνονται ἐν » τῷ αὐχένι μεγάλαι· ἀφ᾽ ἑκατέρας δ᾽ αὐτῶν, ᾗ τελευτᾷ, σχί- » ζονται εἰς τὴν κεφαλὴν πολλαί· αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ » ἀριστερά· αἱ δ᾽ ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά· τελευτῶσι δὲ » παρὰ τὸ οὖς ἑκάτεραι. Ἔστι δ᾽ ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ » παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν

» la disposition des veines dans l'Homme. Il y en a deux grosses, elles traversent le ventre le long de l'épine du dos, l'une à droite, l'autre à gauche : chacune d'elles descend d'une part dans la cuisse qui lui répond; » vers le haut elles montent à la tête, en passant près des clavicules & traversant la gorge. Ces deux veines distribuent des rameaux dans tout le » corps, celle qui est à droite dans le côté droit, & celle qui est à gauche dans le côté gauche : les deux grandes rendent au cœur auprès de » l'épine du dos. D'autres veines qui se trouvent un peu plus haut, traversent la poitrine, &, passant sous l'aisselle, vont chacune à celle des mains » qui est de son côté. L'une s'appelle la splénique, l'autre l'hépatique. Leur » extrémité se divise : une partie est destinée au pouce, l'autre au poignet : » & de là naissent une multitude de petites veines qui se distribuent dans » toute la main & les doigts.

» D'autres rameaux plus foibles sortent des premieres veines ; ceux qui » partent de la veine droite vont au foie, ceux qui partent de la veine gauche à la rate, ensuite aux reins. Les veines destinées aux extrémités inférieures se partagent vers l'endroit où ces parties s'attachent au tronc, & » elles se répandent dans toute la cuisse. Le rameau le plus fort descend » derriere la cuisse où sa grosseur est sensible ; l'autre rameau descend en » dedans de la cuisse, & a un peu moins de grosseur. De là ils passent l'un » & l'autre, le long du genou, à la jambe & aux pieds, de même que » les rameaux supérieurs se portent aux mains : & parvenus au cou-de-pied, » ils se distribuent aux doigts. Des principales veines il en naît un grand » nombre de petites qui se répandent sur le ventre & sur la région des » côtes.

» On voit au col les veines qui se portent à la tête en traversant la » gorge, elles y paroissent grosses, & se terminent auprès de l'oreille : » chacune se divise à son extrémité en une multitude d'autres, qui vont » à la tête en se portant, celles de la droite à gauche, & celles de » la gauche à droite. Il passe dans le cou une autre veine de chaque » côté le long de la grosse, mais qui est un peu moins considérable : la

» αἱ πλεῖσται ἐκ τῆς κεφαλῆς συντείνουσιν, καὶ αὗται τείνουσι διὰ » τῶν σφαγῶν εἴσω· καὶ ἀπ' αὐτῶν ἑκατέρας ὑπὸ τὴν ὠμοπλάτην » τείνουσι, καὶ εἰς τὰς χεῖρας, καὶ φαίνονται παρά τε τὴν σπλη- » νῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀλίγον ἐλάττους, ἃς ἀποσπῶσιν » ὅταν τὸ ὑπὸ τὸ δέρμα λυπῇ· ἐὰν δέ τι περὶ τὴν κοιλίαν, » τὴν ἡπατῖτιν καὶ σπληνῖτιν.

» Τείνουσι δὲ καὶ εἰς τοὺς μαστοὺς ἀπὸ τούτων ἕτεραι. Ἕτεραι » δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς » τοὺς ὄρχεις, λεπταί. Ἕτεραι δ' ὑπὸ τὸ δέρμα, καὶ διὰ τῆς » σαρκὸς, τείνουσιν εἰς τοὺς νεφροὺς, καὶ τελευτῶσιν εἰς τοὺς ὄρχεις » τοῖς ἀνδράσι, ταῖς δὲ γυναιξὶν εἰς τὰς ὑστέρας. Αἱ δὲ φλέ- » βες, αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν· ἔπειτα » λεπτότεραι γίγνονται ἕως ἂν μεταβάλλωσιν ἐκ τῶν δεξιῶν εἰς » τὰ ἀριστερὰ, καὶ ἐκ τούτων εἰς τὰ δεξιά· αὗται δὲ σπερματί- » τιδες καλοῦνται. Τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σαρ- » κωδῶν ἐκπίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους, λεπτὸν » καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται. »

III. Συέννεσις μὲν οὖν καὶ Διογένης οὕτως εἰρήκασι. Πόλυβος δ' ὧδε· » Τὰ τῶν φλεβῶν τέτταρα ζεύγη ἐστίν. Ἓν μὲν ἀπὸ τοῦ ἐξόπισθεν » τῆς κεφαλῆς, διὰ τοῦ αὐχένος, ἔξωθεν παρὰ τὴν ῥάχιν ἔνθεν » καὶ ἔνθεν, μέχρι τῶν ἰσχίων εἰς τὰ σκέλη· ἔπειτα διὰ τῶν κνη- » μῶν εἰς τῶν σφυρῶν τὸ ἔξω καὶ εἰς τοὺς πόδας, διὸ καὶ τὰς » φλεβοτομίας ποιοῦνται τῶν περὶ τὸν νῶτον ἀλγημάτων καὶ ἰσχίον, » ἀπὸ τῶν ἰγνύων καὶ σφυρῶν τῶν ἔξωθεν.

» Ἕτεραι δὲ φλέβες ἐκ τῆς κεφαλῆς παρὰ τὰ ὦτα διὰ τοῦ αὐ- » χένος· αἳ καλοῦνται σφαγίτιδες· ἔνδοθεν παρὰ τὴν ῥάχιν ἑκάτεραι » φέρουσι παρὰ τὰς ψοιὰς εἰς τοὺς ὄρχεις καὶ εἰς τοὺς μηροὺς, καὶ διὰ » τῶν ἰγνύων τοῦ ἔνδοθεν μορίου, καὶ διὰ τῶν κνημῶν ἐπὶ τὰ σφυρὰ τὰ » εἴσω καὶ τοὺς πόδας· διὸ καὶ τὰς φλεβοτομίας ποιοῦνται, τῶν περὶ » τὰς ψοιὰς καὶ τοὺς ὄρχεις ἀλγημάτων, ἀπὸ τῶν ἰγνύων καὶ τῶν » σφυρῶν.

» plûpart des veines de la tête viennent s'y réunir ; elles rentrent en dedans » par le gosier, & chacune donne naissance à d'autres qui passent sous l'o» moplate & descendent aux mains. On les distingue facilement de la splé» nique & de l'hépatique dont elles suivent le cours, parce qu'elles ont un » volume un peu moins considérable. On ouvre ces veines dans les douleurs » qui se font sentir sous la peau : mais dans celles qui affectent la région de » l'estomac, on ouvre la splénique & l'hépatique.

» Ces dernieres veines fournissent des rameaux aux mamelles, & d'au» tres rameaux plus foibles qui partant de chacune, & traversant la moëlle » épiniere tendent aux testicules. D'autres qui passent sous la peau traver» sent les chairs, vont rendre aux reins, & se terminent aux testicules dans » les hommes & à la matrice dans les femmes. Les premieres sont plus » larges au moment où elles sortent du ventre, elles diminuent ensuite, jus» qu'à ce qu'elles se croisent pour passer d'un côté à l'autre : on les appelle » spermatiques. La partie la plus épaisse du sang est absorbée par les chairs ; » ce qui en reste & qui va se rendre aux différents endroits qui ont été » indiqués est un sang subtil, chaud & écumeux. »

Nous venons d'entendre Syennesis & Diogene : Polybe s'explique différem- III. ment. » On doit, selon lui, distinguer quatre paires de veines. La premiere » paire descend du derriere de la tête par le cou, & extérieurement le long » de chaque côté de l'épine du dos jusqu'aux hanches, pour se rendre aux » cuisses. De là elles traversent les jambes, vont aux malléoles externes & » aux pieds, d'où vient que dans les douleurs du dos & des hanches, on » seigne au jarret ou aux malléoles externes.

» Les veines de la seconde paire, qu'on nomme jugulaires, se portent » de la tête, en passant près des oreilles, au cou qu'elles traversent : de » là, elles continuent intérieurement le long de l'épine, & passant près » des lombes elles se portent aux testicules & aux cuisses. Après avoir tra» versé le pli du jarret & les jambes, elles se montrent sur les malléoles » internes, & vont aux pieds : par cette raison on seigne au jarret & aux » malléoles dans les douleurs qui affectent les lombes, ou les testicules.

» Τὸ δὲ τρίτον ζεῦγος ἐκ τῶν κροτάφων, διὰ τοῦ αὐχένος, » ὑπὸ τὰς ὠμοπλάτας εἰς τὸν πνεύμονα ἀφικνοῦνται· αἱ μὲν ἐκ » τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ ὑπὸ τὸν μαστὸν, καὶ εἰς τὸν σπλῆνά » τε, καὶ εἰς τὸν νεφρόν· αἱ δ' ἀπὸ τῶν ἀριστερῶν εἰς τὸν δεξιὸν » ἐκ τοῦ πνεύμονος ὑπὸ τὸν μαστὸν καὶ ἧπαρ, καὶ εἰς τὸν νεφρόν· » ἄμφω δὲ τελευτῶσιν εἰς τὸν ἀρχόν.

» Αἱ δὲ τέταρται ὑπὸ τῶν ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν » ὀφθαλμῶν, ὑπὸ τὸν αὐχένα καὶ τὰς κλεῖδας· ἐντεῦθεν δὲ τεί- » νουσι διὰ τῶν βραχιόνων ἄνωθεν εἰς τὰς καμπὰς, εἶτα διὰ τῶν » πήχεων ἐπὶ τοὺς καρποὺς καὶ τὰς συγκαμπὰς, καὶ, διὰ τῶν » βραχιόνων τοῦ κάτωθεν μορίου, εἰς τὰς μασχάλας, καὶ ἐπὶ τῶν » πλευρῶν ἄνωθεν, ἕως ἡ μὲν ἐπὶ τὸν σπλῆνα, ἡ δ' ἐπὶ τὸ » ἧπαρ ἀφίκηται· εἶθ' ὑπὲρ τῆς γαστρὸς, εἰς τὸ αἰδοῖον ἄμφω » τελευτῶσι. »

4. Τὰ μὲν οὖν ὑπὸ τῶν ἄλλων εἰρημένα, σχεδὸν ταῦτ' ἐστίν. Εἰσὶ δὲ καὶ τῶν περὶ τὴν φύσιν, οἳ τοιαύτην μὲν οὐκ ἐπραγμάτευσαν ἀκριβολογίαν περὶ τὰς φλέβας, πάντες δ' ὁμοίως τὴν ἀρχὴν αὐτῶν ἐκ τῆς κεφαλῆς καὶ τοῦ ἐγκεφάλου ποιοῦσι· λέγοντες οὐ καλῶς. Χαλεπῆς δ' οὔσης, ὥσπερ εἴρηται, τῆς θεωρίας, ἐν μόνοις τοῖς ἀποπεπνιγμένοις τῶν ζώων προλεπτυνθεῖσίν ἐστιν ἱκανῶς καταμαθεῖν, εἴ τινι περὶ τῶν τοιούτων ἐπιμελές. Ἔχει δὲ τοῦτον τὸν τρόπον ἡ τῶν φλεβῶν φύσις.

Δύο φλέβες εἰσὶν ἐν τῷ θώρακι, κατὰ τὴν ῥάχιν μὲν, ἐντὸς δὲ κείμεναι ταύτης· ἡ μὲν μείζων ἐν τοῖς ἔμπροσθεν, ἡ δ' ἐλάττων ὄπισθεν ταύτης· καὶ ἡ μὲν μείζων, ἐν τοῖς δεξιοῖς μᾶλλον· ἡ δὲ ἐλάττων ἐν τοῖς ἀριστεροῖς, ἣν καλοῦσί τινες ἀορτὴν, ἐκ τοῦ τεθεᾶσθαι καὶ ἐν τοῖς τεθνεῶσι τὸ νευρῶδες αὐτῆς μόριον· αὗται δ' ἔχουσι τὰς ἀρχὰς ἀπὸ τῆς καρδίας. Διὰ μὲν γὰρ τῶν ἄλλων σπλάγχνων ᾗ τυγχάνουσι τείνουσαι ὅλαι, δι' αὐτῶν διέρχονται σωζόμεναι καὶ οὖσαι φλέβες· ἡ δὲ καρδία ὥσπερ μόριον

» La troisiéme paire de veines va des temples, par le cou, au-dessous
» des omoplates & de là au poumon : celles du côté droit passent à gauche
» sous la mamelle pour rendre à la rate & au rein ; celles du côté gauche
» passent à droite, allant du poumon sous la mamelle, & de là au foye &
» au rein. Les unes & les autres se terminent à l'anus.

» La direction de la quatriéme paire est du devant de la tête & des yeux
» au-dessous du cou & des clavicules. De là elles se portent par la partie
» supérieure du bras au point où il fléchit, & traversant le coude elles vont
» aux poignets & aux doigts : puis repassant sous le bras & aux aisselles,
» elles vont à la région supérieure des côtes, d'où elles descendent l'une à
» la rate, l'autre au foye, & après avoir continué leur route sur l'abdomen
» elles se terminent l'une & l'autre à la verge. »

C'est à peu près tout ce qu'on a dit jusqu'ici de la disposition des veines. 4.
Il y a cependant encore quelques Physiciens, qui, sans s'attacher à faire une description aussi détaillée des veines, s'accordent tous à en fixer la naissance dans la tête & dans le cerveau. C'est une erreur de leur part. Les veines étant, comme je l'ai déja remarqué, difficiles à observer, ce n'est que sur des Animaux qu'on étouffe après les avoir fait maigrir, que ceux qui sont curieux de les connoître peuvent les étudier, & voici quelle est leur véritable disposition.

Il y a dans la poitrine deux veines, couchées le long de l'épine, mais en avant. La plus considérable est antérieure : l'autre, plus petite, est derriere celle-là. La premiere est plus sur la droite, la seconde plus à gauche, & on donne à cette derniere le nom d'*aorte*, parceque, même après la mort, on distingue encore sa partie nerveuse. Le cœur est le principe de ces deux veines : en effet lorsqu'elles passent dans d'autres visceres, elles conservent en les traversant leur intégrité & leur nature de veines, qui les fait aisément distinguer du viscere où elles passent, au lieu que le cœur peut être

αὐτῶν ἐςι, κὴ μᾶλλον τῆς ἐμπροσθίας κὴ μείζονος· ὥςε ἄνω μὲν κὴ κάτω τὰς φλέϐας εἶναι ταύτας, ἐν μέσῳ δ' αὐτῶν τ̀ καρδίαν.

Ἔχουσι δ' αἱ καρδίαι πᾶσαι μὲν κοιλίαν ἐν αὑταῖς· ἀλλ' αἱ μὲν τῶν σφόδρα μικρῶν ζώων μόλις φανερὰν τὴν μεγίςην ἔχουσι· τὰ δὲ μέσα τῷ μεγέθει τῶν ζώων, καὶ τὴν ἑτέραν· τὰ δὲ μέγιςα, τὰς τρεῖς. Ἐςι δὲ, τῆς καρδίας τὸ ὀξὺ ἐχούσης εἰς τὸ πρόσθεν, καθάπερ εἴρηται πρότερον, ἡ μεγίςη μὲν κοιλία ἐν τοῖς δεξιοῖς, καὶ ἀνωτάτω ταύτης, ἡ δ' ἐλαχίςη ἐν τοῖς ἀριςεροῖς, ἡ δὲ μέση μεγέθει τούτων ἐν τῷ μέσῳ ἀμφοῖν· ἀμφότεραι δὲ αἱ δύο πολλῷ ἐλάττους εἰσὶ τῆς μεγίςης. Συντέτρηνται μέντοι πᾶσαι αὗται πρὸς τὸν πνεύμονα, ἀλλ' ἄδηλον διὰ σμικρότητα τῶν πόρων, πλὴν μιᾶς.

Η μὲν οὖν μεγάλη φλὲψ ἐκ τῆς μεγίςης ἤρτηται κοιλίας τῆς ἄνω, καὶ ἐν τοῖς δεξιοῖς· εἶτα διὰ τοῦ κοίλου τοῦ μέσου γίνεται πάλιν φλὲψ, ὡς οὔσης τῆς κοιλίας μορίου τῆς φλεϐὸς ἐν ᾧ λιμνάζει τὸ αἷμα· ἡ δὲ ἀορτὴ, ἀπὸ τῆς μέσης· πλὴν οὐχ οὕτως, ἀλλὰ κατὰ ςενωτέραν σύριγγα πολλῷ κοινωνεῖ· καὶ ἡ μὲν φλὲψ διὰ τῆς καρδίας, ἡ δὲ ἀορτὴ ἀπὸ τῆς καρδίας τείνει. Καὶ ἔςιν ἡ μὲν μεγάλη φλὲψ, ὑμενώδης καὶ δερματώδης· ἡ δὲ ἀορτὴ ςενωτέρα μὲν ταύτης, σφόδρα δὲ νευρώδης· καὶ ἀποτεινομένη πόῤῥω πρός τε τὴν κεφαλὴν, καὶ πρὸς τὰ κάτω μόρια, ςενή τε γίνεται καὶ νευρώδης πάμπαν.

Τείνει δὲ πρῶτον μὲν ἄνω ἀπὸ τῆς καρδίας, τῆς μεγάλης φλεϐὸς μόριον πρὸς τὸν πνεύμονα καὶ τὴν σύναψιν τῆς ἀορτῆς ἄσχιςος καὶ μεγάλη οὖσα φλέψ· σχίζεται δὲ ἀπ' αὐτῆς μόρια δύο· τὸ μὲν ἐπὶ τὸν πνεύμονα, τὸ δὲ ἐπὶ τὴν ῥάχιν καὶ τὸν ὕςατον τοῦ τραχήλου σφόνδυλον. Η μὲν οὖν ἐπὶ τὸν πνεύμονα τείνουσα φλὲψ εἰς διμερῆ ὄντ' αὐτὸν διχῆ σχίζεται πρῶτον· εἶτα παρ' ἑκάςην σύριγγα, κὴ ἕκαςον τρῆμα τείνει· μείζων μὲν παρὰ τὰ μείζω, ἐλάττων δὲ παρὰ τὰ ἐλάττω, οὕτως, ὥςε μηδὲν εἶναι

regardé comme étant lui-même partie de ces veines, ſurtout de la plus grande qui eſt ſur le devant; enſorte qu'au deſſus & au deſſous ce ſont les veines, au milieu c'eſt le cœur.

Il n'y a point de cœur qui n'ait de cavités, mais dans les Animaux fort petits on apperçoit à peine la plus grande ; dans ceux d'une taille moyenne on découvre de plus la ſeconde ; enfin dans les grands Animaux on voit les trois. La pointe du cœur étant tournée en devant, comme je l'ai dit plus haut, la plus grande cavité eſt dans la partie droite & ſupérieure du cœur; la plus petite à gauche, & la moyenne entre les deux autres. Ces deux dernieres enſemble ſont beaucoup moins conſidérables que la premiere, & toutes communiquent au poumon, mais la petiteſſe des conduits empêche d'appercevoir cette communication, ſi ce n'eſt à l'égard d'une ſeule des cavités.

La grande veine prend donc naiſſance de la plus conſidérable des trois cavités, celle qui eſt dans la partie ſupérieure & ſur la droite; enſuite, après avoir traverſé la cavité d'où elle naît, elle reprend ſa nature de veine, enſorte que la cavité elle-même paroît n'être qu'une portion de cette veine où le ſang ſe raſſemble. L'aorte naît de la cavité moyenne, mais d'une maniere différente : elle y communique par un canal d'un diametre beaucoup plus étroit ; l'aorte naît du cœur, au lieu que la grande veine le traverſe. Les parois de la grande veine ſont formées de membranes & de peaux ; l'aorte eſt plus étroite, mais elle eſt très-nerveuſe. En s'éloignant pour atteindre ſoit à la tête, ſoit aux extrémités inférieures, elle diminue de capacité : ce ne ſont plus que des filets nerveux.

Une portion de la grande veine s'éleve d'abord du cœur au poumon, & au lieu où ſont les attaches de l'aorte : elle ne forme juſques là qu'un ſeul canal fort ample, mais alors ſon tronc jette deux branches, l'une qui va au poumon, & l'autre qui ſuit l'épine du dos juſqu'à la derniere vertebre du col. La premiere branche deſtinée au poumon ſe partage premierement en deux rameaux, un pour chacun des deux lobes ; ils jettent enſuite d'autres ramifications le long de chaque conduit & de chaque véſicule du

μόριον λαβεῖν, ἐν ᾧ οὐ τρήματα ἔνεστι καὶ φλεβίον· τὰ γὰρ τελευταῖα τῷ μεγέθει ἄδηλα διὰ τὴν σμικρότητά ἐστιν, ἀλλὰ πᾶς ὁ πνεύμων φαίνεται μεστὸς αἵματος ὤν· ἐπάνω δὲ οἱ ἀπὸ τῆς φλεβός εἰσι πόροι τῶν ἀπὸ τῆς ἀρτηρίας συρίγγων τεινουσῶν. Η δὲ ἐπὶ τὸν σφόνδυλον τοῦ τραχήλου τείνουσα φλὲψ καὶ τὴν ῥάχιν, πάλιν παρὰ τὴν ῥάχιν τείνει· ἣν καὶ Ομηρος ἐν τοῖς ἔπεσιν εἴρηκε ποιήσας·

Ιλιάδ. Ν. στίχ. φμς'.

ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Η διὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει·

ἀπὸ δὲ ταύτης τείνουσι παρά τε τὴν πλευρὰν ἑκάστην φλεβία, καὶ πρὸς ἕκαστον τὸν σφόνδυλον. Κατὰ δὲ τὸν ὑπὲρ τῶν νεφρῶν σφόνδυλον σχίζεται διχῆ.

Ταῦτα μὲν οὖν τὰ μόρια τῆς μεγάλης φλεβὸς, τοῦτον ἔσχισται τὸν τρόπον. Υπεράνω δὲ τούτων ἀπὸ τῆς ἐκ τῆς καρδίας τεταμένης, πάλιν ἡ ὅλη σχίζεται εἰς δύο τόπους. Αἱ μὲν γὰρ φέρουσιν εἰς τὰ πλάγια, καὶ τὰς κλεῖδας· κἄπειτα διὰ τῶν μασχαλῶν, τοῖς μὲν ἀνθρώποις εἰς τοὺς βραχίονας· τοῖς δὲ τετράποσιν εἰς τὰ πρόσθια σκέλη τείνουσι· τοῖς δὲ ὄρνισιν εἰς τὰς πτέρυγας· τοῖς δὲ ἰχθύσιν εἰς τὰ πτερύγια τὰ πρανῆ. Αἱ δὲ ἀρχαὶ τούτων τῶν φλεβῶν, ᾗ σχίζονται τὸ πρῶτον, καλοῦνται σφαγίτιδες· ᾗ δὲ σχίζονται εἰς τὸν αὐχένα ἀπὸ τῆς μεγάλης φλεβὸς, παρὰ τὴν ἀρτηρίαν τείνουσι τὴν τοῦ πνεύμονος· ὧν ἐπιλαμβανομένων ἐνίοτε ἔξωθεν, ἄνευ πνιγμοῦ καταπίπτουσιν οἱ ἄνθρωποι, μετ' ἀναισθησίας τὰ βλέφαρα συμβεβληκότες. Οὕτω δὲ τείνουσαι, καὶ μεταξὺ λαμβάνουσαι τὴν ἀρτηρίαν, φέρουσι μέχρι τῶν ὤτων, ᾗ συμβάλλουσιν αἱ γένυες τῇ κεφαλῇ. Πάλιν δ' ἐντεῦθεν εἰς τέτταρας σχίζονται φλέβας, ὧν μία μὲν ἐπανακάμψασα, καταβαίνει διὰ τοῦ τραχήλου καὶ τοῦ ὤμου, καὶ συμβάλλει τῇ πρότερον ἀποσχίσει τῆς φλεβὸς κατὰ τὴν τοῦ βραχίονος καμπήν· τὸ δ' ἕτερον μόριον εἰς τὴν χεῖρα τελευτᾷ, καὶ τοὺς δακτύλους. Μία δ' ἑτέρα, ἀφ' ἑκατέρου τοῦ τόπου τοῦ περὶ τὰ ὦτα, ἐπὶ τὸν

poumon : ces ramifications sont plus ou moins considérables selon que les divisions du poumon auxquelles elles se portent le sont elles-mêmes, mais il n'y a aucune partie du poumon où l'on ne trouve une vésicule & une petite veine ; car, quoique les extrémités de ces veines deviennent imperceptibles à cause de leur finesse, tout le poumon paroît également plein de sang. Les ramifications de la grande veine occupent la partie supérieure relativement aux conduits qui viennent de la trachée. A l'égard de la veine qui monte le long de l'épine du dos à la vertébre du col, elle se rapproche de l'épine : c'est de cette veine qu'Homere dit qu'*Antiloque frappant Thoon lui trancha la veine qui, courant le long du dos, monte jusqu'à la nuque du cou.* Cette veine fournit des rameaux à chaque côte & à chaque vertébre ; auprès de la vertébre qui est au dessous des reins, elle se sépare en deux.

Iliade, Liv. 13. V. 546.

Telle est la distribution de ces rameaux de la grande veine ; mais au dessus de l'origine des branches dont nous avons parlé, le tronc qui est parti du cœur se divise lui-même pour aller vers deux régions différentes. Une partie se porte sur le côté vers les clavicules, & va se rendre dans l'Homme aux bras, dans les quadrupedes aux jambes de devant, dans les oiseaux aux aîles, & dans les poissons aux nageoires qui sont du côté opposé au dos. Les branches principales qui forment le tronc de ces rameaux, & qui sont sorties immédiatement de la grande veine, se nomment les jugulaires : & depuis leur séparation, la partie qui monte de la grande veine au cou suit le canal de la trachée artere. Si ces veines se trouvent comprimées extérieurement, ce qui arrive quelquefois, on voit un homme fermer l'œil & tomber sans sentiment, comme s'il étoit étranglé, quoiqu'il ne le soit pas. Ces veines qui suivent ainsi la trachée artere & qui l'embrassent entre leurs deux canaux se portent jusqu'aux oreilles, au lieu où la machoire s'articule à la tête : elles s'y divisent une seconde fois en quatre branches, dont l'une se replie, descend le long du col & de l'épaule, & vient se réunir vers le pli du bras à cet autre rameau déja sorti de la grande veine, le surplus se termine à la main & aux doigts. Une seconde branche également partie d'auprès de chacune des oreilles va vers le cerveau,

ἐγκέφαλον τείνει, καὶ σχίζεται εἰς πολλὰ καὶ λεπτὰ φλεβία εἰς τὴν καλουμένην μήνιγγα, τὴν περὶ τὸν ἐγκέφαλον. Αὐτὸς δὲ ἐγκέφαλος ἄναιμος πάντων ἐστὶ, καὶ οὔτε μικρὸν, οὔτε μέγα φλεβίον ἐντελευτᾷ εἰς αὐτόν. Τῶν δὲ λοιπῶν τῶν ἀπὸ τῆς φλεβὸς ταύτης σχισθεισῶν φλεβῶν, αἱ μὲν τὴν κεφαλὴν κύκλῳ περιλαμβάνουσιν· αἱ δὲ εἰς τὰ αἰσθητήρια ἀποτελευτῶσι καὶ τοὺς ὀδόντας, λεπτοῖς πάμπαν φλεβίοις.

IV. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῆς ἐλάττονος φλεβὸς, καλουμένης δ' ἀορτῆς, ἔσχισται μέρη, συμπαρακολουθοῦντα τοῖς τῆς μεγάλης· πλὴν ἐλάττους οἱ πόροι, καὶ τὰ φλεβία πολλῷ ἐλάττω ταῦτ' ἐστὶ τῶν τῆς μεγάλης φλεβός.

Τὰ μὲν οὖν ἄνωθεν τῆς καρδίας, τοῦτον ἔχουσι τὸν τρόπον αἱ φλέβες. Τὸ δὲ εἰς τὸ κάτω τῆς καρδίας μέρος τῆς μεγάλης φλεβὸς τείνει μετέωρον διὰ τοῦ ὑποζώματος· συνέχεται δὲ καὶ πρὸς τὴν ἀορτὴν, καὶ πρὸς τὴν ῥάχιν, πόροις ὑμενώδεσι καὶ χαλαροῖς. Τείνει δ' ἀπ' αὐτῆς μὲν μία διὰ τοῦ ἥπατος φλὲψ, βραχεῖα μὲν, πλατεῖα δὲ, ἀφ' ἧς πολλαὶ καὶ λεπταὶ εἰς τὸ ἧπαρ ἀποτείνουσαι ἀφανίζονται. Δύο δ' ἀπὸ τῆς διὰ τοῦ ἥπατος φλεβὸς ἀποσχίσεις εἰσίν· ὧν ἡ μὲν εἰς τὸ ὑπόζωμα τελευτᾷ καὶ τὰς καλουμένας φρένας· ἡ δὲ πάλιν ἐπανελθοῦσα διὰ τῆς μασχάλης εἰς τὸν βραχίονα τὸν δεξιὸν, συμβάλλει ταῖς ἑτέραις φλεψὶ κατὰ τὴν ἐντὸς καμπήν· διὸ ἀποσχαζόντων τῶν ἰατρῶν ταύτην, ἀπολύονται τινῶν πόνων περὶ τὸ ἧπαρ. Ἐκ δὲ τῶν ἀριστερῶν αὐτῆς, μικρὰ μὲν, παχεῖα δὲ φλὲψ τείνει εἰς τὸν σπλῆνα, καὶ ἀφανίζεται τὰ ἀπ' αὐτῆς φλεβία εἰς τοῦτον. Ἕτερον δὲ μέρος ἀπὸ τῶν ἀριστερῶν τῆς μεγάλης φλεβὸς ἀποσχισθὲν τὸν αὐτὸν τρόπον ἀναβαίνει εἰς τὸν ἀριστερὸν βραχίονα· πλὴν ἐκείνη μὲν ἡ διὰ τοῦ ἥπατός ἐστιν· αὕτη δ' ἑτέρα τῆς εἰς τὸν σπλῆνα τεινούσης. Ἔτι δ' ἄλλαι ἀπὸ τῆς μεγάλης φλεβὸς ἀποσχίζονται· ἡ μὲν ἐπὶ τὸ ἐπίπλοον· ἡ δὲ ἐπὶ τὸ καλούμενον πάγκρεας. Ἀπὸ δὲ ταύτης πολλαὶ

&

& se divise en une multitude de petites ramifications qui parcourent la membrane appellée meninge, dont le cerveau est enveloppé. Quant au cerveau lui-même, c'est une observation générale qu'il n'a point de sang : aucune veine ni grosse ni petite ne s'y termine. Des autres branches de la jugulaire, les unes parcourent le tour de la tête, les autres vont par des ramifications extrêmement déliées se terminer aux organes des sensations & aux dents.

Les rameaux de l'autre veine plus petite, appellée l'aorte, se distribuent de IV. la même maniere, & suivent ceux de la grande veine : seulement ils sont d'une moindre capacité, & leurs ramifications sont beaucoup moins nombreuses que celles de la grande veine.

Je viens de décrire les veines qui parcourent la partie du corps qui est au dessus du cœur, il faut passer à celles qui se distribuent dans la région inférieure au cœur. La portion de la grande veine qui est au dessus du cœur descend droite, à travers le diaphragme : elle est attachée à l'aorte & à l'épine du dos par des ligamens membraneux & souples ; elle donne naissance à une veine courte mais ample qui traverse le foye, & de laquelle sortent un grand nombre de rameaux déliés qui se perdent dans le foye. Cette même veine jette deux branches principales, dont l'une se termine au diaphragme, l'autre remonte, passe à l'aisselle & va au bras droit joindre au pli du bras les autres veines qui y sont : c'est pourquoi la saignée faite à cette veine guérit de certaines douleurs du foye. De la partie gauche de la grande veine il sort une autre branche, courte mais assez grosse, qui va à la rate dans la substance de laquelle se perdent ses différentes ramifications. Une seconde branche sortie du côté gauche de la grande veine remonte au bras gauche, comme la précédente remonte au bras droit ; la seule différence est que celle-ci est la même qui a traversé le foye, au lieu que celle qui remonte au bras gauche n'est pas la même qui est entrée dans la substance de la rate. La grande veine fournit encore d'autres branches, qui vont l'une à l'épiploon, l'autre à ce qu'on appelle le pancréas, & de celle-ci

φλέβες διὰ τοῦ μεσεντερίου τείνουσι· πᾶσαι δ᾽ αὗται εἰς μίαν φλέβα μεγάλην τελευτῶσι, παρὰ πᾶν τὸ ἔντερον, καὶ τὴν κοιλίαν, μέχρι τοῦ στομάχου, τεταμένην. Καὶ περὶ ταῦτα τὰ μόρια πολλαὶ ἀπ᾽ αὐτῶν σχίζονται φλέβες.

Μέχρι μὲν οὖν τῶν νεφρῶν μία οὖσα ἑκατέρα τείνει, καὶ ἡ ἀορτὴ, καὶ ἡ μεγάλη φλέψ· ἐνταῦθα δὲ πρός τε τὴν ῥάχιν μᾶλλον προσπεφύκασι. Καὶ σχίζονται εἰς δύο, ὥσπερ εἰς λάμβδα ἑκάτεραι, καὶ γίνεται εἰς τοὔπισθεν μᾶλλον ἡ μεγάλη φλὲψ τῆς ἀορτῆς. Προσπέφυκε δ᾽ ἡ ἀορτὴ μάλιστα τῇ ῥάχει περὶ τὴν καρδίαν· ἡ δὲ πρόσφυσίς ἐστι φλεβίοις νευρώδεσι καὶ μικροῖς. Εστι δ᾽ ἡ ἀορτὴ ἀπὸ μὲν τῆς καρδίας ἀγομένη εὖ μάλα κοίλη· προϊοῦσα δὲ, ἐστὶ στενωτέρα καὶ νευρωδεστέρα. Τείνουσι δὲ ἀπὸ τῆς ἀορτῆς εἰς τὸ μεσεντέριον φλέβες, ὥσπερ αἱ ἀπὸ τῆς μεγάλης φλεβὸς, πλὴν πολλῷ λειπόμεναι τῷ μεγέθει· στεναὶ γάρ εἰσι καὶ ἰνώδεις· λεπτοῖς γὰρ καὶ κοίλοις καὶ ἰνώδεσι τελευτῶσι φλεβίοις· εἰς δὲ τὸ ἧπαρ καὶ τὸν σπλῆνα οὐδεμία τείνει ἀπὸ τῆς ἀορτῆς φλέψ. Αἱ δὲ σχίσεις ἑκατέρας τῆς φλεβὸς τείνουσιν εἰς τὸ ἰσχίον ἑκάτερον, καὶ καθάπτουσιν εἰς τὸ ὀστοῦν ἀμφότεραι. Φέρουσι δὲ καὶ εἰς τοὺς νεφροὺς, ἀπό τε τῆς μεγάλης φλεβὸς, καὶ τῆς ἀορτῆς, φλέβες· πλὴν οὐκ εἰς τὸ κοῖλον, ἀλλ᾽ εἰς τὸ σῶμα καταναλίσκονται τῶν νεφρῶν. Απὸ μὲν οὖν τῆς ἀορτῆς ἄλλοι δύο πόροι φέρουσιν εἰς τὴν κύστιν, ἰσχυροὶ καὶ συνεχεῖς, καὶ ἄλλοι ἐκ τοῦ κοίλου τῶν νεφρῶν, οὐδὲν κοινοῦντες τῇ μεγάλῃ φλεβί. Εκ μέσου δὲ τῶν νεφρῶν ἑκατέρου, φλὲψ κοίλη καὶ νευρώδης ἐξήρτηται, τείνουσα παρ᾽ αὐτὴν τὴν ῥάχιν διὰ τῶν φλεβῶν· εἶτα εἰς ἑκάτερον τὸ ἰσχίον ἀφανίζεται ἑκατέρα πρῶτον· ἔπειτα δῆλαι γίγνονται πάλιν, διατεταμέναι πρὸς τὸ ἰσχίον. Καθάπτουσι δὲ πρὸς τὴν κύστιν καὶ τὸ αἰδοῖον τὰ πέρατα αὐτῶν ἐν τοῖς ἄρρεσιν, ἐν δὲ τοῖς θήλεσι, πρὸς τὰς ὑστέρας. Τείνει δ᾽ ἀπὸ μὲν τῆς μεγάλης φλεβὸς οὐδεμία εἰς τὰς ὑστέρας· ἀπὸ δὲ τῆς ἀορτῆς, πολλαὶ καὶ πυκναί.

il ſort beaucoup de rameaux qui après avoir traverſé le meſentere aboutiſſent à une veine plus conſidérable, laquelle rampe le long de tous les inteſtins, ſur l'eſtomac, & s'étend juſqu'à l'œſophage. Ces veines principales jettent un grand nombre de ramifications ſur toutes ces parties.

L'aorte & la grande veine ne forment chacune qu'un tronc unique juſqu'aux reins; en cet endroit elles ſont fortement attachées à l'épine du dos, & elles ſe diviſent l'une & l'autre en deux. Leur bifurcation répréſente un *lambda ;* la grande veine ſe trouve un peu en arriere de l'aorte. La principale attache de l'aorte à l'épine du dos eſt aux environs du cœur : elle y eſt retenue par de petits vaiſſeaux nerveux. Quand l'aorte part du cœur, ſa capacité eſt très vaſte, mais en s'éloignant elle devient plus étroite & plus nerveuſe. L'aorte diſtribue, comme la grande veine, des rameaux au meſentere, mais ils ſont d'une capacité beaucoup moindre ; ils ſont étroits, de la nature des fibres, & ſe terminent par de petits vaiſſeaux déliés & fibreux. L'aorte n'envoye aucun rameau au foye ni à la rate. Les branches de la bifurcation de la grande veine & de l'aorte vont de chaque côté à la hanche, & elles touchent à l'os. Il y a d'autres veines qui de l'aorte & de la grande veine vont aux reins ; elles ſe perdent dans la ſubſtance du rein, & ne pénétrent pas juſqu'à ſa cavité intérieure. L'aorte donne encore deux vaiſſeaux fermes & forts qui vont à la veſſie. La veſſie reçoit auſſi deux autres vaiſſeaux qui viennent de la cavité des reins, mais qui n'ont aucune communication avec la grande veine. Du milieu de chacun des reins, il part une veine dont le canal a de la largeur, & dont les parois ſont nerveuſes. Ces veines vont le long de l'épine, entre la grande veine & l'aorte ; elles ſe portent à la hanche, & après qu'elles y ont diſparu on les voit ſe montrer de nouveau & ramper ſur la hanche ; de là elles vont à la veſſie, & leur extrémité ſe porte à la verge dans les mâles, & à la matrice dans les femelles. La matrice ne reçoit aucun rameau de la grande veine, mais l'aorte lui fournit pluſieurs gros vaiſſeaux. L'aorte & la

τείνουσι δ' ἀπὸ τῆς ἀορτῆς καὶ τῆς μεγάλης φλεϐὸς, ἀπὸ τῶν σχιζομένων, καὶ ἄλλαι· αἱ μὲν ἐπὶ τοὺς βουϐῶνας πρῶτον, μεγάλαι καὶ κοῖλαι, ἔπειτα διὰ τῶν σκελῶν τελευτῶσιν εἰς τοὺς πόδας καὶ εἰς τοὺς δακτύλους· καὶ πάλιν ἕτεραι διὰ τῶν βουϐώνων καὶ τῶν μηρῶν φέρουσιν ἐναλλάξ· ἡ μὲν ἐκ τῶν ἀριστερῶν, εἰς τὰ δεξιά· ἡ δὲ εἰς τὰ ἀριστερὰ, ἐκ τῶν δεξιῶν· καὶ συνάπτουσι περὶ τὰς ἰγνύας ταῖς ἑτέραις φλεψίν.

Ον μὲν οὖν τρόπον ἔχουσιν αἱ φλέϐες, καὶ πόθεν ἤρτηνται τὰς ἀρχὰς, φανερὸν ἐκ τούτων. Εχει δ' ἐν ἅπασι μὲν οὕτω τοῖς ἐναίμοις ζώοις τὰ περὶ τὰς ἀρχὰς καὶ τὰς μεγίστας φλέϐας· τὸ γὰρ ἄλλο πλῆθος τῶν φλεϐῶν οὐχ ὡσαύτως ἔχει πᾶσιν. Οὐδὲ γὰρ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχουσιν, οὐδὲ τὰ αὐτὰ πάντα ἔχουσιν, οὐ μὴν οὐδ' ὁμοίως ἐν ἅπασίν ἐστι φανερόν· ἀλλὰ μάλιστα ἐν τοῖς πολυαίμοις καὶ μεγίστοις. Εν γὰρ τοῖς μικροῖς καὶ μὴ πολυαίμοις, ἢ διὰ φύσιν, ἢ διὰ πιότητα τοῦ σώματος, οὐχ ὁμοίως ἐστὶ καταμαθεῖν. Τῶν μὲν γὰρ οἱ πόροι συγκεχυμένοι, καθάπερ ὀχετοί τινες ὑπὸ πολλῆς ἰλύος εἰσίν· οἱ δὲ ὀλίγας, καὶ ταύτας ἶνας ἀντὶ φλεϐῶν ἔχουσιν· ἡ δὲ μεγάλη φλὲψ, ἐν πᾶσι μάλιστα διάδηλος, καὶ τοῖς μικροῖς.

5. Τὰ δ' νεῦρα τοῖς ζώοις ἔχει τόνδε τὸν τρόπον. Η μὲν ἀρχὴ καὶ τούτων ἐστὶν ἐκ τῆς καρδίας· καὶ γὰρ ἐν αὐτῇ ἡ καρδία νεῦρα ἔχει, ἐν τῇ μεγίστῃ κοιλίᾳ· καὶ ἡ καλουμένη ἀορτὴ νευρώδης ἐστὶ φλὲψ, τὰ μὲν τελευταῖα, καὶ παντελῶς αὐτῆς· ἄκοιλα γάρ ἐστι, καὶ τάσιν ἔχει τοιαύτην οἵανπερ τὰ νεῦρα, ᾗ τελευτᾷ πρὸς τὰς καμπὰς τῶν ὀστῶν. Οὐ μὴν ἀλλ' οὐκ ἔστι συνεχὴς ἡ τῶν νεύρων φύσις ἀπὸ μιᾶς ἀρχῆς, ὥσπερ αἱ φλέϐες· αἱ μὲν γὰρ φλέϐες, ὥσπερ ἐν τοῖς γραφομένοις κανάϐοις, τὸ τοῦ σώματος ἔχουσι σχῆμα παντὸς οὕτως, ὥστ' ἐν τοῖς σφόδρα λελεπτυσμένοις πάντα τὸν ὄγκον φαίνεσθαι πλήρη φλεϐίων. Γίνεται γὰρ ὁ αὐτὸς τόπος λεπτῶν μὲν ὄντων, φλεϐία· παχυνθέντων δὲ, σάρκες. Τὰ δ' νεῦρα

grande veine jettent après leur bifurcation de nouvelles branches. Les unes vont d'abord aux aînes, leur canal eſt grand & large : elles deſcendent le long des extrémités inférieures pour ſe terminer aux pieds & aux doigts des pieds ; les autres paſſent également par les aînes & les cuiſſes, ſe croiſent allant de gauche à droite, & de droite à gauche, & viennent rejoindre les premieres aux environs du jarret.

On voit par ce détail comment ſont diſtribuées les veines, & d'où elles tirent leur origine. C'eſt la même choſe dans tous les Animaux qui ont du ſang, au moins quant à l'origine & à la diſtribution des veines principales ; car pour les autres veines il y a des différences, ſoit parce que tous les Animaux n'ont pas les mêmes parties, ſoit parce qu'ils ne les ont pas diſpoſées de la même maniere, ſoit enfin parce que les mêmes objets ne ſont pas également ſenſibles dans tous. Les veines ſe diſtinguent aiſément dans les grands Animaux qui ont beaucoup de ſang, mais on ne les ſuit pas avec la même facilité dans les petits, & dans ceux qui, ſoit naturellement, ſoit à raiſon de leur graiſſe, ont peu de ſang : les vaiſſeaux abſorbés alors dans la graiſſe peuvent être comparés à des ruiſſeaux qui ſe perdent dans un terrein fangeux. Il y a d'autres Animaux dont les veines ſont en petit nombre, & reſſemblent plutôt à des fibres qu'à des veines ; néanmoins la grande veine eſt toujours aſſez ſenſible, même dans les petits Animaux.

Parlons actuellement des nerfs : ils partent également du cœur, ce viſcere ayant des nerfs dans ſa propre ſubſtance, à la plus grande de ſes cavités, & ce qu'on appelle l'aorte étant une veine nerveuſe dont les extrémités ne ſont autre choſe que des nerfs : aux endroits où ſe terminent ces extrémités, vers les jointures des os, elles ne ſont point creuſes, & elles ſont ſuſceptibles de la même tenſion que les nerfs. Mais une différence entre les nerfs & les veines, c'eſt que les nerfs ne ſe continuent point ſans interruption d'un principe unique à toutes les parties du corps, comme les veines. La diſpoſition des veines reſſemble à celle de ces lignes que les peintres tracent avant de former une figure, elles ſuivent tellement tous les contours du corps que dans les ſujets fort maigres on croiroit ne voir que des veines, parce que dans ces ſujets elles occupent la place que tient la chair dans les §. V.

διεσπασμένα περὶ τὰ ἄρθρα καὶ τὰς τῶν ὀστῶν ἐστι κάμψεις· εἰ δ' ἦν συνεχὴς ἡ φύσις αὐτῶν, ἐν τοῖς λελεπτυσμένοις ἂν καταφανὴς ἐγίνετο ἡ συνέχεια πάντων.

Μέγιστα δὲ μέρη τῶν νεύρων, τό τε περὶ τὸ μόριον τὸ τῆς ἅλσεως κύριον· καλεῖται δὲ τοῦτο ἰγνύα· καὶ ἕτερον νεῦρον διπτυχὲς, ὁ τένων· καὶ τὰ πρὸς τὴν ἰσχὺν βοηθητικὰ, ἐπίτονός τε καὶ ὠμοιαία· τὰ δ' ἀνώνυμα περὶ τὴν τῶν ὀστῶν ἐστι κάμψιν· πάντα γὰρ τὰ ὀστᾶ, ὅσα ἁπτόμενα πρὸς ἄλληλα σύγκειται, συνδέδενται νεύροις, καὶ περὶ πάντα ἐστὶ τὰ ὀστᾶ πλῆθος νεύρων, ἐν δὲ τῇ κεφαλῇ οὐκ ἔστιν οὐδὲν, ἀλλ' αἱ ῥαφαὶ αὐτῶν τῶν ὀστῶν συνέχουσιν αὐτήν. Εστι δ' ἡ τοῦ νεύρου φύσις σχιστὴ κατὰ τὸ μῆκος· κατὰ δὲ τὸ πλάτος, ἄσχιστος καὶ τάσιν ἔχουσα πολλήν. Υγρότης δὲ περὶ αὐτὰ μυξώδης γίνεται, καὶ λευκὴ, καὶ κολλώδης, ᾗ τρέφεται καὶ ἐξ ἧς γιγνόμενα φαίνεται. Η μὲν οὖν φλὲψ δύναται πυροῦσθαι· νεῦρον δὲ πᾶν φθείρεται πυρωθέν· κἂν διακοπῇ οὐ συμφύεται πάλιν· οὐ λαμβάνει δὲ οὐδὲ νάρκη ὅπου μὴ νεῦρόν ἐστι τοῦ σώματος. Πλεῖστα δέ ἐστι νεῦρα περὶ τοὺς πόδας, καὶ τὰς χεῖρας, καὶ πλευρὰς, καὶ ὠμοπλάτας, καὶ περὶ τὸν αὐχένα, καὶ περὶ τοὺς βραχίονας. Εχει δὲ νεῦρα πάντα ὅσα ἔχει αἷμα· ἀλλ' ἐν οἷς μή εἰσι καμπαὶ, ἀλλ' ἄποδα καὶ ἄχειρά ἐστι, καὶ λεπτὰ καὶ ἄδηλα· διὸ τῶν ἰχθύων μάλιστά ἐστι δῆλα πρὸς τοῖς πτερυγίοις.

6. VI. Αἱ δ' ἶνές εἰσι μεταξὺ νεύρου καὶ φλεβός. Ενιαι δ' αὐτῶν ἔχουσιν ὑγρότητα, τὴν τοῦ ἰχῶρος, καὶ διέχουσιν ἀπό τε τῶν νεύρων πρὸς τὰς φλέβας, καὶ ἀπ' ἐκείνων πρὸς τὰ νεῦρα. Εστι δὲ καὶ ἄλλο γένος ἰνῶν, ὃ γίνεται μὲν ἐν αἵματι, οὐκ ἐν ἅπαντος δὲ ζώου αἵματι· ὧν ἐξαιρουμένων ἐκ τοῦ αἵματος, οὐ πήγνυται τὸ αἷμα· ἐὰν δὲ μὴ ἐξαιρεθῶσι, πήγνυται. Εν μὲν οὖν τῷ τῶν πλείστων ζώων αἵματι ἔνεισιν· ἐν δὲ τῷ τῆς ἐλάφου, καὶ προκὸς, καὶ βουβαλίδος, καὶ ἄλλων τινῶν, οὐκ εἰσὶν ἶνες· διὸ καὶ οὐ πήγνυται αὐτῶν τὸ αἷμα ὁμοίως τοῖς ἄλλοις· ἀλλὰ τὸ μὲν τῶν ἐλάφων

ſujets gras : les nerfs au contraire, ſont diſperſés de côté & d'autre aux articulations & aux jointures des os : s'ils partoient d'un même tronc, leur continuité ſeroit apparente dans les Animaux maigres.

Les principaux nerfs ſont celui du jarret, d'où dépend l'action du ſault; enſuite un autre nerf double qu'on appelle le tendon, puis l'extenſeur, & le nerf de l'épaule qui contribuent à la force du corps. On ne donne point de nom particulier aux autres nerfs qui ſont aux articulations, car il n'eſt point d'os articulés les uns avec les autres qui ne ſoient liés par des nerfs : en général les nerfs ſe trouvent en grande quantité autour de tous les os, excepté les os de la tête qui n'en ont point; ils ſont unis par leurs ſutures. Le nerf peut ſe déchirer en long, mais non en large, & il eſt ſuſceptible d'une tenſion conſidérable. Les nerfs ſont environnés d'une liqueur muqueuſe, blanche & gluante qui les nourrit, & qui ſemble même ſervir à leur formation. La veine peut ſouffrir l'opération du feu, au lieu que ſi on l'applique au nerf on le deſſéche en entier, & ſi on coupe un nerf il ne reprend point; les parties du corps où il ne ſe trouve point de nerfs ne ſont point ſujettes à l'engourdiſſement. Les endroits où il y a le plus de nerfs ſont les pieds, les mains, les côtes, les omoplates, le cou & les bras. Tous les Animaux qui ont du ſang ont des nerfs, mais ils ſont minces & difficiles à appercevoir dans ceux qui n'ont ni articulations, ni pieds, ni mains : auſſi de tous les nerfs des poiſſons, ce ſont ceux qui vont aux nageoires qu'on peut le plus aiſément reconnoître.

Les fibres tiennent le milieu entre les nerfs & les veines : quelques-unes 6.
contiennent une liqueur qui n'eſt autre que la lymphe. Elles communiquent VI,
des nerfs aux veines, & réciproquement. Il y a des fibres d'un autre genre, celles qui ſe forment dans le ſang ; mais elles ne ſe forment pas dans le ſang de tout animal généralement. Le ſang ſe coagule lorſqu'il renferme de ces parties : il ceſſe de pouvoir ſe coaguler ſi on les en ſépare. La plûpart des Animaux ont de ces ſortes de fibres dans le ſang : le cerf, le daim, le bubale, quelques-uns encore n'en ont point, & leur ſang ne ſe coagule pas comme celui des autres. Le ſang du cerf ſe coagule à-peu-près comme

παραπλησίως τῇ τῶν δασυπόδων· ἔςι δ' ἀμφοτέρων αὐτῶν ἡ πῆξις ἐ ςιφρὰ, καθάπερ ἡ τῶν ἄλλων, ἀλλὰ πλαδῶσα, καθάπερ ἡ τῦ γάλακτος ἄν τις εἰς αὐτὸ πῆγμα μὴ ἐμβάλη. Τὸ δὲ τῆς βυβαλίδος πήγνυται μᾶλλον· παραπλησίως γὰρ .αι, ἢ μικρῷ ἧττον, τῦ τῶν προβάτων.

7. VII Περὶ μὲν οὖν φλεβὸς, καὶ νεύρου, καὶ ἰνὸς, τῦτον ἔχει τὸν τρόπον. Τὰ δ' ὀςᾶ τοῖς ζώοις ἀφ' ἑνὸς πάντα συνήρτηται, καὶ συνεχῆ ἐςιν ἀλλήλοις, ὥσπερ φλέβες· αὐτὸ δὲ καθ' αὑτὸ ἐδὲν ἐςιν ὀςῦν. Ἀρχὴ δὲ ἡ ῥάχις ἐςὶν ἐν πᾶσι τοῖς ἔχυσιν ὀςᾶ. Σύγκειται δ' ἡ ῥάχις ἐκ σφονδύλων, τείνει δ' ἀπὸ τῆς κεφαλῆς μέχρι πρὸς τὰ ἰςχία. Οἱ μὲν ἦν σφόνδυλοι πάντες τετρημένοι εἰσίν. Ἄνω δὲ, τὸ τῆς κεφαλῆς ὀςοῦν συνεχές ἐςι τοῖς ἐσχάτοις σφονδύλοις, ὃ καλεῖται κρανίον· τύτυ δὲ τὸ πριονωτὸν μέρος, ῥαφή. Ἔςι δὲ ἐ πᾶσιν ὁμοίως ἔχον τῦτο τοῖς ζώοις· τὰ μὲν γὰρ ἔχει μονόςεον τὸ κρανίον, ὥσπερ ὁ κύων· τὰ δὲ συγκείμενον, ὥσπερ ἄνθρωπος. Καὶ τύτυ τὸ μὲν θῆλυ κύκλῳ ἔχει τὴν ῥαφὴν, τὸ δ' ἄῤῥεν τρεῖς ῥαφὰς, ἄνωθεν συναπτύσας, τριγωνοειδεῖς· ἤδη δὲ ὤφθη καὶ ἀνδρὸς κεφαλὴ ἐκ ἔχυσα ῥαφάς. Σύγκειται δὲ ἡ κεφαλὴ ἐκ ἐκ τεσσάρων ὀςῶν, ἀλλ' ἐξ ἕξ· ἔςι δὲ δύο τύτων περὶ τὰ ὦτα, μικρὰ πρὸς τὰ λοιπά. Ἀπὸ δὲ τῆς κεφαλῆς αἱ σιαγόνες τείνυσιν ὀςᾶ· κινεῖται δὲ τοῖς μὲν ἄλλοις ζώοις ἅπασιν ἡ κάτωθεν σιαγών· ὁ δὲ κροκόδειλος ὁ ποτάμιος, μόνος τῶν ζώων κινεῖ τὴν σιαγόνα τὴν ἄνωθεν. Ἐν δὲ ταῖς σιαγόσιν ἔνεςι τὸ τῶν ὀδόντων γένος, ὀςῦν, τῇ μὲν ἄτρητον, τῇ δὲ τρητὸν, καὶ ἀδύνατον γλύφεσθαι τῶν ὀςῶν μόνον.

Ἀπὸ δὲ τῆς ῥάχεως, ἥ τε περόνη ἐςὶ, καὶ αἱ κλεῖδες, καὶ αἱ πλευραί. Ἔςι δὲ καὶ τὸ ςῆθος ἐπὶ πλευραῖς κείμενον· ἀλλ' αὐτῶν αἱ μὲν συνάπτουσιν, αἱ δ' ἄλλαι ἀσύναπτοι. Οὐδὲν γὰρ ἔχει ζῶον ὀςῦν περὶ τὴν κοιλίαν. Ἔτι δὲ τά τε ἐν τοῖς ὤμοις ὀςᾶ, καὶ αἱ καλύμεναι ὠμοπλάται, καὶ τὰ τῶν βραχιόνων ἐχόμενα,

celui du dasypode, c'est-à-dire, que le caillé qu'il donne n'est pas sec ainsi que celui des autres Animaux, mais humide & mou, tel que le caillé du lait dans lequel on n'a point jetté de présure. Le sang du bubale se coagule dav[illegible] à-peu-près comme celui de la brebis.

Après avoir traité des veines, des nerfs & des fibres, il faut passer aux os. 7. VII.
Ils partent tous d'un seul, & sont continus les uns aux autres, comme les veines : il n'y en a point qui soit isolé. L'épine du dos est leur principe commun, dans tous les Animaux qui ont des os. Elle s'étend de la tête aux hanches, & est composée de vertebres qui toutes sont percées. L'os de la tête qu'on nomme le crâne touche aux dernieres vertebres supérieures ; la partie de cet os qui est dentelée forme la suture. Le crâne n'est pas le même dans tous les Animaux : les uns, comme le chien, l'ont d'une seule piece, les autres l'ont de plusieurs, comme l'homme. Dans la femme, on ne voit qu'une suture circulaire, dans l'homme elles sont au nombre de trois, qui se réunissent au sommet, & forment un triangle. On a cependant vu une tête d'homme, qui n'avoit aucune suture. La tête est composée de six os, & non de quatre seulement, mais il y en a deux auprès des oreilles qui sont petits en comparaison des autres. Les os de la machoire s'articulent à ceux de la tête proprement dits : c'est généralement la machoire inférieure qui est mobile, le crocodile de riviere seul remue la machoire supérieure. Les machoires portent les dents, espece d'os particuliere, dont une portion est massive, l'autre percée : c'est le seul os sur lequel le ciseau ne mord point.

L'os qui supporte la tête vient de l'épine du dos, ainsi que les clavicules & les côtes. Le sternum est couché sur les côtes, dont quelques-unes se joignent à cet os, les autres ne s'y joignent pas, car aucun animal n'a d'os sur l'estomac. De l'épine partent encore les os des épaules, savoir les omoplates, puis les os du bras qui y sont attachés & les os des mains

καὶ τούτων τὰ ἐν ταῖς χερσίν. Οσα δ' ἔχει σκέλη πρόσθια, καὶ ἐν τούτοις τὸν αὐτὸν ἔχει τρόπον. Κάτω δ' ᾗ περαίνει μετὰ τὸ ἰσχίον, ἡ κοτυληδὼν ἐστι, καὶ τὰ τῶν σκελῶν ἤδη ὀστᾶ, τάτε ἐν τοῖς μηροῖς καὶ κνήμαις, οἳ καλοῦνται κωλῆνες, ὧν τὰ σφυρὰ μέρος· καὶ τούτων τὰ καλούμενα πλῆκτρα ἐν τοῖς ἔχουσι σφυρόν· καὶ τούτοις συνεχῆ τὰ ἐν τοῖς ποσίν.

Οσα μὲν οὖν τῶν ἐναίμων καὶ πεζῶν ζωοτόκα ἐστὶν, οὐ πολὺ διαφέρει τὰ ὀστᾶ, ἀλλὰ κατ' ἀναλογίαν μᾶλλον, σκληρότητι, καὶ μαλακότητι, καὶ μεγέθει. Ετι δὲ, τὰ μὲν ἔχει μυελὸν, τὰ δ' οὐκ ἔχει τῶν ἐν τῷ αὐτῷ ζώῳ ὀστῶν. Ενια δὲ ζῶα οὐδὲ ἔχειν ἂν δόξειεν ὅλως μυελὸν ἐν τοῖς ὀστοῖς, οἷον λέων, διὰ τὸ πάμπαν ἔχειν μικρὸν καὶ λεπτὸν, καὶ ἐν ὀλίγοις· ἔχει γὰρ ἐν τοῖς μηροῖς καὶ βραχίοσι. Στερεὰ δὲ μάλιστα ὁ λέων πάντων ἔχει τὰ ὀστέα· οὕτω γάρ ἐστι σκληρὰ, ὥστε συντριβομένων ὥσπερ ἐκ λίθων ἐκλάμπειν πῦρ.

Εχει δὲ καὶ ὁ δελφὶς ὀστᾶ, ἀλλ' οὐκ ἄκανθαν. Τὰ δὲ τῶν ἄλλων ζώων τῶν ἐναίμων, τὰ μὲν μικρὸν παραλλάττει, οἷον τὰ τῶν ὀρνίθων· τὰ δὲ τῷ ἀνάλογόν ἐστι ταὐτὰ, οἷον ἐν τοῖς ἰχθύσι. Τούτων γὰρ τὰ μὲν ζωοτοκοῦντα, χονδράκανθά ἐστιν, οἷον τὰ καλούμενα σελάχη· τὰ δ' ᾠοτοκοῦντα ἄκανθαν ἔχει, ἣ ἐστιν ὥσπερ τοῖς τετράποσιν ἡ ῥάχις. Ιδιον δὲ ἐν τοῖς ἰχθύσιν, ὅτι ἐν ἐνίοις εἰσὶ κατὰ τὴν σάρκα κεχωρισμένα ἀκάνθια λεπτά. Ομοίως δὲ καὶ ὄφις ἔχει τοῖς ἰχθύσιν· ἀκανθώδης γὰρ ἡ ῥάχις αὐτοῦ ἐστι. Τὰ δὲ τῶν τετραπόδων μὲν, ᾠοτοκούντων δὲ, τῶν μὲν μειζόνων ὀστωδέστερά ἐστι, τῶν δὲ ἐλαττόνων ἀκανθωδέστερα· πάντα δὲ τὰ ζῶα, ὅσα ἔναιμά ἐστιν, ἔχει ῥάχιν ἢ ὀστώδη, ἢ ἀκανθώδη· τὰ δ' ἄλλα μόρια τῶν ὀστῶν, ἐνίοις μέν ἐστιν, ἐνίοις δ' οὐκ ἔστιν· ἀλλ' ὡς ὑπάρχει τοῦ ἔχειν τὰ μόρια, οὕτω καὶ τοῦ ἔχειν τὰ ἐν τούτοις ὀστᾶ. Οσα γὰρ μὴ ἔχει σκέλη καὶ βραχίονας, οὐδὲ κωλῆνας ἔχει, οὐδ' ὅσα ταῦτα μὲν ἔχει μόρια, μὴ ὅμοια δέ· καὶ γὰρ ἐν τούτοις, ἢ τῷ μᾶλλον καὶ ἧττον διαφέρει, ἢ τῷ ἀνάλογον.

qui tiennent à ceux-ci. La même diſpoſition ſe trouve dans tous les Animaux qui ont des pieds de devant. Vers la partie inférieure de l'épine, après les hanches, eſt la cavité cotyloïde, puis les os des extrémités inférieures; c'eſt-à-dire, ceux de la cuiſſe & de la jambe qu'on nomme *colenes*. Les malléoles en font partie, ainſi que ce qu'on appelle l'éperon dans les Animaux qui ont des malléoles. Les os du pied tiennent à ces derniers.

Il y a peu de différence pour les os entre les Animaux vivipares qui ont du ſang & qui ne ſe meuvent qu'en marchant : leur principale différence vient de ce que les uns ſont plus ſecs, plus tendres, plus grands, que les os correſpondans des autres. Dans le même animal, certains os ont de la moëlle, & d'autres n'en ont pas; mais il eſt des Animaux qui paroiſſent n'avoir point du tout de moëlle : le lion par exemple, parce qu'il n'en a effectivement, ſi l'on peut parler ainſi, qu'un petit filet fort délié, & ſeulement dans un petit nombre d'os, mais il a réellement de la moëlle dans les os des cuiſſes & des jambes de devant. Les os du lion ſont d'ailleurs de tous les os les plus compacts, & ils ſont ſi ſecs qu'en les briſant il en ſort du feu comme il en ſortiroit d'un caillou.

Le dauphin, quoique animal aquatique, a auſſi des os & non des arrêtes. Dans le ſurplus des Animaux qui ont du ſang, les uns, comme les oiſeaux, ont des os, qui différent peu de ceux dont la nature a été expliquée: les autres ont quelque choſe qui tient lieu d'os, tels ſont les poiſſons. Les poiſſons vivipares, tels que ceux que nous appellons ſélaques, ont des cartilages au lieu d'arrêtes; les poiſſons ovipares ont une arrête qui répond à l'épine des quadrupedes : mais une choſe particuliere aux poiſſons, c'eſt que quelques-uns ont, entre les chairs, de petites arrêtes minces & iſolées. Le ſerpent reſſemble aux poiſſons : ſon épine eſt de la nature des arrêtes. Quant aux quadrupedes ovipares, dans les plus grands l'épine du dos tient davantage de la nature de l'os : celle des petits approche plus de la nature des arrêtes; mais en général tout animal qui a du ſang a une épine, ſoit de nature oſſeuſe, ſoit de la nature des arrêtes. A l'égard des autres os, les Animaux les ont ou ne les ont pas, ſelon qu'ils ont ou n'ont pas les parties auxquelles ces os appartiennent. Ainſi ceux qui n'ont ni cuiſſes ni bras n'ont point les os que nous avons nommés *colenes* : pareillement dans ceux qui ont ces parties, mais conformées d'une autre maniere, ces os différent du plus au moins, quelquefois même on ne peut établir entre eux qu'une ſorte d'analogie.

8.
VIII. Τὰ μὲν οὖν περὶ τῶν ὀστῶν, τοῦτον ἔχει τὸν τρόπον τοῖς ζώοις. Ἔστι δὲ καὶ ὁ χόνδρος τῆς αὐτῆς φύσεως τοῖς ὀστοῖς, ἀλλὰ τῷ μᾶλλον διαφέρει καὶ ἧττον, καὶ ὥσπερ οὐδ' ὀστοῦν, οὐδ' ὁ χόνδρος αὐξάνεται ἂν ἀποκοπῇ. Εἰσὶ δὲ ἐν μὲν τοῖς χερσαίοις καὶ ζωοτόκοις τῶν ἐναίμων ἄτρητοι οἱ χόνδροι, καὶ οὐ γίνεται ἐν αὐτοῖς, ὥσπερ ἐν τοῖς ὀστοῖς, μυελός· ἐν δὲ τοῖς σελάχεσι, ταῦτα γάρ ἐστι χονδράκανθα, ἔνεστιν αὐτῶν ἐν τοῖς πλατέσι, τὸ κατὰ τὴν ῥάχιν ἀνάλογον τοῖς ὀστοῖς χονδρῶδες, ἐν οἷς ὑπάρχει ὑγρότης μυελώδης. Τῶν δὲ ζωοτοκούντων καὶ πεζῶν, περί τε τὰ ὦτα χόνδροι εἰσὶ, καὶ τοὺς μυκτῆρας, καὶ περὶ ἔνια ἀκρωτήρια τῶν ὀστῶν.

9.
IX. Ἔτι δ' ἐστὶν ἄλλα γένη μορίων οὔτε τὴν αὐτὴν ἔχοντα φύσιν τούτοις, οὔτε πόῤῥω τούτων· οἷον ὄνυχές τε, καὶ ὁπλαὶ, καὶ χηλαὶ, καὶ κέρατα, καὶ παρὰ ταῦτα ἔτι ῥύγχος, οἷον ἔχουσιν οἱ ὄρνιθες, ἐν οἷς ὑπάρχει ταῦτα τὰ μόρια τῶν ζώων. Ταῦτα μὲν γὰρ, καὶ καμπτὰ καὶ σχιστά· ὀστοῦν δ' οὐδὲν καμπτὸν, οὐδὲ σχιστὸν, ἀλλὰ θραυστόν. Καὶ τὰ χρώματα τῶν κεράτων, καὶ τῶν ὀνύχων, καὶ χηλῆς, καὶ ὁπλῆς, κατὰ τὴν τοῦ δέρματος καὶ τῶν τριχῶν ἀκολουθεῖ χρόαν. Τῶν μὲν γὰρ μελανοδερμάτων, μέλανα τὰ κέρατα, καὶ αἱ χηλαὶ καὶ αἱ ὁπλαὶ, ὅσα χηλὰς ἔχει· καὶ τῶν λευκῶν, λευκά· μεταξὺ δὲ, τὰ τῶν ἀνὰ μέσον. Ἔχει δὲ καὶ περὶ τοὺς ὄνυχας τὸν αὐτὸν τρόπον. Οἱ δὲ ὀδόντες κατὰ τὴν τῶν ὀστῶν εἰσι φύσιν· διόπερ τῶν μελάνων ἀνθρώπων, ὥσπερ Αἰθιόπων καὶ τῶν τοιούτων οἱ μὲν ὀδόντες λευκοὶ, καὶ τὰ ὀστᾶ· οἱ δὲ ὄνυχες μέλανες, ὥσπερ καὶ τὸ πᾶν δέρμα.

Τῶν δὲ κεράτων τὰ μὲν πλεῖστα κοῖλά ἐστι, τὸ ἀπὸ τῆς προσφύσεως περὶ τὸ ἐντὸς ἐκπεφυκὸς ἐκ τῆς κεφαλῆς ὀστοῦν· ἐπ' ἄκρου δ' ἔχει τὸ στερεὸν, καὶ ἔστιν ἁπλᾶ· τὰ δὲ τῶν ἐλάφων, μόνα διόλου στερεὰ καὶ πολυσχιδῆ. Καὶ τῶν μὲν ἄλλων τῶν ἐχόντων κέρας οὐδὲν ἀποβάλλει τὰ κέρατα· ἔλαφος δὲ μόνος καθ' ἕκαστον ἔτος,

Voilà ce que nous avions à dire des os : le cartilage est une substance de même nature que l'os ; la différence est du plus au moins, & le cartilage de même que l'os ne se reproduit point après avoir été coupé. Dans les Animaux terrestres qui ont du sang & qui sont vivipares, les cartilages ne sont point percés, & il ne s'y forme pas de moëlle comme dans les os; mais les poissons plats du nombre des sélaques, genre dont l'arrête est cartilagineuse, ont une partie cartilagineuse qui répond à l'épine des autres Animaux, & où il se trouve une humeur moëlleuse. Les Animaux vivipares qui ne se meuvent qu'avec des pieds ont des cartilages aux oreilles, aux narines, & à certaines extrémités de leurs os. 8. VIII.

Il y a dans différents Animaux d'autres parties qui, sans être de la même nature que ces dernieres, ne s'en éloignent cependant pas beaucoup. Ce sont, entre autres, les ongles, la corne des pieds soit des solipedes, soit de ceux qui ont le pied fourchu, les cornes de la tête, le bec des oiseaux. Ces différentes parties peuvent se courber & se fendre, ce qui est impossible à l'égard des os : ils se cassent. La couleur des différentes especes de cornes que nous avons nommées, & celle des ongles, suivent la couleur de la peau & des poils : si les Animaux ont la peau noire, leurs cornes, soit celles de la tête, soit celles des pieds, selon ce que leur nature comporte, sont noires ; elles sont blanches au contraire lorsque la peau est blanche, & d'une couleur mitoyenne si la peau est telle. Il en est de même des ongles. A l'égard des dents, elles suivent les os : les hommes noirs, tels que les Ethiopiens, & autres peuples semblables, ont les dents blanches & les os de même, tandis que leurs ongles sont noirs comme l'est toute leur peau. 9. IX.

Ordinairement les cornes sont creuses dans l'endroit où entre une excroissance de l'os de la tête qui commence à leur racine, mais leur pointe est solide, & elles n'ont qu'une seule branche. Le cerf seul a son bois plein dans toute la longueur, & partagé en plusieurs branches. Les autres Animaux ne se dépouillent point non plus de leurs cornes comme le cerf ; il est le seul qui perde son bois tous les ans à moins qu'on ne l'ait châtré : je parlerai

ἐὰν μὴ ἐκτμηθῇ· περὶ δὲ τῶν ἐκτετμημένων ἐν τοῖς ὕστερον λεχθήσεται. Τὰ δὲ κέρατα προσπέφυκε μᾶλλον τῷ δέρματι, ἢ τῷ ὀστῷ, διὸ καὶ ἐν Φρυγίᾳ εἰσὶ βόες, καὶ ἄλλοθι, οἳ κινοῦσι τὰ κέρατα ὥσπερ τὰ ὦτα. Τῶν δ' ἐχόντων ὄνυχας· ἔχει δ' ὄνυχας ἅπαντα ὅσαπερ δακτύλους, πλὴν ἐλέφας· οὗτος δὲ καὶ δακτύλους ἀσχίστους, καὶ ἠρέμα διηρθρωμένους, καὶ ὄνυχας ὅλως οὐκ ἔχει· τὰ μέν εἰσιν εὐθυόνυχα, ὥσπερ ἄνθρωπος· τὰ δὲ γαμψώνυχα, ὥσπερ καὶ τῶν πεζῶν λέων, καὶ τῶν πτηνῶν αἰετός.

10. X. Περὶ δὲ τριχῶν, καὶ τῶν ἀνάλογον, καὶ δέρματος, ἔχει τόνδε τὸν τρόπον. Τρίχας μὲν ἔχει τῶν ζώων ὅσα πεζὰ καὶ ζωοτόκα· φολίδας δ' ὅσα πεζὰ καὶ ᾠοτόκα· λεπίδας δ' ἰχθύες μόνοι, ὅσοι ᾠοτοκοῦσι τὸ ψαθυρὸν ᾠόν· τῶν γὰρ μακρῶν, γόγγρος μὲν οὐ τοιοῦτον ἔχει ᾠὸν, οὐδ' ἡ μύραινα· ἔγχελυς δὲ ὅλως οὐκ ἔχει. Τὰ δὲ πάχη τῶν τριχῶν, καὶ αἱ λεπτότητες, καὶ τὰ μεγέθη, διαφέρουσι κατὰ τοὺς τόπους ἐν οἷς ἂν ὦσι τῶν μερῶν, καὶ ὁποῖον ἂν ᾖ τὸ δέρμα. Ὡς γὰρ ἐπιτοπολὺ, ἐν τοῖς παχυτέροις δέρμασι σκληρότεραι αἱ τρίχες καὶ παχύτεραι· καὶ πλείους δὲ καὶ μακρότεραι ἐν τοῖς κοιλοτέροις καὶ ὑγροτέροις, ἄν περ ὁ τόπος ᾖ τοιοῦτος οἷος ἔχειν τρίχας. Ὁμοίως δὲ καὶ περὶ τῶν λεπιδωτῶν ἔχει, καὶ τῶν φολιδωτῶν. Ὅσα μὲν οὖν μαλακὰς ἔχει τὰς τρίχας, εὐβοσίᾳ χρώμενα σκληροτέρας ἴσχει· ὅσα δὲ σκληρὰς, μαλακωτέρας καὶ ἐλάττους. Διαφέρουσι δὲ καὶ κατὰ τοὺς τόπους τοὺς θερμοτέρους καὶ ψυχροτέρους· οἷον αἱ τῶν ἀνθρώπων τρίχες, ἐν μὲν τοῖς θερμοῖς, σκληραί· ἐν δὲ τοῖς ψυχροῖς, μαλακαί. Εἰσὶ δ' αὖ αἱ μὲν εὐθεῖαι, μαλακαί· αἱ δὲ κεκαμμέναι, σκληραί.

XI. Ἡ δὲ φύσις τῆς τριχός ἐστι σχιστή. Τῷ μᾶλλον δὲ καὶ ἧττον διαφέρουσι πρὸς ἀλλήλας· ἔνιαι δὲ τῇ σκληρότητι μεταβαίνουσαι κατὰ μικρὸν, οὐκ ἔτι θριξὶν ἐοίκασιν, ἀλλ' ἀκάνθαις, οἷον αἱ τῶν ἐχίνων τῶν χερσαίων. Παραπλησίως τοῖς ὄνυξι· καὶ γὰρ τὸ τῶν ὀνύχων γένος ἐν ἐνίοις τῶν ζώων οὐδὲν διαφέρει, τὴν σκληρότητα, τῶν ὀστῶν.

ailleurs de l'effet de cette opération. Les cornes ſont plutôt adhérentes au cuir qu'à l'os, auſſi voit-on en Phrygie & ailleurs, des bœufs qui remuent leurs cornes comme leurs oreilles. Les ongles ſont une partie commune à tous les Animaux qui ont des doigts, excepté l'éléphant. Ses doigts ne ſont point ſéparés : ils ne ſont même qu'à peine formés, & il n'y a abſolument point d'ongles. Les Animaux qui ont des ongles, ou les ont droits comme l'homme, ou recourbés, comme le lion entre les Animaux qui marchent, & l'aigle entre ceux qui volent.

Parlons maintenant des poils, de ce qui y répond, & de la peau. Parmi 10.
les Animaux qui ne ſe meuvent qu'en marchant, tous les vivipares ont du X.
poil, & tous les ovipares des écailles. Entre les poiſſons, ceux dont les œufs ſont comme des grains de ſable réunis ſont les ſeuls qui ſoient couverts de lames écailleuſes. En effet les œufs du congre & de la murene, poiſſons longs, ne ſont pas de cette nature. Pour l'anguille, elle n'a point du tout d'œufs. La groſſeur ou la fineſſe des poils, ainſi que leur longueur, différent ſelon les lieux & les parties où ils croiſſent, & ſelon la qualité de la peau. Où la peau eſt plus épaiſſe, là le poil eſt ordinairement plus roide & plus fort ; il eſt d'ailleurs plus long & en plus grande quantité aux parties plus enfoncées & plus humides, pourvu néanmoins qu'elles ſoient de nature à avoir du poil. La même remarque peut ſe faire ſur les écailles ſoit des Animaux terreſtres, ſoit des poiſſons. Lorſque les Animaux prennent une nourriture plus abondante, leur poil devient plus ferme, s'il étoit foible auparavant : au contraire s'il étoit roide il s'amollit & devient moins épais. La température des climats apporte encore de la différence à cet égard. Dans les lieux chauds, les hommes ont le poil dur : dans les lieux froids, ils l'ont mou. Le poil qui eſt droit, eſt mou : celui qui eſt crépu, eſt ferme.

Les poils ſe peuvent fendre ſelon leur longueur ; ils différent les uns des XI.
autres par plus ou moins de rigidité, & ils peuvent aller inſenſiblement à un tel point de roideur, qu'ils ne reſſemblent plus à des poils mais à des épines, comme dans le hériſſon de terre. Les ongles éprouvent à-peu-près la même variété : quelquefois leur dureté ne différe en rien de celle des os.

Δέρμα δὲ πάντων λεπτότατον ἄνθρωπος ἔχει κατὰ λόγον τοῦ μεγέθους. Ενεστι δ' ἐν τοῖς δέρμασι πᾶσι γλισχρότης μυξώδης· ἐν μὲν τοῖς ἐλάττων, ἐν. δὲ τοῖς πλείων· οἷον ἐν τοῖς τῶν βοῶν, ἐξ ἧς ποιοῦσι τὴν κόλλαν· ἐνιαχοῦ δὲ καὶ ἐξ ἰχθύων ποιοῦσι κόλλαν. Αναίσθητον δὲ τὸ δέρμα τεμνόμενόν ἐστι καθ' αὑτό· μάλιστα δὲ τοιοῦτον τὸ ἐν τῇ κεφαλῇ, διὰ τὸ μεταξὺ ἀσαρκότατον εἶναι πρὸς τὸ ὀστοῦν· Οπου δ' ἂν ᾖ καθ' αὑτὸ δέρμα, ἂν διακοπῇ, οὐ συμφύεται· οἷον γνάθου τὸ λεπτὸν, καὶ ἀκροποσθία, καὶ βλεφαρίς. Τῶν συνεχῶν δ' ἐστὶ τὸ δέρμα ἐν ἅπασι τοῖς ζώοις, καὶ ταύτῃ διαλείπει ᾗ τε οἱ κατὰ φύσιν πόροι ἐξικμάζονται, καὶ κατὰ τὸ στόμα καὶ ὄνυχας. Δέρμα μὲν οὖν ἔχει ἅπαντα τὰ ἔναιμα ζῶα· τρίχας δὲ οὐ πάντα, ἀλλ' ὥσπερ εἴρηται πρότερον.

Μεταβάλλουσι δὲ τὰς χροιὰς γηρασκόντων, καὶ λευκότεραι γίνονται ἐν ἀνθρώποις· τοῖς δ' ἄλλοις γίνεται μὲν, οὐκ ἐπιδήλως δὲ σφόδρα, πλὴν ἐν ἵππῳ. Λευκαίνεται δὲ καὶ ἀπ' ἄκρας ἡ θρίξ· αἱ δὲ πλεῖσται εὐθὺς φύονται λευκαὶ τῶν πολιῶν· ᾗ καὶ δῆλον ὅτι οὐκ αὐότης ἐστὶν ἡ πολιότης, ὥσπερ τινές φασιν· οὐδὲν γὰρ φύεται εὐθὺς αὖον. Εν δὲ τῷ ἐξανθήματι, ὃ καλεῖται λεύκη, πᾶσαι πολιαὶ γίγνονται. Ηδη δέ τισι κάμνουσι μὲν πολιαὶ ἐγένοντο, ὑγιασθεῖσι δὲ, ἀποῤῥυεισῶν μέλαιναι ἀνεφύησαν. Γίνονταί τε μᾶλλον πολιαὶ σκεπαζομένων τῶν τριχῶν, ἢ διαπνεομένων. Πρῶτον δὲ πολιοῦνται οἱ κρόταφοι τῶν ἀνθρώπων, καὶ τὰ πρόσθια πρότερα τῶν ὀπισθίων· τελευταῖον δὲ ἡ ἥβη.

Εἰσὶ δὲ τῶν τριχῶν αἱ μὲν συγγενεῖς, αἱ δ' ὕστερον κατὰ τὰς ἡλικίας γινόμεναι ἐν ἀνθρώπῳ μόνῳ τῶν ζώων. Συγγενεῖς μὲν αἱ ἐν τῇ κεφαλῇ, καὶ ἐν ταῖς βλεφαρίσι, καὶ ταῖς ὀφρύσιν· ὑστερογενεῖς δὲ αἱ ἐπὶ τῆς ἥβης πρῶτον, ἔπειτα αἱ ἐπὶ τῆς μασχάλης, τρίται δὲ αἱ ἐπὶ τοῦ γενείου. Ισοι γὰρ οἱ τόποι εἰσὶν ἐν οἷς αἱ τρίχες ἐγγίνονται, αἵ τε συγγενεῖς καὶ αἱ ὑστερογενεῖς.

Λείπουσι δὲ καὶ ῥέουσι κατὰ τὴν ἡλικίαν, αἱ ἐκ τῆς κεφαλῆς

L'homme a la peau plus mince qu'aucun autre animal, relativement à sa grosseur. Il y a toujours une humeur muqueuse contenue dans la peau de quelque animal que ce soit, mais plus abondante chez les uns, moins chez les autres. Elle abonde, par exemple, dans la peau du bœuf; c'est de cette peau qu'on fait la colle; dans quelques endroits on tire également de la colle des poissons. La peau est par elle-même insensible, lorsqu'on la coupe: celle de la tête sur-tout, parce que c'est là qu'il y a le moins de chair entre la peau & les os. Si on coupe la peau dans les endroits où elle est isolée, elle ne reprend point, par exemple aux parties minces de la joue, au prépuce & aux paupieres. La peau forme dans tous les Animaux un tissu suivi, qui n'est interrompu que pour les ouvertures naturelles, à la bouche & à la racine des ongles. Tous les Animaux sanguins ont de la peau, au lieu que j'ai déja observé qu'il ne leur est pas de même commun à tous d'avoir du poil.

La couleur du poil change avec l'âge: celui de l'Homme blanchit. Les autres Animaux éprouvent aussi ce changement, mais d'une maniere peu sensible, excepté le cheval. Les poils blanchissent par l'extrémité; cependant la plûpart deviennent subitement blancs en entier; ce qui prouve que cette blancheur n'est pas l'effet de la sécheresse, comme quelques-uns l'imaginent, car rien ne devient sec subitement. Dans la lepre qu'on appelle *blanche*, tous les poils blanchissent. Quelquefois les poils qu'une maladie avoit fait blanchir tombent après qu'on est rétabli, & il en revient de noirs. Le poil blanchit plus tôt si on le tient couvert, que si on lui laisse éprouver les impressions de l'air. Dans l'Homme, ce sont les tempes qui blanchissent les premieres, puis les cheveux du devant de la tête avant ceux du derriere; le poil des parties naturelles blanchit le dernier.

On distingue dans l'Homme des poils qu'il apporte en naissant, & d'autres qui ne se montrent qu'avec l'âge: c'est le seul animal qui donne lieu à cette observation. Les poils de la premiere espece sont les cheveux, les cils & les sourcils; ceux qui viennent avec l'âge sont d'abord les poils des parties naturelles, puis ceux des aisselles, & enfin ceux du menton. Le nombre des parties où l'Homme a du poil en naissant, & celui des parties où l'âge en fait venir, est précisément le même.

Les poils disparoissent & tombent à mesure que la vieillesse approche.

καὶ μάλιστα, καὶ πρῶται· τούτων δὲ αἱ ἔμπροσθεν μόναι, τὰ γὰρ ὄπισθεν οὐδεὶς γίνεται φαλακρός. Η μὲν οὖν κατὰ κορυφὴν λειότης, φαλακρότης καλεῖται· ἡ δὲ κατὰ τὰς ὀφρύας, ἀναφαλαντίασις· οὐδέτερον δὲ τούτων συμβαίνει οὐδενὶ, πρὶν ἢ ἀφροδισιάζειν ἄρξηται. Οὐ γίνεται δ' οὔτε παῖς φαλακρὸς, οὔτε γυνή· οὐδὲ οἱ ἐκτετμημένοι· ἀλλ' ἐὰν μὲν ἐκτμηθῇ πρὸ ἥβης, οὐ φύονται αἱ ὑστερογενεῖς· ἐὰν δὲ ὕστερον, αὗται μόναι ἐκρέουσι, πλὴν τῆς ἥβης. Γυνὴ δὲ τὰς ἐπὶ τῷ γενείῳ οὐ φύει τρίχας, πλὴν ὀλίγαι ἐνίαις γίνονται, ὅταν τὰ καταμήνια στῇ, καὶ οἷον ἐν Καρίᾳ ταῖς ἱερείαις· ὃ δοκεῖ συμβαίνειν σημεῖον τῶν μελλόντων· αἱ δ' ἄλλαι, γίγνονται μὲν, ἐλάττους δέ. Γίγνονται δὲ καὶ ἄνδρες καὶ γυναῖκες ἐκ γενετῆς ἐνδεεῖς τῶν ὑστερογενῶν τριχῶν· ἀλλὰ καὶ ἄγονοι ὅσοιπερ ἂν καὶ ἥβης στερηθῶσιν.

Αἱ μὲν οὖν ἄλλαι τρίχες αὔξονται κατὰ λόγον, ἢ πλεῖον, ἢ ἔλαττον, μάλιστα μὲν αἱ ἐν τῇ κεφαλῇ, εἶτα ἐν πώγωνι, καὶ οἱ λεπτότριχοι μάλιστα. Δασύνονται δέ τισι καὶ αἱ ὀφρύες, γινομένοις πρεσβυτέροις, οὕτως ὥστ' ἀποκείρεσθαι, διὰ τὸ ἐπὶ συμφύσει ὀστῶν κεῖσθαι, ἃ γηρασκόντων διιστάμενα διίησι πλείω ὑγρότητα· αἱ δ' ἐν ταῖς βλεφαρίσιν, οὐκ αὐξάνονται· ῥέουσι δὲ, ὅταν ἀφροδισιάζειν ἄρξωνται, καὶ μᾶλλον τοῖς μᾶλλον ἀφροδισιαστικοῖς· πολιοῦνται δὲ βραδύτατα αὗται.

Εκτιλλόμεναι δ' αἱ τρίχες, μέχρι τῆς ἀκμῆς ἀναφύονται, εἶτα οὐκ ἔτι. Εχει δὲ πᾶσα θρὶξ ὑγρότητα πρὸς τῇ ῥίζῃ γλίσχραν, καὶ ἕλκει, εὐθὺς ἐκτιλθεῖσα, τὰ κοῦφα θιγγάνουσα. Οσα δὲ ποικίλα τῶν ζώων κατὰ τὰς τρίχας, τούτοις καὶ ἐν τῷ δέρματι προυπάρχει ἡ ποικιλία, καὶ ἐν τῷ τῆς γλώττης δέρματι. Περὶ δὲ τὸ γένειον, τοῖς μὲν συμβαίνει καὶ τὴν ὑπήνην καὶ τὸ γένειον δασὺ ἔχειν· τοῖς δὲ ταῦτα μὲν λεῖα, τὰς σιαγόνας δὲ δασείας· ἧττον δ' γίγνονται φαλακροὶ οἱ μὴ διγένειοι. Αὔξονται δ' αἱ τρίχες ἔν τε νόσοις τισὶν, οἷόν τε ταῖς φθισικαῖς μᾶλλον,

Les cheveux ſont les plus ſujets à tomber, & les premiers. J'entens les cheveux du devant de la tête : car perſonne ne devient chauve par derriere. *Chauve* ſe dit donc de celui dont le ſommet de la tête eſt dépouillé ; les Grecs nomment *anaphalantiaſe* la perte des ſourcils : mais ni l'un ni l'autre n'arrive avant qu'on ait commencé à ſacrifier à Vénus. On ne voit ni enfant, ni femme, ni eunuque chauve ; ſeulement à l'égard des eunuques, ſi on les rend tels avant l'âge de puberté, les poils que cet âge devoit amener ne leur viennent jamais. S'ils ont été faits eunuques plus tard, les poils de la barbe & des aiſſelles ſont les ſeuls qu'ils perdent en vieilliſſant. Les femmes n'ont point de poil au menton : quelques-unes en ont un peu qui leur vient lors de la ceſſation des écoulemens périodiques. Les Pretreſſes de Carie en ont auſſi, mais chez elles c'eſt un événement qu'on compte au nombre des préſages. Les femmes ont du poil ailleurs comme les hommes, mais il eſt en moindre quantité. Il ſe trouve & des hommes & des femmes qui, par une ſuite de leur conſtitution naturelle, n'ont point de ces poils que l'âge produit : mais s'ils en manquent même aux parties de la génération, ils ſont impuiſſants.

Entre les poils il en eſt qui reſtent fixés à une certaine longueur ; il en eſt d'autres qui s'allongent plus ou moins. Les cheveux ſont ceux qui s'allongent le plus, enſuite la barbe ; ſurtout lorſque le poil eſt fin. Quelquefois en vieilliſſant les ſourcils deviennent ſi épais, qu'il faut les couper. Cela vient de ce qu'étant placés ſur la ligne où les os ſe réuniſſent, & ces os s'écartant dans la vieilleſſe, l'humidité abonde davantage aux ſourcils. Quant aux cils, ils ne croiſſent point, mais l'uſage des plaiſirs de l'amour les fait tomber ; plus il eſt fréquent plus il accelére leur chûte. Les cils ne blanchiſſent que fort lentement.

Juſques dans la vigueur de la jeuneſſe, les poils qu'on arrache ſe reproduiſent : paſſé cet âge ils ne reviennent plus. Leur racine eſt entourée d'une humeur viſqueuſe, de ſorte qu'en l'approchant de quelque corps leger, auſſi-tôt qu'on vient d'arracher le poil, ils l'enlevent. Les Animaux dont le poil eſt de différente couleur portent cette variété ſur la peau de leur corps, & ſur celle de leur langue. On voit des Hommes qui ont la barbe épaiſſe à la levre & au menton, d'autres qui ont ces parties moins garnies de poil, & le bas des joues couvert d'une barbe épaiſſe. Ceux dont le menton n'eſt pas fourchu, ſont moins ſujets à devenir chauves. Il y a des maladies, ſingulierement celles qui tiennent de la phtiſie, qui font croître les poils ;

καὶ ἐν γήρᾳ, καὶ τεθνεώτων, καὶ σκληρότεραι γίνονται ἀντὶ μαλακῶν. Τὰ δ᾽ αὐτὰ ταῦτα συμβαίνει καὶ περὶ τοὺς ὄνυχας. Ῥέουσι δὲ μᾶλλον αἱ τρίχες τοῖς ἀφροδισιαστικοῖς αἱ συγγενεῖς· αἱ δὲ ὑστερογενεῖς γίνονται θᾶττον. Οἱ δὲ ἰξίαν ἔχοντες ἧττον φαλακροῦνται· κἂν ὄντες φαλακροὶ λάβωσι, ἔνιοι δασύνονται. Οὐκ αὐξάνεται δὲ θρὶξ ἀποτμηθεῖσα, ἀλλὰ κάτωθεν ἀναφυομένη γίνεται μείζων. Καὶ αἱ λεπίδες δὲ τοῖς ἰχθύσι σκληρότεραι γίνονται καὶ παχύτεραι· τοῖς δὲ λεπτυνομένοις, καὶ τοῖς γηράσκουσι, σκληρότεραι. Καὶ τῶν τετραπόδων δὲ γινομένων πρεσβυτέρων, τῶν μὲν αἱ τρίχες, τῶν δὲ τὰ ἔρια βαθύτερα μὲν γίνεται, ἐλάττω δὲ τῷ πλήθει. Καὶ τῶν μὲν αἱ ὁπλαὶ, τῶν δὲ αἱ χηλαὶ γίνονται γηρασκόντων μείζους, καὶ τὰ ῥύγχη τῶν ὀρνίθων· αὐξάνονται δὲ καὶ αἱ χηλαὶ ὥσπερ καὶ οἱ ὄνυχες.

XII. Περὶ δὲ τὰ πτερωτὰ τῶν ζώων, οἷον τοὺς ὄρνιθας, κατὰ μὲν τὰς ἡλικίας οὐδὲν μεταβάλλει, πλὴν γέρανος· αὕτη δὲ, ὡς τεθεώρηται, γηράσκουσα μελάντερα τὰ πτερὰ ἴσχει· διὰ δὲ τὰ πάθη τὰ γενόμενα κατὰ τὰς ὥρας, οἷον ὅταν ψῦχη γένηται μᾶλλον, ἐνίοτε γίνεται τῶν μονοχρόων, ἐκ μελάνων τε καὶ μελαντέρων λευκὰ, οἷον κόραξ τε, καὶ στρουθὸς, καὶ χελιδόνες· ἐκ δὲ τῶν λευκῶν γενῶν οὐκ ὦπται εἰς μέλαν μεταβάλλον. Καὶ κατὰ τὰς ὥρας δὲ οἱ πολλοὶ τῶν ὀρνίθων μεταβάλλουσι τὰς χρόας· ὥστε λαθεῖν ἂν τὸν μὴ συνήθη.

Μεταβάλλουσι δ᾽ ἔνια τῶν ζώων τὰς χρόας τῶν τριχῶν κατὰ τὰς τῶν ὑδάτων μεταβολάς· ἔνθα μὲν γὰρ λευκὰ γίνεται· ἔνθα δὲ μέλανα. Τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ὀχείας· ἐστὶν ὕδατα πολλαχοῦ τοιαῦτα, ἃ πιόντα καὶ ὀχεύσαντα μετὰ τὴν πόσιν, τὰ πρόβατα μέλανας γεννῶσι τοὺς ἄρνας, οἷον ἐν τῇ Χαλκιδικῇ τῇ ἐπὶ τῆς Θράκης, ἐν τῇ Ἀσσυρίτιδι, ἐποίει ὁ καλούμενος Ψυχρὸς ποταμός· καὶ ἐν τῇ Ἀντανδρίᾳ δὲ δύο ποταμοί εἰσιν, ὧν ὁ μὲν λευκὰ, ὁ δὲ μέλανα ποιεῖ τὰ πρόβατα. Δοκεῖ δὲ καὶ ὁ

ils s'allongent auſſi dans la vieilleſſe, & même après la mort ; & de plus, de mous qu'ils étoient, ils deviennent alors plus roides. La même choſe arrive aux ongles. La fréquentation des femmes hâte la chute des poils qui naiſſent avec nous, & la production des autres. Ceux qui ont des varices deviennent moins chauves que d'autres ; & quand les varices ſurviennent à des gens déja chauves, quelquefois les cheveux leur repouſſent. Le poil qu'on coupe ne croît point par le bout qui a été coupé ; c'eſt par la réproduction qui ſe fait du côté de la racine qu'il s'allonge. Les écailles des poiſſons augmentent en épaiſſeur & en dureté ; elles deviennent plus fermes lorſque le poiſſon maigrit, & lorſqu'il vieillit. Dans un âge avancé, le poil & la laine des quadrupedes s'allongent, mais leur quantité diminue. La corne des pieds, la pince, s'allonge auſſi avec l'âge, & de même le bec des oiſeaux. La pince prend ſon accroiſſement de la même maniere que les ongles.

La ſucceſſion des différents âges ne fait pas éprouver les mêmes changements aux plumes des volatiles, excepté à celles de la grue. On a obſervé que ſes plumes noirciſſent à meſure qu'elle vieillit. Mais l'impreſſion que les différentes ſaiſons font ſur les oiſeaux produit des changements dans la couleur de leurs plumes. Le froid violent, par exemple, change quelquefois la couleur de ceux dont le plumage eſt uniforme ; d'un noir plus ou moins foncé, ils paſſent au blanc. On en a des exemples dans le corbeau, le moineau & l'hirondelle ; mais on ne voit point d'oiſeau blanc devenir noir. Le changement de couleur eſt ſi conſidérable dans un grand nombre d'eſpeces, qu'il faut de l'habitude pour les reconnoître. XII.

Les eaux influent ſur la couleur du poil de quelques Animaux : les unes le rendent blanc, les autres noir. Cette influence s'étend juſques ſur la couleur de leurs petits. Il n'eſt pas rare de rencontrer des eaux qui donnent des agneaux noirs aux brebis, lorſqu'elles s'accouplent après en avoir bu : telle eſt l'eau du Pſychrus, riviere de l'Aſſyritide, dans le pays de Chalcis en Thrace. Aux environs d'Antandros, il y a deux fleuves, dont l'un donne des brebis blanches, & l'autre des brebis noires. On prétend

Σκάμανδρος ποταμὸς ξανθὰ τὰ πρόβατα ποιεῖν· διὸ καὶ τὸν Ομηρόν φασιν, ἀντὶ Σκαμάνδρου Ξανθὸν προσαγορεύειν αὐτόν.

Τὰ μὲν οὖν ἄλλα ζῶα οὔτε ἐντὸς ἔχει τρίχας· τῶν τε ἀκρωτηρίων ἐν τοῖς πρανέσιν, ἀλλ' οὐκ ἐν τοῖς ὑπτίοις· ὁ δὲ δασύπους μόνος, καὶ ἐντὸς ἔχει τῶν γνάθων τρίχας καὶ ὑπὸ τοῖς ποσίν. Ετι δὲ καὶ ὁ μυστίκητος ὀδόντας μὲν ἐν τῷ στόματι οὐκ ἔχει, τρίχας δὲ ὁμοίας ὑείαις. Αἱ μὲν οὖν τρίχες αὐξάνονται ἀποτμηθεῖσαι κάτωθεν, ἄνωθεν δὲ οὔ· τὰ δὲ πτερὰ, οὔτε ἄνωθεν, οὔτε κάτωθεν, ἀλλ' ἐκπίπτει. Οὐκ ἀναφύεται δὲ ἐκτιλθὲν, οὔτε τῶν μελιττῶν τὸ πτερὸν, οὐδ' ὅσα ἄλλα τοιαῦτα ἄσχιστον ἔχει τὸ πτερὸν, οὐδὲ τὸ κέντρον, ὅταν ἀποβάλλῃ ἡ μέλιττα· ἀλλ' ἔκτοτε ἀποθνήσκει.

11.
XIII. Εἰσὶ δὲ καὶ ὑμένες ἐν τοῖς ζώοις ἅπασι τοῖς ἐναίμοις. Ομοιος δέ ἐστιν ὁ ὑμὴν δέρματι πυκνῷ καὶ λεπτῷ· ἔστι δὲ τὸ γένος ἕτερον, οὔτε γάρ ἐστι σχιστὸν, οὔτ' ἐκτατόν. Περὶ ἕκαστον δὲ τῶν ὀστῶν, καὶ περὶ ἕκαστον τῶν σπλάγχνων ὁ ὑμήν ἐστι, καὶ ἐν τοῖς μείζοσι, καὶ ἐν τοῖς ἐλάττοσι ζώοις· ἀλλ' ἄδηλοι ἐν τοῖς ἐλάττοσι, διὰ τὸ πάμπαν εἶναι λεπτοὶ καὶ μικροί. Μέγιστοι δὲ τῶν ὑμένων εἰσὶν οἵ τε περὶ τὸν ἐγκέφαλον δύο· ὧν ὁ περὶ τὸ ὀστοῦν ἰσχυρότερος καὶ παχύτερος τοῦ περὶ τὸν ἐγκέφαλον· ἔπειθ' ὁ περὶ τὴν καρδίαν. Διακοπεὶς δὲ οὐ συμφύεται ψιλὸς ὑμήν· καὶ ψιλούμενα τὰ ὀστᾶ τῶν ὑμένων σφακελίζει.

XIV. Εστι δὲ καὶ τὸ ἐπίπλοον ὑμήν. Εχει δ' ἐπίπλοον ἅπαντα τὰ ἔναιμα· ἀλλὰ τοῖς μὲν πῖον, τοῖς δὲ ἀπίμελόν ἐστιν. Εχει δὲ καὶ τὴν ἀρχὴν καὶ τὴν ἐξάρτησιν, ἐν τοῖς ζωοτόκοις καὶ ἀμφόδουσιν, ἐκ μέσης τῆς κοιλίας, ᾗ ἐστιν οἷον ῥαφή τις αὐτῆς· καὶ τοῖς μὴ ἀμφόδουσι δὲ ἐκ τῆς μεγάλης κοιλίας ὡσαύτως.

XV. Εστι δὲ καὶ ἡ κύστις ὑμενοειδὴς μὲν, ἄλλο δὲ γένος ὑμένος, ἔχει γὰρ τάσιν. Εχει δὲ κύστιν οὐ πάντα, ἀλλὰ τὰ μὲν ζωοτόκα πάντα· τῶν δ' ᾠοτόκων, ἡ χελώνη μόνον. Διακοπεῖσα δὲ

auſſi que le Scamandre les rend rouſſes ; & que c'eſt pour cela qu'Homere le nomme le Xanthe.

Les Animaux n'ont point de poils intérieurement, non plus qu'en dedans de la main ou ſous le pied : le daſypode ſeul en a ſous les pieds & en dedans des joues. On remarque encore le myſticetus, qui, au lieu de dents, a dans la bouche des ſoies ſemblables à celles du porc. On a dit que les poils ne s'allongoient point par le bout où on les avoit coupés, mais du côté de la racine : à l'égard des plumes, elles ne croiſſent ni du côté où on les a coupées, ni du côté de la racine ; elles tombent. L'aîle de l'abeille, & en général toute aîle qui eſt d'une ſeule piece, ne renaît point quand elle a été arrachée. L'aiguillon de l'abeille ne ſe reproduit point non plus : quand elle l'a perdu elle meurt.

Les membranes ſont des parties qui ſe trouvent dans tous les Animaux II.
qui ont du ſang. La membrane reſſemble à une peau mince & forte : ce XIII.
n'eſt cependant pas une ſubſtance de même genre, car elle ne peut ſe déchirer, ni s'étendre. Il n'y a ni os ni viſcere qui ne ſoit environné de ſa membrane, ſoit dans les petits Animaux, ſoit dans les grands : mais la délicateſſe & le peu d'épaiſſeur de ces membranes empêche de les appercevoir dans les petits Animaux. Les plus conſidérables des membranes ſont d'abord les deux qui environnent le cerveau, & de ces deux celle qui eſt du côté de l'os eſt plus forte & plus épaiſſe que l'autre ; enſuite la membrane qui entoure le cœur. Une membrane coupée ne ſe réunit point, ſi elle eſt iſolée. Les os ſe gangrennent lorſqu'ils ſont dépouillés de leurs membranes.

L'épiploon eſt du nombre des membranes. Tous les Animaux qui ont du XIV.
ſang ont l'épiploon, mais les uns l'ont gras, & les autres l'ont ſans graiſſe. Dans les Animaux vivipares qui ont des dents également en haut & en bas, l'épiploon naît du milieu de l'eſtomac, de l'endroit où ce viſcere a une eſpece de ſuture : & c'eſt là qu'il eſt ſuſpendu. Dans les Animaux qui n'ont point de dents ſur le devant de la machoire ſupérieure, il naît du grand eſtomac & y eſt attaché de la même maniere.

La veſſie eſt encore une ſubſtance membraneuſe, mais d'un genre diffé- XV.
rent des autres membranes, car elle eſt ſuſceptible de tenſion. La veſſie n'eſt pas une partie commune à tous les Animaux, les vivipares l'ont tous, mais

ἐδ' ἡ κύςις συμφύεται, ἀλλ' ἡ παρ' αὐτὴν τὴν ἀρχὴν τȢ̃ ἐρȣτῆρος, εἰ μή τι πάμπαν σπάνιον· γέγονε γάρ τι ἤδη τοιȢ̃τον. Τεθνεώτων μὲν οὐδὲν διίησιν ὑγρόν· ἐν δὲ τοῖς ζῶσι, καὶ ξηρὰς συςάσεις, ἐξ ὧν οἱ λίθοι γίγνονται τοῖς κάμνȢσιν. Ἐνίοις δ' ἤδη καὶ τοιαῦτα συνέςη ἐν τῇ κύςει, ὥςε μηδὲν δοκεῖν διαφέρειν κογχυλίων.

12. Περὶ μὲν Ȣ̃ν φλεβὸς, καὶ νεύρου, καὶ δέρματος, καὶ περὶ ἰνῶν καὶ ὑμένων, ἔτι δὲ περὶ τριχῶν, καὶ ὀνύχων, καὶ χηλῆς, καὶ ὁπλῆς, καὶ κεράτων, καὶ ὀδόντων, καὶ ῥύγχους, καὶ χόνδρου, καὶ ὀςῶν, καὶ τῶν ἀνάλογον τȢ́τοις, ἔχει τȢ̃τον τὸν τρόπον.

XVI. Σὰρξ δὲ καὶ τὸ παραπλησίαν ἔχον τὴν φύσιν τῇ σαρκὶ, ἐν τοῖς ἐναίμοις πᾶσίν ἐςι μεταξὺ τȢ̃ δέρματος καὶ τȢ̃ ὀςοῦ, καὶ τῶν ἀνάλογον τοῖς ὀςοῖς. Ὡς γὰρ ἡ ἄκανθα ἔχει πρὸς τὸ ὀςοῦν, ἕτω καὶ τὸ σαρκῶδες πρὸς τὰς σάρκας ἔχει, τῶν ἐχόντων ὀςᾶ καὶ ἄκανθαν. Ἔςι δὲ διαιρετὴ ἡ σὰρξ πάντῃ, καὶ ἐχ ὥσπερ τὰ νεῦρα καὶ αἱ φλέβες, ἐπὶ μῆκος μόνον. Λεπτυνομένων μὲν οὖν τῶν ζώων ἀφανίζονται, καὶ γίγνονται φλεβία καὶ ἶνες· εὐβοσίᾳ δὲ πλείονι χρωμένων, πιμελὴ ἀντὶ σαρκῶν. Εἰσὶ δὲ τοῖς μὲν ἔχȢσι τὰς σάρκας πολλὰς, αἱ φλέβες ἐλάττȢς καὶ τὸ αἷμα ἐρυθρότερον, καὶ τὰ σπλάγχνα καὶ κοιλία μικρά· τοῖς δὲ τὰς φλέβας ἔχουσι μεγάλας, καὶ τὸ αἷμα μελάντερον, καὶ σπλάγχνα μεγάλα, καὶ κοιλία μεγάλη, αἱ δὲ σάρκες ἐλάττους. Γίνεται δὲ κατὰ σάρκα πίονα τὰ τὰς κοιλίας ἔχοντα μικράς.

13. XVII. Πιμελὴ δὲ καὶ ςέαρ διαφέρουσιν ἀλλήλων. Τὸ μὲν γὰρ ςέαρ ἐςὶ θραυςὸν πάντῃ, καὶ πήγνυται ψυχόμενον· ἡ δὲ πιμελὴ χυτὸν καὶ ἄπηκτον. Καὶ οἱ μὲν ζωμοὶ οἱ τῶν πιόνων ἐ πήγνυνται, οἷον ἵππου, καὶ ὑός· οἱ δὲ τῶν ςέαρ ἐχόντων πήγνυνται, οἷον προβάτου καὶ αἰγός. Διαφέρουσι δὲ καὶ τοῖς τόποις. Ἡ μὲν γὰρ πιμελὴ γίνεται μεταξὺ δέρματος καὶ σαρκός, ςέαρ δ' οὐ γίνεται, ἀλλ' ἢ ἐπὶ τέλει τῶν σαρκῶν· γίγνεται δὲ καὶ τὸ ἐπίπλοον

entre

entre les ovipares, la tortue ſeule a une veſſie. Les inciſions faites à cette partie ne ſe referment point, ſi ce n'eſt qu'elles ſoient faites auprès du cou : c'eſt du moins une choſe fort rare, dont cependant on a quelques exemples. Après la mort il ne paſſe plus rien à la veſſie, pas même rien de liquide ; pendant la vie il s'y introduit, outre les liquides, des matieres ſeches qui y forment des calculs, chez ceux qui ſont attaqués de cette maladie. On a vu de pareilles concrétions dont la ſubſtance paroiſſoit ne différer en rien de celle des coquillages.

J'ai détaillé ce qui concerne les veines, les nerfs, la peau, les fibres, 12.
les membranes, les poils, les ongles, les cornes des pieds, celles de la tête, les pinces, les dents, le bec des oiſeaux, les cartilages, les os, &
ce qui repond à ces différentes parties : je paſſe à la chair. La chair, ou ce XVI.
qu'on peut y aſſimiler, eſt placée dans tous les Animaux ſanguins entre la peau & les os, ou ce qui leur tient lieu d'os. Car de même que les arrêtes répondent aux os, les Animaux qui ont des arrêtes ont auſſi une partie correſpondante à la chair de ceux qui ont des os. La chair eſt diviſible en tout ſens, & non pas ſeulement ſur ſa longueur, comme les nerfs & les veines. Quand les Animaux maigriſſent, leur chair diſparoît, & ſemble ſe reduire en veines & en fibres ; au contraire, s'ils ont une nourriture fort abondante, la graiſſe prend la place de la chair. Ceux qui ont beaucoup de chair ont les veines petites ainſi que les inteſtins & les viſceres : leur ſang eſt plus rouge. Lorſque les veines ſont groſſes, le ſang eſt plus noir, les viſceres & l'eſtomac grands, la chair en petite quantité. La chair devient graſſe dans les Animaux qui ont l'eſtomac & les inteſtins petits.

Il ne faut pas confondre la graiſſe avec l'axonge. L'axonge ſe caſſe en 13.
tout ſens, & ſe durcit lorſqu'elle refroidit ; au lieu que la graiſſe eſt fluide XVII.
& ne durcit point. Auſſi du bouillon fait avec du cheval, du porc, ou autres Animaux qui n'ont que de là graiſſe, ne ſe coagule point, à la différence de celui qui eſt fait avec de la brebis, de la chevre, & autres ſemblables. La graiſſe & l'axonge ne ſont pas d'ailleurs placées de même. La graiſſe eſt entre la peau & la chair, l'axonge à l'extrémité des chairs ſeulement. L'épiploon ſe charge de graiſſe ou d'axonge ſelon que l'une ou l'autre

τοῖς μὲν πιμελώδεσι πιμελῶδες· τοῖς δὲ στεατώδεσι στεατῶδες. Ἔχει δὲ τὰ μὲν ἀμφόδοντα πιμελήν· τὰ δὲ μὴ ἀμφόδοντα στέαρ. Τῶν δὲ σπλάγχνων τὸ ἧπαρ ἐν ἐνίοις τῶν ζώων γίνεται πιμελῶδες, οἷον τῶν ἰχθύων ἐν τοῖς σελάχεσι· ποιοῦσι γὰρ ἔλαιον ἀπ' αὐτῶν, ὃ γίνεται τηκομένων· αὐτὰ δὲ τὰ σελάχη ἐστὶν ἀπιμελώτατα καὶ κατὰ σάρκα καὶ κατὰ κοιλίαν κεχωρισμένῃ πιμελῇ· ἔστι δὲ καὶ τὸ τῶν ἰχθύων στέαρ πιμελῶδες, καὶ οὐ πήγνυται. Πάντα δὲ τὰ ζῶα, τὰ μὲν κατὰ σάρκα ἐστὶ πίονα· τὰ δὲ ἀφωρισμένως. Ὅσα δὲ μὴ ἔχει κεχωρισμένην τὴν πιμελὴν, ἧττόν ἐστι πίονα κατὰ κοιλίαν καὶ ἐπίπλοον, οἷον ἔγχελυς· ὀλίγον γὰρ στέαρ ἔχουσι περὶ τὸ ἐπίπλοον. Τὰ δὲ πλεῖστα γίνεται πίονα κατὰ τὴν γαστέρα, καὶ μάλιστα τὰ μὴ ἐν κινήσει ὄντα τῶν ζώων. Οἱ δ' ἐγκέφαλοι, τῶν μὲν πιμελωδῶν, λιπαροὶ, οἷον ὑός· τῶν δὲ στεατωδῶν, αὐχμηροί.

Τῶν δὲ σπλάγχνων, περὶ τοὺς νεφροὺς μάλιστα πίονα γίνεται τὰ ζῶα. Ἔστι δ' ἀεὶ ὁ δεξιὸς ἀπιμελώτερος· κἂν σφόδρα πίονες ὦσιν, ἐλλείπει τι ἀεὶ κατὰ τὸ μέσον. Περίνεφρα δὲ γίνεται τὰ στεατώδη μᾶλλον, καὶ μάλιστα τῶν ζώων πρόβατον· τοῦτο γὰρ ἀποθνήσκει τῶν νεφρῶν πάντῃ καλυφθέντων. Γίνεται δὲ περίνεφρα δι' εὐβοσίαν, οἷον τῆς Σικελίας περὶ Λεοντίνους, διὸ καὶ ἐξελαύνουσιν ὀψὲ τὰ πρόβατα τῆς ἡμέρας, ὅπως ἐλάττω λάβωσι τὴν τροφήν.

XVIII. Πάντων δὲ τῶν ζώων κοινόν ἐστι, τὸ περὶ τὴν κόρην ἐν τοῖς ὀφθαλμοῖς· ἔχουσι γὰρ τοῦτο τὸ μόριον στεατῶδες πάντα ὅσα ἔχουσι τοιοῦτον τὸ μόριον ἐν τοῖς ὀφθαλμοῖς, καὶ μή εἰσι σκληρόφθαλμα. Ἔστι δ' ἀγονώτερα τὰ πιμελώδη, καὶ ἄρρενα καὶ θήλεα· πιαίνεται δὲ πάντα πρεσβύτερα μᾶλλον, ἢ νεώτερα ὄντα, μάλιστα δ' ὅταν καὶ τὸ πλάτος καὶ τὸ μῆκος ἔχῃ τοῦ μεγέθους, καὶ εἰς βάθος αὐξάνηται.

14.

XIX. Περὶ δὲ τοῦ αἵματος ὧδε ἔχει. Τοῦτο γὰρ πᾶσιν ἀναγκαιότατον

eſt propre à l'animal. La graiſſe appartient aux Animaux qui ont des dents également en haut & en bas : l'axonge à ceux de l'eſpece oppoſée. Le foie eſt un viſcere ſuſceptible de devenir gras dans quelques Animaux, par exemple dans les ſelaques : on tire de l'huile de leur foie en le faiſant fondre ; mais les ſelaques ſont d'ailleurs les Animaux les plus dépourvus de graiſſe. On n'en trouve aucune maſſe ſéparée, ni entre leurs chairs, ni ſur leur eſtomac. On remarque encore que, chez les poiſſons, l'axonge approche de la nature de la graiſſe & ne ſe durcit point. Une obſervation générale, c'eſt que dans tous les Animaux, la graiſſe ou eſt répandue entre les chairs ou en eſt ſéparée. Les Animaux dans leſquels la graiſſe n'eſt point à part ont les inteſtins & l'épiploon moins gras : telle eſt l'anguille qui n'a qu'un peu d'axonge à l'épiploon. La graiſſe de la plûpart des Animaux, ſurtout de ceux qui ſont peu de mouvement, eſt autour du ventre. La cervelle eſt graſſe dans ceux qui ont de la graiſſe, tels que le porc : ſeche dans ceux qui ont de l'axonge.

De tous les viſceres, ce ſont les reins autour deſquels il s'amaſſe le plus de graiſſe : cependant le rein droit n'en a jamais autant que l'autre, & quelque chargés de graiſſe qu'ils ſoient, il reſte toujours vers le milieu une petite partie qui n'en eſt point couverte. La trop grande quantité de graiſſe autour des reins forme une maladie, à laquelle les Animaux qui ont de l'axonge ſont plus ſujets que les autres, & les brebis ſurtout : ſi l'axonge couvre la totalité de leurs reins, elles meurent. Pour prévenir cette maladie, qui eſt une ſuite de l'abondance des pâturages, tels qu'on les a en Sicile dans les environs de Leontium, on ne fait ſortir les brebis que le ſoir, afin qu'elles prennent moins de nourriture.

Tous les Animaux qui ont une prunelle, & qui n'ont point l'œil ſec & dur, ont le tour de cette prunelle d'une ſubſtance ſebacée. Les Animaux gras ſont moins féconds dans l'un & l'autre ſexe ; en général les Animaux engraiſſent moins lorſqu'ils ſont jeunes, que lorſqu'ils deviennent plus âgés, & particulierement lorſque le corps ayant pris ſa croiſſance en longueur & en largeur ne fait plus qu'augmenter en épaiſſeur. XVIII.

14.

Parlons maintenant du ſang. C'eſt la partie la plus commune & la plus XIX.

καὶ κοινότατον τοῖς ἐναίμοις, καὶ οὐκ ἐπίκτητον, ἀλλ' ὑπάρχει πᾶσι τοῖς μὴ φθειρομένοις. Πᾶν δ' αἷμά ἐστιν ἐν ἀγγείῳ, ἐν ταῖς καλουμέναις φλεψὶν, ἐν ἄλλῳ δὲ οὐδενὶ, πλὴν ἐν τῇ καρδίᾳ μόνον. Οὐκ ἔχει δ' αἴσθησιν τὸ αἷμα ἁπτομένων ἐν οὐδενὶ τῶν ζώων, ὥσπερ οὐδ' ἡ περίττωσις ἡ ἐν τῇ κοιλίᾳ, οὐδὲ δὴ ὁ ἐγκέφαλος, οὐδ' ὁ μυελὸς, οὐκ ἔχει αἴσθησιν ἁπτομένων. Οπου δ' ἂν τις διέλῃ τὴν σάρκα, γίνεται αἷμα ἐν ζῶντι, ἐὰν μὴ ᾖ διεφθαρμένη ἡ σάρξ. Εστι δὲ τὴν φύσιν τὸ αἷμα, τόν τε χυμὸν ἔχον γλυκὺν, ἐάν περ ὑγιὲς ᾖ, καὶ τὸ χρῶμα ἐρυθρόν· τὸ δὲ χεῖρον, ἢ φύσει, ἢ νόσῳ, μελάντερον. Καὶ οὔτε λίαν παχὺ, οὔτε λίαν λεπτὸν τὸ βέλτιστον, ἐὰν μὴ χεῖρον, ἢ διὰ φύσιν, ἢ διὰ νόσον ᾖ. Καὶ ἐν μὲν τῷ ζώῳ, θερμὸν καὶ ὑγρὸν ἀεί· ἐξιὸν δὲ ἔξω, πήγνυται πάντων, πλὴν ἐλάφου καὶ προκὸς, καὶ εἴ τι ἄλλο τοιαύτην ἔχει τὴν φύσιν· τὸ δ' ἄλλο αἷμα πήγνυται, ἐὰν μὴ ἐξαιρεθῶσιν αἱ ἶνες· τάχιστα δ' πήγνυται τὸ τοῦ ταύρου αἷμα πάντων. Εστι δὲ τῶν ἐναίμων ταῦτα πολυαιμότερα, τὰ καὶ ἐν αὑτοῖς καὶ ἔξω ζωοτόκα, τῶν ἐναίμων μὲν ᾠοτοκούντων δέ. Τὰ δὲ εὖ ἔχοντα, ἢ φύσει, ἢ τῷ ὑγιαίνειν, οὔτε πολὺ λίαν ἔχει, ὥσπερ τὰ πεπωκότα πόμα πρόσφατον· οὔτ' ὀλίγον, ὥσπερ τὰ πίονα λίαν. Τὰ γὰρ πίονα, καθαρὸν μὲν ἔχει, ὀλίγον δὲ τὸ αἷμα, καὶ γίνεται πιότερα γινόμενα, ἀναιμότερα· ἄναιμον γὰρ τὸ πῖον. Καὶ τὸ μὲν πῖον, ἄσηπτον· τὸ δ' αἷμα καὶ τὰ ἔναιμα τάχιστα σήπεται, καὶ τούτων τὰ περὶ τὰ ὀστᾶ. Εχει δ' λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον ἄνθρωπος· παχύτατον δὲ καὶ μελάντατον τῶν ζωοτόκων ταῦρος καὶ ὄνος· καὶ ἐν τοῖς κάτω δὲ μορίοις, ἢ ἐν τοῖς ἄνω, παχύτερον τὸ αἷμα γίνεται καὶ μελάντερον. Σφύζει δὲ τὸ αἷμα ἐν ταῖς φλεψὶν, ἐν ἅπασι πάντη ἅμα τοῖς ζώοις· καὶ ἔστι τῶν ὑγρῶν μὲν καθ' ἅπαν τε τὸ σῶμα τοῖς ζώοις, καὶ αἰεὶ ἕως ἂν ζῇ, τὸ αἷμα μόνον. Πρῶτον δ' γίνεται τὸ αἷμα τοῖς ζώοις ἐν τῇ καρδίᾳ, καὶ πριν ὅλον διηρθρῶσθαι

néceſſaire à tous les Animaux que nous appellons ſanguins. Le ſang n'eſt point une partie acceſſoire qu'ils puiſſent acquérir ; il ſe trouve naturellement dans leur corps tant qu'il n'eſt pas putreſié. Tout le ſang eſt renfermé dans des vaiſſeaux que l'on nomme veines, & il ne s'en trouve en aucun autre endroit, excepté dans le cœur ſeul. Le ſang d'aucun animal, tel qu'il ſoit, n'a point de ſenſibilité lorſqu'on le touche, non plus que le cerveau, la moëlle, ni les excrémens lors même qu'ils ſont encore dans les inteſtins. Dans quelque partie qu'on coupe la chair d'un animal vivant, à moins qu'elle ne ſoit gangrenée, il en ſort du ſang. Le ſang a naturellement dans les Animaux qui ſe portent bien, la ſaveur douce, & la couleur rouge : s'il eſt vicié ou naturellement, ou par un effet de la maladie, ſa couleur eſt plus noire : hors le même cas, le ſang de la meilleure qualité ne doit être ni très-épais ni très-clair. Tant que le ſang eſt dans le corps de l'animal, il eſt chaud & liquide : ſorti du corps il ſe coagule, excepté celui du cerf & du daim, & de quelques Animaux qui ſont de même nature. Le ſang des autres ſe coagule à moins qu'on n'en ôte les fibres. Le ſang du taureau eſt le plus prompt de tous à ſe coaguler. Entre les Animaux ſanguins, le ſang abonde plus dans les vrais vivipares que dans les ovipares. Lorſque les Animaux ſont dans un bon état, ſoit par tempérament naturel, ſoit par l'effet du régime, le ſang n'eſt ni extrêmement abondant, comme il l'eſt lorſqu'on vient de boire amplement ; ni en auſſi petite quantité que dans les ſujets très-gras. Les Animaux gras ont le ſang pur, mais ils en ont peu, & plus ils deviennent gras moins ils ont de ſang, car la graiſſe n'en contient point. La graiſſe ne ſe putréfie point, au lieu que le ſang & les parties où il ſe trouve, celles ſurtout qui avoiſinent les os, ſe putréfient facilement. L'homme a le ſang le plus pur & le plus délié : le taureau & l'âne ſont ceux des vivipares qui l'ont le plus épais & le plus noir ; il eſt auſſi plus épais & plus noir dans les parties inférieures que dans les parties ſupérieures. Chez tous les Animaux, le ſang bat dans les veines par tout le corps en même tems : c'eſt le ſeul liquide répandu généralement dans tout le corps de l'animal, & qui s'y trouve toujours tant que l'animal eſt vivant. Le ſang eſt la premiere ſubſtance qui paroît dans les Animaux : il eſt dans le cœur, avant même que le reſte du corps

τὸ σῶμα. Στερισκομένου δ' αὐτοῦ καὶ ἀφιεμένου ἔξω, πλείονος μὲν, ἐκθνήσκουσι· πολλοῦ δ' ἄγαν, ἀποθνήσκουσιν· ἐξυγραινομένου δὲ λίαν, νοσοῦσι. Γίνεται γὰρ ἰχωροειδὲς, καὶ διοῤῥεῖται οὕτως, ὥστε ἤδη τινὲς ἴδισαν αἱματώδη ἱδρῶτα, καὶ ἐξιὸν ἐνίοις οὐ πήγνυται παντελῶς, ἢ διωρισμένως καὶ χωρίς. Τοῖς δὲ καθεύδουσιν, ἐν τοῖς ἐκτὸς μέρεσιν ἔλαττον γίνεται τὸ αἷμα· ὥστε καὶ κεντουμένων μὴ ῥεῖν ὁμοίως. Γίνεται δὲ πεττομένων ἐξ ἰχώρων μὲν, αἷμα· ἐξ αἵματος δὲ, πιμελή. Νενοσηκότος δ' αἵματος, αἱμοῤῥοῒς, ἥ τε ἐν ταῖς ῥισὶ, καὶ ἡ περὶ τὴν ἕδραν, καὶ ἰξία. Σηπόμενον δὲ γίνεται τὸ αἷμα ἐν τῷ σώματι πύον, ἐκ δὲ τοῦ πύου πῶρος.

Τὸ δὲ τῶν θηλειῶν αἷμα, πρὸς τὸ τῶν ἀῤῥένων διαφέρει· παχύτερόν τε γὰρ καὶ μελάντερόν ἐστιν, ὁμοίως ἐχόντων πρὸς ὑγίειαν καὶ ἡλικίαν, ἐν τοῖς θήλεσιν· καὶ ἐπιπολῆς μὲν ἔλαττον ἐν τοῖς θήλεσιν, ἐντὸς δὲ πολυαιμότερον. Μάλιστα δὲ καὶ τῶν θηλέων ζώων, ἡ γυνὴ πολύαιμον· Καὶ τὰ καλούμενα καταμήνια γίνεται πλεῖστα τῶν ζώων ἐν ταῖς γυναιξί· νενοσηκὸς δὲ τοῦτο τὸ αἷμα καλεῖται ῥοῦς. Τῶν δὲ ἄλλων τῶν νοσηματικῶν, ἧττον μετέχουσιν αἱ γυναῖκες· ὀλίγαις δὲ γίνεται ἰξία καὶ αἱμοῤῥοῒς, καὶ ἐκ ῥινῶν ῥύσις· ἐὰν δέ τι συμβαίνῃ τούτων, τὰ καταμήνια χείρω γίνεται. Διαφέρει δὲ καὶ κατὰ τὰς ἡλικίας, πλήθει καὶ εἴδει τὸ αἷμα· ἐν μὲν γὰρ τοῖς πάμπαν νέοις, ἰχωροειδές ἐστι καὶ πλεῖον· ἐν δὲ τοῖς γέρουσι, παχὺ, καὶ μέλαν, καὶ ὀλίγον· ἐν ἀκμάζουσι δὲ, μέσως· καὶ πήγνυται ταχὺ τὸ τῶν γερόντων, κἂν ἐν τῷ σώματι ἐπιπολῆς· τοῖς δὲ νέοις οὐ γίνεται τοῦτο. Ἰχὼρ δέ ἐστιν ἄπεπτον αἷμα, ἢ τῷ μή πω πεπέφθαι, ἢ τῷ διωῤῥῶσθαι.

15. XX. Περὶ δὲ μυελοῦ· καὶ γὰρ τοῦτο ἓν τῶν ὑγρῶν ἐνίοις τῶν ἐναίμων ὑπάρχει ζώων. Πάντα δὲ ὅσα φύσει ὑπάρχει ὑγρὰ ἐν τῷ σώματι, ἐν ἀγγείοις ὑπάρχει, ὥσπερ καὶ αἷμα ἐν φλεψὶ, καὶ μυελὸς ἐν ὀστοῖς· τὰ δὲ ἐν ὑμέσι, καὶ δέρμασι, καὶ κοιλίαις.

ſoit formé. Si on perd beaucoup de ſang, on tombe en défaillance; ſi cette perte eſt très-grande, on meurt : le ſang devenant trop clair on eſt malade. Quelquefois il ſe tourne en lymphe, & eſt tellement ſéreux qu'on a vu des perſonnes en cet état ſuer du ſang. Il arrive dans cette maladie que le ſang ſorti du corps, où ne ſe coagule point du tout, ou ſe coagule inégalement & par morceaux. Pendant le ſommeil le ſang eſt en moindre quantité aux parties extérieures, enſorte que ſi on les pique il n'en ſort point comme dans un autre tems. Le ſang ſe forme de la lymphe par un effet de la coction, & la graiſſe ſe forme du ſang. C'eſt un vice du ſang qui le fait fluer ou par les narines, ou par le fondement, & qui engendre les varices. Le ſang qui ſe corrompt ſe change en pus, & le pus forme les ſkirres.

Le ſang des femelles differe de celui des mâles en ce qu'il eſt plus épais & plus noir, les ſujets étant d'ailleurs de même âge & de même ſanté. On remarque encore que les femelles ont moins de ſang à la ſurface de leur corps, mais intérieurement elles en ont davantage. Entre les Animaux femelles il n'en eſt point qui ait plus de ſang, à proportion, que la femme : ſes écoulemens périodiques, autrement ſes mois, ſont plus abondants que ceux des autres femelles; lorſque le ſang de ces écoulemens eſt vicié, nous leur donnons le nom de flux. Les femmes ſont moins ſujettes que les hommes aux autres maladies qui viennent du ſang : il eſt rare qu'elles ayent des varices, des hémorroïdes & des ſeignemens de nez; quand elles éprouvent quelqu'un de ces accidens, leurs écoulemens périodiques en ſouffrent. L'âge auſſi fait varier la quantité & la qualité du ſang. Dans le premier âge, il eſt en grande quantité & abondant en lymphe; dans la vieilleſſe ſa quantité diminue, il épaiſſit & noircit; dans la force de l'âge il tient le milieu. Le ſang des vieillards ſe coagule aiſément, même dans leur corps : du moins aux extrémités; ce qui n'arrive pas dans la jeuneſſe. La lymphe eſt un ſang qui manque de coction, ſoit qu'il ne l'ait pas encore éprouvée, ſoit qu'il ait été diſſous depuis.

La moëlle eſt un des liquides qui appartiennent à quelques Animaux de 15. XX.
la claſſe des ſanguins. Tous les liquides du corps ſont renfermés dans des vaiſſeaux, le ſang eſt contenu dans les veines, la moëlle dans les os; les autres liquides ſont ou dans des membranes, ou dans des peaux, ou dans

Γίνεται δ' ἐν μὲν τοῖς νέοις αἱματώδης πάμπαν ὁ μυελός· πρεσβυτέρων δὲ γενομένων, ἐν μὲν τοῖς πιμελώδεσι πιμελώδης, ἐν δὲ τοῖς στεατώδεσι στεατώδης. Οὐ πάντα δ' ἔχει τὰ ὀστᾶ μυελὸν, ἀλλὰ τὰ κοῖλα, καὶ τούτων ἐνίοις οὐκ ἔνεστι. Τὰ γὰρ τοῦ λέοντος ὀστᾶ, τὰ μὲν οὐκ ἔχει, τὰ δ' ἔχει πάμπαν μικρόν· διόπερ ἔνιοι οὔ φασιν ὅλως ἔχειν μυελὸν τοὺς λέοντας, ὥσπερ εἴρηται πρότερον. Καὶ ἐν τοῖς ὑείοις δὲ ὀστοῖς, ἐλάττων ἐστὶν, ἐνίοις δ' αὐτῶν πάμπαν οὐκ ἔνεστι.

16. Ταῦτα μὲν οὖν τὰ ὑγρὰ σχεδὸν ἀεὶ σύμφυτά ἐστι τοῖς ζώοις· ὑστερογενῆ δὲ γάλα τε καὶ γονή. Τούτων δ' τὸ μὲν ἀποκεκριμένον ἅπασιν, ὅταν ἐνῇ, ἐστὶ τὸ γάλα· ἡ δὲ γονὴ οὐ πᾶσιν, ἀλλ' ἐνίοις οἱ καλούμενοι θοροὶ, οἷον τοῖς ἰχθύσιν. Εχει δ', ὅσα ἔχει τὸ γάλα, ἐν τοῖς μαστοῖς· μαστοὺς δ' ἔχει, ὅσα ζωοτοκεῖ καὶ ἐν αὐτοῖς, καὶ ἔξω· οἷον ὅσα τε τρίχας ἔχει, ὥσπερ ἄνθρωπος, καὶ ἵππος· καὶ τὰ κήτη, οἷον δελφὶς, καὶ φώκη, καὶ φάλαινα· καὶ γὰρ ταῦτα μαστοὺς ἔχει καὶ γάλα. Οσα δ' ἔξω ζωοτοκεῖ μόνον, ἢ ᾠοτοκεῖ, οὐκ ἔχει οὔτε μαστοὺς, οὔτε γάλα, οἷον ἰχθύες καὶ ὄρνιθες. Πᾶν δὲ γάλα ἔχει ἰχῶρα ὑδατώδη, ὃ καλεῖται ὀῤῥός· καὶ σωματῶδες, ὃ καλεῖται τυρός· ἔχει δὲ πλείω τυρὸν τὸ παχύτερον τῶν γαλάκτων.

Τὸ μὲν οὖν τῶν μὴ ἀμφοδόντων γάλα πήγνυται, διὸ καὶ τυρεύεται τῶν ἡμέρων· τῶν δ' ἀμφοδόντων οὐ πήγνυται, ὥσπερ οὐδ' ἡ πιμελή, καὶ ἔστι λεπτὸν καὶ γλυκύ. Εστι δὲ λεπτότατον μὲν γάλα καμήλου, δεύτερον δὲ ἵππου, τρίτον δὲ ὄνου, παχύτερον δὲ τὸ βόειον. Υπὸ μὲν οὖν τοῦ ψυχροῦ οὐ πήγνυται τὸ γάλα, ἀλλὰ διοῤῥοῦται μᾶλλον· ὑπὸ δ' τοῦ πυρὸς πήγνυται καὶ παχύνεται. Οὐ γίνεται δὲ γάλα, πρὶν ἢ ἔγκυον γένηται, οὐδενὶ τῶν ζώων, ὡς ἐπιτοπολύ· ὅταν δ' ἔγκυον ᾖ, γίνεται μὲν, ἄχρηστον δὲ τὸ πρῶτον καὶ ὕστερον. Μὴ ἐγκύοις δ' οὔσαις, ὀλίγα μὲν ἀπὸ ἐδεσμάτων τινῶν· οὐ μὴν ἀλλὰ καὶ βδαλλομέναις ἤδη

les

les inteſtins. La moëlle dans la jeuneſſe, eſt abſolument ſanguine : lorſque la vieilleſſe vient, la ſubſtance de la moëlle approche ou de celle de la graiſſe, ou de celle de l'axonge ſelon la nature des Animaux. La moëlle ne ſe trouve pas dans tous les os indiſtinctement, mais ſeulement dans ceux qui ſont creux, & encore quelques-uns de ceux-là n'en ont-ils pas : par exemple certains os du lion ſont ſans moëlle, les autres n'en ont que fort peu : c'eſt ce qui fait dire à quelques perſonnes, comme on l'a déja remarqué, que le lion n'a point du tout de moëlle. De même les os du porc n'ont que peu de moëlle, & quelquefois point du tout.

Les liquides dont je viens de parler ſont ordinairement formés en même 16.
tems que l'animal ; il en eſt d'autres, le lait & la liqueur ſpermatique, qui n'exiſtent que poſtérieurement à ſa formation. Le lait, lorſque le tems de ſa ſécrétion eſt venu, eſt la même liqueur dans tous les Animaux où il ſe trouve ; quant à la liqueur ſpermatique elle n'eſt pas la même dans tous les Animaux qui en ont. Dans quelques-uns, par exemple dans les poiſſons, le ſperme eſt ce qu'on nomme la laite. Tout animal qui a du lait, l'a dans des mamelles, & les mamelles appartiennent à tout animal parfaitement vivipare, à ceux par exemple qui ont des poils, comme l'homme, le cheval ; & aux cétacés, comme le dauphin, le phoque, la baleine : ceux-ci ont, de même que les premiers, des mamelles & du lait. Quant aux Animaux ovipares ou imparfaitement vivipares, tels que les poiſſons & les oiſeaux, ils n'ont ni mamelles ni lait. Dans le lait, de quelque animal qu'il ſoit, on diſtingue la partie aqueuſe ou le *ſerum*, & la partie caſéeuſe qui a plus de corps. Cette derniere eſt d'autant plus abondante que le lait eſt plus épais.

Le lait des Animaux qui n'ont pas des dents également aux deux machoires, ſe coagule : auſſi le lait des Animaux domeſtiques de cette eſpece ſert-il à faire des fromages. Le lait des autres Animaux ne ſe coagule pas, non plus que la graiſſe : il eſt clair & doux. Le chameau a le lait le plus clair, enſuite la cavalle, puis l'âneſſe ; le plus épais eſt celui de la vache. Le froid ne fait pas cailler le lait, au contraire il le rend plus ſéreux : c'eſt le feu qui le fait prendre & épaiſſir. Le lait ne ſe forme dans aucun animal avant qu'il ait conçu : telle eſt du moins la regle ordinaire ; & le premier lait qui vient alors n'eſt pas bon, non plus que celui qui le ſuit immédiatement. Il y a des alimens capables de donner du lait à des femelles ſans qu'elles

πρεσβυτέραις προῆλθε, καὶ τοσοῦτον ἤδη τισὶν ὥστ' ἐκτιτθεῦσαι τὸ παιδίον. Καὶ οἱ περὶ τὴν Οἴτην δὲ, ὅσαι ἂν μὴ ὑπομένωσι τὴν ὀχείαν τῶν αἰγῶν, λαμβάνοντες κνίδην, τρίβουσι τὰ οὔθατα βίᾳ, διὰ τὸ ἀλγεινὸν εἶναι. Τὸ μὲν οὖν πρῶτον, αἱματῶδες ἀμέλγονται, εἶθ' ὑπόπυον, τὸ δὲ τελευταῖον γάλα ἤδη, οὐδὲν ἔλαττον τῶν ὀχευομένων. Τῶν δ' ἀρρένων, ἔν τε τοῖς ἄλλοις ζώοις καὶ ἐν ἀνθρώπῳ, ὡς ἐπιτοπολὺ οὐ γίνεται γάλα, ἔν τισι δὲ γίνεται· ἐπεὶ καὶ ἐν Λήμνῳ αἲξ ἐκ τῶν μαστῶν, οὓς ἔχει δύο ἄρρεν παρὰ τὸ αἰδοῖον, γάλα ἠμέλγετο τοσοῦτον, ὥστε γίνεσθαι τροφαλίδας, καὶ πάλιν ὀχεύσαντος, τῷ ἐκ τούτου γενομένῳ, συνέβαινε ταὐτόν. Ἀλλὰ τὰ μὲν τοιαῦτα, ὡς σημεῖα ὑπολαμβάνουσιν· ἐπεὶ καὶ τῷ ἐν Λήμνῳ ἀνεῖλεν ὁ θεὸς μαντευσαμένῳ, ἐπίκτησιν ἔσεσθαι χρημάτων. Ἐν δὲ τοῖς ἀνδράσι μεθ' ἥβην ἐνίοις ἐκθλίβεται ὀλίγον, βδαλλομένοις δὲ, καὶ πολὺ ἤδη τισὶ προῆλθεν. Ὑπάρχει δ' ἐν τῷ γάλακτι λιπαρότης, ἣ καὶ ἐν τοῖς πεπηγόσι γίνεται ἐλαιώδης. Εἰς δὲ τὸ προβάτειον ἐν Σικελίᾳ, καὶ ὅπου πλεῖον, αἴγειον μιγνύουσι. Πήγνυται δὲ μάλιστα, οὐ μόνον τὸ τυρὸν ἔχον πλεῖστον, ἀλλὰ καὶ τὸ αὐχμηρότατον ἔχον. Τὰ μὲν οὖν πλέον ἔχει γάλα, ἢ ὅσον εἰς τὴν ἐκτροφὴν τῶν τέκνων, καὶ εἰς τύρευσιν χρήσιμον καὶ ἀπόθεσιν· μάλιστα μὲν τὸ προβάτειον καὶ τὸ αἴγειον, ἔπειτα δὲ τὸ βόειον· τὸ δὲ ἵππειον καὶ τὸ ὄνειον, μίγνυται εἰς τὸν Φρύγιον τυρόν· ἔστι δὲ τυρὸς πλείων ἐν τῷ βοείῳ, ἢ ἐν τῷ αἰγείῳ· γίνεσθαι γάρ φασιν οἱ νομεῖς, ἐκ μὲν ἀμφορέως αἰγείου γάλακτος, τρυφαλίδας ὀβολιαίας, μιᾶς δεούσης, εἴκοσιν· ἐκ δὲ βοείου, τριάκοντα· τὰ δ' ὅσον τοῖς τέκνοις ἱκανὸν, πλῆθος δὲ οὐδὲν, οὔτε χρήσιμον εἰς τύρευσιν, οἷον πάντα τὰ πλείους ἔχοντα μαστοὺς δυοῖν, οὐδενὸς γὰρ τούτων οὔτε πλῆθός ἐστι γάλακτος, οὔτε τυρεύεται τὸ γάλα.

Πήγνυσι δὲ τὸ γάλα ὀπός τε συκῆς, καὶ πυετία. Ὁ μὲν οὖν

ayent conçu, mais cela est rare ; cependant on a fait venir du lait à des femmes déja âgées en les tetant, & même on en a vu avoir assez de lait par ce moyen pour nourrir un enfant. Auprès du mont Œta, lorsque les chevres n'ont pas reçu le mâle, on leur frotte les mamelles avec de l'ortie, assez fortement pour exciter de la douleur, & on les trait. La premiere liqueur est sanguinolente : ensuite il vient une espece de pus, & enfin du lait qui ne le cede point à celui des chevres qui ont été couvertes. Les mâles, soit dans l'espece humaine, soit parmi les autres Animaux, n'ont généralement point de lait : néanmoins il y a quelques exemples contraires. A Lemnos un bouc donnoit par les mamelles, que ces Animaux ont au nombre de deux près de la verge, du lait assez abondamment pour en faire de petits fromages. On lui fit couvrir une femelle, & il en vint un bouc qui eut également du lait. Mais ces singularités sont regardées comme des présages : l'Oracle ayant été consulté sur le bouc de Lemnos, le Dieu répondit qu'il annonçoit un accroissement de fortune. On voit aussi des hommes, parvenus à l'âge de puberté, donner un peu de lait quand on presse leurs mamelles, & quelquefois, en les suçant, on en a fait venir beaucoup. Le lait a une certaine graisse qui se tourne en huile après qu'il est caillé. En Sicile & dans les autres lieux où le lait de chevres est abondant, on le mêle avec celui de brebis. Ce n'est pas seulement à raison de la plus grande abondance des parties caséeuses que le lait se coagule plus fortement, c'est aussi à raison de ce qu'il est plus chaud & plus sec. Il y a des Animaux qui ont du lait au delà de ce que demande la nourriture de leurs petits, & cet excédent fournit des fromages bons à garder. Le plus propre à cet usage est le lait de brebis & de chevre, ensuite celui de vache. On mêle le lait de cavalle & le lait d'anesse pour faire le fromage de Phrygie. Le lait de vache a plus de parties caséeuses que le lait de chevre, puisqu'au rapport des bergers on tire d'une amphore de lait de chevre dix-neuf fromages d'une obole piece, au lieu qu'une égale quantité de lait de vache en donne trente pareils. D'autres Animaux n'ont de lait absolument que ce qu'il en faut pour leurs petits : ils n'en ont point de surabondant, & ce lait ne seroit pas propre à faire des fromages. Tels sont tous les Animaux qui ont plus de deux mamelles, leur lait est peu abondant, & ne se réduit point en fromages.

On se sert pour cailler le lait du suc de figuier, ou de la présure. Le suc

ὀπὸς, εἰς ἔριον ἐξοπισθεὶς, ὅταν ἐκπλυθῇ πάλιν τὸ ἔριον εἰς
XXI. γάλα ὀλίγον· τοῦτο γὰρ κεραννύμενον, ἐκπήγνυσιν. Η δὲ πυετία, γάλα ἐστί· τῶν γὰρ ἔτι θηλαζόντων ἐστὶν ἐν τῇ κοιλίᾳ. Γίνεται οὖν ἡ πυετία, γάλα ἔχον ἐν ἑαυτῷ πῦρ, ὃ ἐκ τῆς τοῦ ζώου θερμότητος, πεττομένου τοῦ γάλακτος, γίνεται. Εχει δὲ πυετίαν τὰ μὲν μηρυκάζοντα πάντα, τῶν δ' ἀμφοδόντων δασύπους. Βελτίον δ' ἐστὶν ἡ πυετία, ὅσῳ ἂν ᾖ παλαιοτέρα· συμφέρει γὰρ πρὸς τὰς διαῤῥοίας ἡ τοιαύτη μάλιστα, καὶ ἡ τοῦ δασύποδος· ἀρίστη δὲ πυετία ἡ τοῦ νεβροῦ.

Διαφέρει δὲ τὸ πλέον ἢ ἔλαττον βδάλλεσθαι γάλα, τῶν ἐχόντων γάλα ζώων, κατά τε τὰ μεγέθη τῶν σωμάτων, καὶ τὰς τῶν ἐδεσμάτων διαφοράς. Οἷον ἐν Φάσει μὲν ἐστι βοΐδια μικρὰ, ὧν ἕκαστον βδάλλεται γάλα πολύ· αἱ δὲ Ηπειρωτικαὶ βόες αἱ μεγάλαι, βδάλλονται ἑκάστη ἀμφορέα καὶ τούτου ἥμισυ, κατὰ τοὺς δύο μαστούς. Ο δὲ βδάλλων ὀρθὸς ἕστηκεν, ἢ μικρὸν ἐπικύπτων, διὰ τὸ μὴ δύνασθαι ἂν ἐφικέσθαι καθήμενος. Γίνεται δὲ, ἔξω ὄνου, καὶ τ' ἄλλα μεγάλα τετράποδα ἐν τῇ Ηπείρῳ· μέγιστοι δὲ οἱ βόες καὶ οἱ κύνες. Νομῆς δὲ δέονται τὰ μεγάλα πλείονος· ἀλλ' ἔχει πολλὴν ἡ χώρα τοιαύτην εὐβοσίαν, καὶ καθ' ἑκάστην ὥραν ἐπιτηδείους τόπους. Μέγιστοι δὲ οἵ τε βόες εἰσὶ, καὶ τὰ πρόβατα τὰ καλούμενα Πυῤῥικὰ, τὴν ἐπωνυμίαν ἔχοντα ταύτην ἀπὸ Πύῤῥου τοῦ βασιλέως. Τῆς δὲ τροφῆς, ἡ μὲν σβέννυσι τὸ γάλα, οἷον ἡ Μηδικὴ πόα, καὶ μάλιστα τοῖς μηρυκάζουσι· ποιεῖ δὲ πολὺ ἕτερα, οἷον κύτισος καὶ ὄροβοι· πλὴν κύτισος μὲν ὁ ἀνθῶν οὐ συμφέρει, πίμπρησι γάρ· οἱ δὲ ὄροβοι ταῖς κυούσαις οὐ συμφέρουσι· τίκτουσι γὰρ χαλεπώτερον. Ολως δὲ τὰ φαγεῖν δυνάμενα τῶν τετραπόδων, ὥσπερ καὶ πρὸς τὴν κτῆσιν συμφέρει, καὶ βδάλλεται πολὺ τροφὴν ἔχοντα. Πολὺ δὲ γάλα ποιεῖ καὶ τῶν φυσωδῶν ἔνια προσφερόμενα, οἷον καὶ κυάμων πλῆθος οἰ, καὶ αἰγὶ, καὶ βοὶ, καὶ χιμαίρᾳ· ποιεῖ γὰρ καθιέναι τὸ οὖθαρ. Σημεῖον

de figuier se recueille sur de la laine après une incision faite à l'arbre, on lave la laine dans un peu de lait, & en mêlant ensuite ce lait avec d'autre, il le fait prendre. La présure est un véritable lait ; puisqu'on la trouve dans XXI. l'estomac des Animaux qui tettent encore : c'est un lait qui contient des particules ignées, formées par la chaleur de l'animal qui en a opéré la coction. Tous les Animaux qui ruminent donnent de la présure, le dasypode parmi ceux qui ont des dents également aux deux machoires en donne aussi. Plus la présure est ancienne, meilleure elle est : & c'est cette présure ancienne qu'on préfere, ainsi que celle du dasypode, pour guérir le flux de ventre. La présure qu'on tire de l'estomac du faon est excellente.

Les Animaux qui ont du lait en donnent plus ou moins selon la grandeur de leur corps, & selon les différents aliments dont ils se nourrissent. Il y a sur les bords du Phase de petites vaches qui donnnent beaucoup de lait. Les grandes vaches d'Epire en donnent chacune une amphore & demie lorsqu'on tire les deux mamelles. Celui qui les trait se tient debout, ou seulement un peu courbé : assis, il ne pourroit pas atteindre le pis. Dans l'Epire tous les quadrupedes, excepté l'âne, sont grands : sur-tout le bœuf & le chien. Ils ont aussi besoin de plus de nourriture, mais les pâturages de cette contrée sont gras & abondans, & dans chaque saison le bétail trouve des endroits où il s'accommode. Les bœufs & les brebis appellées Pyrrhiques, du nom du Roi Pyrrhus, surpassent encore les autres en grandeur. Certains aliments font perdre le lait, la luzerne par exemple, sur-tout aux Animaux qui ruminent ; d'autres en augmentent la quantité, comme l'ers & le cytise, mais le cytise en fleur n'est pas bon, il brûle. L'ers ne vaut rien non plus aux femelles pleines, il rend leur délivrance plus difficile. Les Animaux qui mangent beaucoup sont, en général, d'un meilleur produit que les autres, ils donnent du lait abondamment lorsqu'on les nourrit bien. La quantité du lait augmente encore par l'usage de certains aliments qui contiennent beaucoup d'air : par exemple des feves données en quantité aux brebis, aux vaches, aux chevres, à celles-ci même dès la premiere année, leur allongent les mamelles. C'est un signe que le lait sera abondant

δὲ τοῦ γάλα πλεῖον γενήσεσθαι, ὅταν πρὸ τοῦ τόκου τὸ οὖθαρ βλέπῃ κάτω. Γίνεται δὲ πολὺν χρόνον γάλα πᾶσι τοῖς ἔχουσιν, ἂν ἀνόχευτα διατελῇ, καὶ τὰ ἐπιτήδεια ἔχωσι· μάλιστα δὲ τῶν τετραπόδων πρόβατα, ἀμέλγεται γὰρ μῆνας ὀκτώ· ὅλως δὲ τὰ μηρυκάζοντα γάλα πολὺ καὶ χρήσιμον εἰς τυρείαν ἀμέλγεται. Περὶ δὲ Τορώνην αἱ βόες ὀλίγας ἡμέρας πρὸ τοῦ τόκου διαλείπουσι, τὸν δ᾽ ἄλλον χρόνον πάντα ἔχουσι γάλα. Τῶν δὲ γυναικῶν τὸ πελιδνότερον γάλα, βέλτιον τοῦ λευκοῦ τοῖς τιτθευομένοις· καὶ αἱ μέλαιναι τῶν λευκῶν ὑγιεινότερον ἔχουσι. Τροφιμώτερον μὲν οὖν τὸ πλεῖστον ἔχον τυρόν· ὑγιεινότερον δὲ τοῖς παιδίοις, τὸ ἔλαττον.


17. XXII. Σπέρμα δὲ προΐενται τὰ ἔχοντα αἷμα ἅπαντα· τί δὲ συμβάλλεται εἰς τὴν γένεσιν, καὶ ὅπως, ἐν ἄλλοις λεχθήσεται. Πλεῖστον δὲ, κατὰ τὸ σῶμα, ἄνθρωπος προΐεται. Ἔστι δὲ τῶν μὲν ἐχόντων τρίχας, γλίσχρον· τῶν δὲ ἄλλων ζώων, οὐκ ἔχει γλισχρότητα· λευκὸν δὲ πάντων. Ἀλλ᾽ Ἡρόδοτος διέψευσται γράψας τοὺς Αἰθίοπας προΐεσθαι μέλαιναν τὴν γονήν. Τὸ δὲ σπέρμα ἐξέρχεται μὲν λευκὸν καὶ παχὺ, ἂν ᾖ ὑγιεινόν· θύραζε δ᾽ ἐλθὸν, λεπτὸν γίνεται καὶ μέλαν. Ἐν δὲ τοῖς πάγοις οὐ πήγνυται, ἀλλὰ γίνεται πάμπαν λεπτὸν καὶ ὑδατῶδες, καὶ τὸ χρῶμα καὶ τὸ πάχος. Ὑπὸ δὲ τοῦ θερμοῦ πήγνυται καὶ παχύνεται· καὶ ὅταν ἐξίῃ χρονίσαν ἐν τῇ ὑστέρᾳ, παχύτερον ἐξέρχεται, ἐνίοτε δὲ ξηρὸν καὶ συνεστραμμένον. Καὶ τὸ μὲν γόνιμον, ἐν τῷ ὕδατι χωρεῖ κάτω· τὸ δ᾽ ἄγονον διαχεῖται. Ψευδὲς δ᾽ ἐστὶ καὶ ὃ ὁ Κτησίας γέγραφε περὶ τῆς γόνης τῶν ἐλεφάντων.



lorsqu'avant qu'une femelle mette bas ses mamelles pendent vers la terre. Les Animaux qui ont du lait, en ont long-tems, pourvu qu'on les éloigne du mâle & qu'on les soigne bien. Les brebis conservent leur lait plus long-tems que les autres quadrupedes, on peut les traire pendant huit mois. Généralement parlant, les Animaux ruminants ont beaucoup de lait, & il est bon à faire des fromages. Les vaches des environs de Torone ne cessent d'avoir du lait que peu de jours avant de mettre bas, elles en ont tout le tems qu'elles sont pleines. Chez les femmes, le lait qui approche du livide vaut mieux pour l'enfant que celui qui est absolument blanc : le lait des brunes est plus sain que celui des blondes. S'il abonde en parties caséeuses, il est plus nourrissant, mais il est plus salubre pour les enfans lorsqu'elles y sont en moindre quantité.

La liqueur spermatique appartient à tous les Animaux qui ont du sang : on 17.
dira ailleurs en quoi & comment elle sert à la génération : l'homme en fournit XXII.
plus qu'aucun autre animal par proportion au volume de son corps. Le sperme est visqueux dans les Animaux qui ont du poil : il n'a pas cette viscosité dans les autres, mais dans tous sa couleur est blanche, & Hérodote se trompe en écrivant que les Ethiopiens l'ont noir. Le sperme, s'il est dans un état sain, est blanc & épais au moment où il sort : il noircit & devient clair lorsqu'il est dehors. Le froid, fut-il assez fort pour faire geler, ne le coagule point, au contraire il devient plus liquide ; il prend la couleur & la consistance de l'eau. La chaleur le condense & le coagule : s'il sort de la matrice après y être resté quelque tems, il est plus épais, & quelquefois il en sort en rouleaux secs. Le sperme qui est prolifique tombe au fonds de l'eau : s'il ne l'est pas il s'étend sur la surface. Ctésias a rapporté sur le sperme de l'Eléphant des observations qui sont fausses.





HISTOIRE DES ANIMAUX.

LIVRE QUATRIEME.

Sujet de ce Livre.


Les trois Livres précedents ont fait connoître l'Homme & les autres Animaux que le ſang, cette partie eſſentielle à leur être comme au ſien, raſſemble avec lui dans une même claſſe. Il eſt maintenant queſtion d'Animaux d'une claſſe différente : Ariſtote va décrire ceux qui n'ont point de ſang. Dans cette ſeconde claſſe ainſi que dans celle des Animaux qui ont du ſang, combien de genres divers ! Là on a vu ſe ſuccéder l'Homme, les quadrupedes vivipares & ovipares, les ſinges, les oiſeaux, les poiſſons, les reptiles ; ici les molluſques, les cruſtacées, les teſtacées, les inſectes, paſſent ſous les yeux les uns à la ſuite des autres ; & de même qu'à l'égard des Animaux qui ont du ſang, Ariſtote a décrit leurs parties extérieures & leurs parties intérieures, les parties organiques qui conſtituent l'enſemble de leur corps & les parties ſimples qui en ſont les élemens ; il décrira auſſi par rapport aux Animaux qui n'ont point de ſang, les parties qui ſe découvrent en les conſidérant à l'extérieur, & celles que l'œil n'apperçoit qu'en pénétrant juſques dans leur intérieur ; il fera l'énumération du petit nombre

de

de leurs parties organiques & il développera la nature des élémens qui entrent dans leur ſubſtance.

Ces détails particuliers aux Animaux qui n'ont point de ſang n'occupent qu'une portion du quatrieme Livre. Il comprend une ſeconde partie plus générale dans ſon objet que la premiere, en ce qu'Ariſtote y parle indifféremment des Animaux de quelque claſſe qu'ils ſoient: il y traite des ſenſations des Animaux, de leur voix, de leur ſommeil & de leur veille, de la différence des ſexes. Tous n'ont point les mêmes ſenſations, tous n'ont pas celles qu'ils poſſédent au même dégré de perfection. La voix eſt ſuſceptible de divers tons, & il y a des Animaux qui ſont abſolument muets. Le ſommeil & la veille ne partagent pas toujours la durée de leur exiſtence de la même maniere. La différence des ſexes n'a pas également lieu chez tous: & la variété à ces égards n'eſt pas moins intéreſſante que l'eſt celle qu'on remarque entre les parties conſtitutives des individus de chaque eſpece.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Δ.

1. ΠΕΡΙ μὲν οὖν τῶν ἀναίμων ζώων, ὅσα τε κοινὰ ἔχουσι μέρη, καὶ ὅσα ἴδια ἕκαστον γένος, καὶ τῶν ἀνομοιομερῶν καὶ τῶν ὁμοιομερῶν, καὶ ὅσα ἐντὸς, καὶ ὅσα ἐκτὸς, εἴρηται πρότερον· περὶ δὲ τῶν ἀναίμων ζώων νυνὶ λεκτέον. Ἔστι δὲ γένη πλείω· ἓν μὲν, τὸ τῶν καλουμένων μαλακίων· ταῦτα δ' ἐστὶν, ὅσα ἄναιμα ὄντα, ἐκτὸς ἔχει τὸ σαρκῶδες, ἐντὸς δὲ τὸ στερεὸν, καθάπερ καὶ τὰ ἔναιμα, οἷον τὸ τῶν σηπιῶν γένος. Ἓν δὲ τὸ τῶν μαλακοστράκων· ταῦτα δ' ἐστὶν, ὅσα τὸ μὲν στερεὸν ἐκτὸς ἔχουσιν, ἐντὸς δὲ τὸ μαλακὸν καὶ σαρκῶδες· τὸ δὲ σκληρὸν αὐτῶν ἐστιν οὐ θραυστὸν, ἀλλὰ φλαστόν· οἷόν ἐστι τό τε τῶν καράβων γένος καὶ τὸ τῶν καρκίνων. Ἓν δὲ τὸ τῶν ὀστρακοδέρμων· τοιαῦτα δ' ἐστὶν ὧν ἐντὸς μὲν τὸ σαρκῶδές ἐστιν, ἐκτὸς δὲ τὸ στερεὸν, θραυστὸν ὂν καὶ κατακτὸν ἀλλ' οὐ φλαστόν. Τοιοῦτο δὲ τὸ τῶν κόχλων, καὶ τὸ τῶν ὀστρέων γένος ἐστί. Τέταρτον δὲ, τὸ τῶν ἐντόμων, ὃ πολλὰ καὶ ἀνόμοια εἴδη περιείληφε ζώων. Ἔστι δ' ἔντομα ὅσα, κατὰ τοὔνομα, ἐστὶν ἐντομὰς ἔχοντα, ἢ ἐν τοῖς ὑπτίοις, ἢ ἐν τοῖς πρανέσιν, ἢ ἐν ἀμφοῖν· καὶ οὔτε ὀστῶδες ἔχει κεχωρισμένον, οὔτε σαρκῶδες, ἀλλὰ μέσον ἀμφοῖν· τὸ σῶμα γὰρ ὁμοίως καὶ ἔσω καὶ ἔξω σκληρόν ἐστιν αὐτῶν. Ἔστι δ' ἔντομα καὶ ἄπτερα, οἷον ἴουλος καὶ σκολόπενδρα· καὶ πτερωτὰ, οἷον μέλιττα, καὶ μηλολόνθη, καὶ σφήξ· καὶ ταὐτὸ δὲ γένος αὐτῶν ἐστι καὶ πτερωτὸν καὶ ἄπτερον· οἷον μύρμηκές εἰσι καὶ πτερωτοὶ καὶ ἄπτεροι, καὶ αἱ καλούμεναι πυγολαμπίδες.

2. Τῶν μὲν οὖν μαλακίων καλουμένων, τὰ μὲν ἔξω μόρια, ταῦ-



HISTOIRE DES ANIMAUX.

LIVRE QUATRIEME.

J'AI parlé des Animaux qui ont du sang ; j'ai traité des parties qui sont communes à tous ou propres à chaque genre, des parties similaires & des parties composées, des parties internes & des parties externes : passons aux Animaux qui n'ont point de sang. Il y en a plusieurs genres. Le premier est celui qu'on nomme des *mollusques ;* ce sont, parmi les Animaux qui n'ont point de sang, ceux dont les parties charnues sont au dehors, & les parties solides en dedans, ainsi qu'elles se trouvent chez les Animaux sanguins : tel est le genre des seches. Un second genre est celui des *crustacées :* ceux-ci ont les parties solides au dehors, les parties molles & charnues au dedans. Leurs parties solides se rompent plutôt qu'elles ne se brisent. Tel est le genre des langoustes & des cancres. Les *testacées* forment un troisiéme genre. Ils ont aussi les parties charnues au dedans, les parties solides au dehors ; & celles-ci sont de nature à ne se pas rompre simplement, mais à se briser & se casser en morceaux : de ce genre sont les limaçons & les huitres. Le quatriéme genre est celui des *insectes* qui renferme un grand nombre d'especes différentes. Il est composé, comme l'indique le nom même, des Animaux dont le corps est partagé par des incisions ou en dessus, ou en dessous, ou sur le dessus & le dessous également. On ne peut pas dire de ceux-là qu'ils ayent ni les parties solides, ni la chair séparément ou en dedans ou en dehors : ils tiennent le milieu entre les deux genres, & leur corps est ferme en dedans & en dehors. Il y a des insectes sans aîles, par exemple l'iule, & la scolopendre; d'autres aîlés, comme l'abeille, le scarabée, la guepe. Quelquefois le même genre comprend des insectes aîlés & non aîlés : c'est ainsi qu'il y a des fourmis sans aîles, & d'autres avec des aîles : tels sont aussi ces insectes qu'on nomme cu-luisans. I.

Les mollusques offrent à l'extérieur les parties que voici. D'abord, ce 2.

τά ἐςιν· ἓν μὲν οἱ καλέμϑυοι πόδες· δεύτερον δὲ, τούτων ἐχομένη, ἡ κεφαλή· τρίτον δὲ τὸ κύτος, ὃ περιέχει πᾶν τὸ σῶμα, καὶ καλῦσιν αὐτὸ κεφαλήν τινες ὐκ ὀρθῶς καλῦντες· ἔτι δὲ πτερύγια κύκλῳ περὶ τὸ κύτος. Συμβαίνει δ᾽ ἐν πᾶσι τοῖς μαλακίοις μεταξὺ τῶν ποδῶν καὶ τῆς γαςρὸς εἶναι τὴν κεφαλήν. Πόδας μὲν οὖν ὀκτὼ πάντ᾽ ἔχει, καὶ τύτυς δικοτύλυς πάντα, πλὴν ἑνὸς γένυς πολυπόδων. Ἰδίᾳ δ᾽ ἔχυσιν αἵ τε σηπίαι, καὶ αἱ τευθίδες, καὶ οἱ τευθοὶ, δύο προβοσκίδας μακρὰς καὶ ἐπ᾽ ἄκρων τραχύτητα ἐχούσας δικότυλον, αἷς προσάγονταί τε καὶ λαμβάνυσιν εἰς τὸ ςόμα τὴν τροφήν. Καὶ ὅταν χειμὼν ᾖ, βαλλόμϑυαι πρός τινα πέτραν, ὥσπερ ἄγκυραν, ἀποσαλεύυσι. Τοῖς δὲ πτερυγίοις ἃ ἔχουσι περὶ τὸ κύτος νέουσιν. Ἐπὶ δὲ τῶν ποδῶν αἱ κοτυληδόνες ἅπασίν εἰσιν. Ὁ μὲν οὖν πολύπους, καὶ ὡς ποσὶ, καὶ ὡς χερσὶ, χρῆται ταῖς πλεκτάναις. Προσάγει μὲν ὖν ταῖς δυσὶ, ταῖς ὑπὲρ τῦ ςόματος· τῇ δ᾽ ἐσχάτῃ τῶν πλεκτανῶν, ἥ ἐςιν ὀξυτάτη τε καὶ μόνη περίλευκος αὐτῶν, καὶ ἐξ ἄκρου δικρόα, ἔςι δ᾽ αὐτὴ ἐπὶ τῇ ῥάχει· καλεῖται δὲ ῥάχις τὸ λεῖον, ὖ πρόσω αἱ κοτυληδόνες εἰσί· ταύτῃ τῇ πλεκτάνῃ χρῆται ἐν ταῖς ὀχείαις. Πρὸ τῦ κύτυς δὲ, ὑπὲρ τῶν πλεκτανῶν, ἔχουσι κοῖλον αὐλὸν, ᾧ τὴν θάλασσαν ἀφιᾶσι δεξάμϑυοι τῷ κύτει, ὅταν τι τῷ ςόματι λαμβάνωσι. Μεταβάλλει δὲ τῦτο ὁτὲ μὲν εἰς τὰ δεξιὰ, ὁτὲ δὲ εἰς τὰ εὐώνυμα. Ἀφιᾶσι δὲ καὶ τὸν θολὸν ταύτῃ. Νεῖ δὲ πλάγιος, ἐπὶ τὴν καλουμένην κεφαλὴν ἐκτείνων τὺς πόδας· οὕτω δὲ νέοντι συμβαίνει προορᾶν μὲν εἰς τὸ πρόσθεν· ἐπάνω γάρ εἰσιν οἱ ὀφθαλμοί· τὸ δὲ ςόμα ἔχει ὄπισθεν· τὴν δὲ κεφαλὴν, ἕως ἂν ζῇ, σκληρὰν ἔχει, καθάπερ ἐμπεφυσημένην. Ἅπτεται δὲ καὶ κατέχει ταῖς πλεκτάναις ὑπτίαις· καὶ ὁ μεταξὺ τῶν ποδῶν ὑμὴν διατέταται πᾶς. Ἐὰν δὲ εἰς τὴν ἄμμον ἐμπέσῃ, ὐκ ἔτι δύναται κατέχειν.

Ἔχυσι δὲ διαφορὰν, οἵ τε πολύποδες, καὶ τὰ εἰρημένα τῶν

qu'on nomme leurs pieds. Après les pieds, la tête qui les fuit ; troifiémement le tronc qui couvre le refte de leur corps, & que quelques-uns appellent la tête, mais mal à propos ; enfin les nageoires qui entourent le tronc. Il eft commun à tous les mollufques d'avoir la tête placée entre les pieds & le ventre, & d'avoir huit pieds : tous, excepté un feul genre de polypes, ont à ces pieds une double cellule. Il eft particulier à la feche, au grand & au petit calmar d'avoir deux trompes longues & terminées par une afpérité qui a double cellule : elles leur fervent pour faifir leur nourriture & la porter à la bouche. S'il s'éleve une tempête, ces Animaux jettent leurs trompes fur un rocher, comme une ancre qui les affure contre les flots. Pour fe mouvoir dans l'eau ils fe fervent des nageoires qui environnent leur tronc. Les pieds de tous les mollufques ont des cellules, & ces membres fervent au polype de pieds & de mains. Les deux qui font au deffus de fa bouche y portent les alimens ; le dernier, le plus pointu de tous, le feul qui foit blanchâtre & féparé en deux à fon extrémité, lui fert dans l'accouplement. Il eft placé fur l'épine : on nomme ainfi dans le polype la partie liffe fur le devant de laquelle commencent les cellules. En avant du tronc & au deffus des bras, eft un canal par lequel les polypes rejettent l'eau qui paffe dans leur corps quand ils ouvrent la bouche pour faifir leur proie. Ils le dirigent tantôt à droite, tantôt à gauche, & c'eft par ce même canal qu'ils jettent leur encre. Le polype nage de côté, en étendant les pieds vers ce qu'on appelle fa tête : il voit ainfi ce qui eft devant lui, fes yeux étant en haut ; pour fa bouche, elle eft en arriere. Tant qu'il vit fa tête eft ferme, & comme fi elle étoit enflée. Il faifit fa proie & la retient avec le dedans de fes bras ; la membrane qui eft entre eux s'étend alors toute entiere : mais s'il fe trouve fur le fable il ne peut plus retenir ce qu'il avoit faifi.

Les polypes comparés avec les autres mollufques different d'eux en ce

μαλακίων. Τῶν μὲν γὰρ πολυπόδων, τὸ μὲν κύτος μικρὸν, οἱ δὲ πόδες, μακροί εἰσι· τῶν δὲ, τὸ μὲν κύτος μέγα, οἱ δ᾽ πόδες βραχεῖς, ὥστε μὴ πορεύεσθαι ἐπ᾽ αὐτοῖς. Αὐτῶν δ᾽ πρὸς αὐτὰ, τὸ μὲν μακρότερόν ἐστιν ἡ τευθὶς, ἡ δὲ σηπία πλατύτερον. Τῶν δὲ τευθίδων; οἱ τευθοὶ καλούμενοι ἐπιπολὺ μείζους· γίγνονται γὰρ καὶ πέντε πήχεων τὸ μέγεθος· γίγνονται δὲ καὶ σηπίαι ἔνιαι διπήχεις· καὶ πολυπόδων πλεκτάναι τηλικαῦται, καὶ μείζους ἐπὶ τὸ μέγεθος· ἔστι δὲ τὸ γένος ὀλίγον τῶν τευθῶν. Διαφέρουσι δὲ τῷ σχήματι τῶν τευθίδων οἱ τευθοί, πλατύτερον γάρ ἐστι τὸ ὀξὺ τῶν τεύθων· ἔτι δὲ τὸ κύκλῳ πτερύγιον, περὶ ἅπαν ἐστὶ τὸ κύτος· τῇ δὲ τευθίδι, ἔλασσον. Ἐστι δὲ πελάγιον ὥσπερ καὶ ἡ τευθίς.

Μετὰ δὲ τοὺς πόδας ἡ κεφαλή ἐστιν ἁπάντων ἐν μέσῳ τῶν ποδῶν, τῶν καλουμένων πλεκτανῶν. Ταύτης δὲ τὸ μέν ἐστι στόμα, ἐν ᾧ εἰσι δύο ὀδόντες· ὑπὲρ δὲ τούτων ὀφθαλμοὶ μεγάλοι δύο, ὧν τὸ μεταξὺ μικρὸς χόνδρος ἔχων ἐγκέφαλον μικρόν. Ἐν δ᾽ τῷ στόματί ἐστι μικρὸν σαρκῶδες· γλῶτταν δ᾽ οὐκ ἔχει αὐτῶν οὐδ᾽ ἕν· ἀλλὰ τούτῳ χρῆται ἀντὶ γλώττης. Μετὰ δ᾽ τοῦτο ἔξωθεν μέν ἐστιν ἰδεῖν τὸ φαινόμενον κύτος· ἔστι δ᾽ αὐτοῦ ἡ σὰρξ σχιστὴ οὐκ εἰς εὐθὺ μέντοι, ἀλλὰ κύκλῳ· δέρμα δ᾽ ἔχουσι πάντα τὰ μαλάκια περὶ ταύτην.

Μετὰ δὲ τὸ στόμα ἔχουσιν οἰσοφάγον μακρὸν καὶ στενόν· ἐχόμενον δὲ τούτου πρόλοβον μέγαν, καὶ παρεμφερῆ ὄρνιθι. Τούτου δ᾽ ἔχεται ἡ κοιλία, οἷον ἤνυστρον· τὸ δὲ σχῆμα, ὁμοία τῇ ἐν τοῖς κήρυξιν ἑλίκῃ. Ἀπὸ δὲ ταύτης ἄνω πάλιν φέρει πρὸς τὸ στόμα ἔντερον λεπτόν· παχύτερον δ᾽ ἐστὶ τοῦ στομάχου τὸ ἔντερον. Σπλάγχνον δ᾽ οὐδὲν ἔχει τῶν μαλακίων, ἀλλ᾽ ἣν καλοῦσι μύτιν, καὶ ἐπὶ ταύτῃ θολόν. Τοῦτον δὲ ἐπὶ πλεῖστον αὐτὸν καὶ μέγιστον ἡ σηπία ἔχει. Ἀφίησι μὲν οὖν ἅπαντα ὅταν φοβηθῇ· μάλιστα δὲ ἡ σηπία. Ἡ μὲν οὖν μύτις κεῖται ὑπὸ τὸ στόμα,

que le polype a le tronc petit & les pieds longs, au lieu que les autres mollusques ont le tronc grand & les pieds courts, ce qui est cause qu'ils ne peuvent s'en servir pour marcher. En comparant ces autres mollusques entre eux, on voit que le calmar est plus allongé, la seche plus large. Des deux calmars, celui qu'on nomme le grand l'est en effet beaucoup plus que les autres : il y en a de cinq coudées ; on voit quelquefois des seches de deux coudées. Les bras des polypes, ont cette longueur; quelquefois davantage. Le genre des grands calmars est peu nombreux : leur figure différe de celle des autres, en ce que leur pointe est plus large, & en ce que les nageoires qui dans le grand calmar environnent la totalité du tronc, ne l'environnent pas de même dans le petit : ils habitent l'un & l'autre la pleine mer.

Après les pieds se trouve la tête, elle est toujours placée au milieu de ces pieds auxquels on donne encore le nom de filets. Les parties de la tête sont la bouche qui a deux dents, & au dessus des dents deux grands yeux: entre les yeux est un petit cartilage contenant un peu de cervelle. Aucun mollusque n'a de langue ; ils ont seulement dans la bouche un petit corps charnu qui leur en tient lieu. Après la tête, le tronc est la derniere partie apparente au dehors. La chair dont il est composé ne se divise point suivant des lignes droites, mais circulairement, & chez tous elle est entourée d'une peau.

La bouche des mollusques précéde un œsophage long & étroit, suivi d'un ample jabot semblable à celui des oiseaux. Vient ensuite un estomac tel que la caillette des Animaux ruminans, & dont l'extérieur ressemble aux spires des buccins. De l'estomac, revient vers la bouche un intestin mince, plus épais cependant que n'est l'œsophage. Aucun des mollusques n'a de visceres, mais seulement ce que nous nommons la *mytis* où est contenue l'encre. La seche a cette liqueur plus abondante que les autres, & son reservoir est plus grand. Tous, & particulierement la seche, jettent leur encre lorsque la peur les saisit. Le reservoir de l'encre est situé au dessous de la bouche, & l'œsophage le traverse. Le canal qui vient du reservoir de

καὶ διὰ ταύτης τείνει ὁ στόμαχος· ᾗ δὲ τὸ ἔντερον ἀνατείνει κάτωθεν ὁ θολὸς, καὶ τῷ αὐτῷ ὑμένι ἔχει περιεχόμενον τὸν πόρον τῷ ἐντέρῳ· καὶ ἀφίησι κατὰ ταὐτὸν τόν τε θολὸν καὶ τὸ περίττωμα. Ἔχουσι δὲ καὶ τριχώδη ἄττα ἐν τῷ σώματι.

Τῇ μὲν οὖν σηπίᾳ, καὶ τῇ τευθίδι, καὶ τῷ τεύθῳ ἐντός ἐστι τὰ στερεὰ, ἐν τῷ πρανεῖ τοῦ σώματος, ἃ καλοῦσι, τὸ μὲν σήπιον, τὸ δὲ ξίφος· διαφέρει δέ· τὸ μὲν γὰρ σήπιον ἰσχυρὸν καὶ πλατύ ἐστι, μεταξὺ ἀκάνθης καὶ ὀστοῦ, ἔχον ἐν αὐτῷ ψαθυρότητα σομφώδη· τὸ δὲ τῶν τευθίδων, λεπτὸν καὶ χονδρωδέστερον· τῷ δὲ σχήματι διαφέρουσιν ἀλλήλων, ὥσπερ καὶ τὰ κύτη. Οἱ δὲ πολύποδες οὐκ ἔχουσιν ἔσω στερεὸν τοιοῦτον οὐδὲν, ἀλλὰ περὶ τὴν κεφαλὴν χονδρῶδες, ὃ γίνεται, ἐάν τις αὐτῶν παλαιωθῇ, σκληρόν. Τὰ δὲ θήλεα τῶν ἀῤῥένων διαφέρουσι· οἱ μὲν γὰρ ἄῤῥενες, ἔχουσι πόρον ὑπὸ τὸν στόμαχον, ἀπὸ τοῦ ἐγκεφάλου τείνοντα πρὸς τὰ κάτω τοῦ κύτους· ἔστι δὲ πρὸς ὃ τείνει, ὅμοιον μαστῷ· ἐν δὲ ταῖς θηλείαις δύο τε ταῦτ᾽ ἐστὶ, καὶ ἄνω· ἀμφοτέροις δὲ ὑπὸ ταῦτα ἐρυθρὰ ἄττα σωμάτια πρόσεστι.

Τὸ δ᾽ ᾠὸν ὁ μὲν πολύπους καὶ ἀνώμαλον ἔξωθεν καὶ μέγα ἔχει, ἔσω δὲ τὸ ὑγρὸν ὁμόχρουν ἅπαν καὶ λεῖον, χρῶμα δὲ λευκόν· τὸ δὲ πλῆθος τοῦ ᾠοῦ τοσοῦτον ὥστε πληροῦν ἀγγεῖον μεῖζον τῆς τοῦ πολύποδος κεφαλῆς. Η δὲ σηπία, δύο τε τὰ κύτη, καὶ πολλὰ ᾠὰ ἐν τούτοις, χαλάζαις ὅμοια λευκαῖς. Ἕκαστα δὲ τούτων ὡς κεῖται τῶν μορίων, θεωρείσθω ἐκ τῆς ἐν ταῖς ἀνατομαῖς διαγραφῆς. Πάντα δὲ τὰ ἄῤῥενα ταῦτα τῶν θηλειῶν διαφέρει, καὶ μάλιστα ἡ σηπία. Τά τε γὰρ πρανῆ τοῦ κύτους πάντα μελάντερα τῶν ὑπτίων, τραχύτερά τε πάντα ἔχει ὁ ἄῤῥην τῆς θηλείας, καὶ διαποίκιλα ῥάβδοις, καὶ τὸ οὐροπύγιον ὀξύτερον.

Ἔστι δὲ γένη πλείω πολυπόδων· ἓν μὲν τὸ μάλιστ᾽ ἐπιπολάζον, καὶ μέγιστον αὐτῶν· εἰσὶ δὲ πολὺ μείζους οἱ πρόσγειοι τῶν πελαγίων· ἔτι δὲ ἄλλοι μικροὶ, ποικίλοι, οἳ οὐκ ἐσθίονται· ἄλλα

l'encre

l'encre tend en bas vers le même lieu que l'inteſtin : leurs extrémités ſont enveloppées d'une membrane commune, & c'eſt par le même orifice que les molluſques jettent leur encre & leurs excrémens. Enfin les molluſques ont dans le corps des eſpeces de poils.

La ſeche, le grand & le petit calmar ont, ainſi que je l'ai dit, la partie ſolide de leur corps en dedans. Elle eſt à la région de leur corps qui eſt tournée vers le ciel : c'eſt ce qu'on appelle dans la premiere, l'os de la ſeche, & dans les calmars, le glaive. L'os de la ſeche eſt fort & large ; il eſt d'une ſubſtance qui tient le milieu entre l'os & l'arrête ; l'intérieur eſt poreux & friable. Le glaive du calmar eſt mince & il approche plus de la nature du cartilage. La figure de ces parties eſt d'ailleurs différente dans les calmars & dans la ſeche, comme celle du tronc l'eſt elle-même. Les polypes n'ont en dedans de leur corps aucune partie ſolide de ce genre, ils ont ſeulement autour de la tête une partie cartilagineuſe qui ſe durcit dans les vieux polypes. Les femelles different des mâles, en ce que ceux-ci ont, au deſſous de l'œſophage, un conduit qui va de la cervelle à la partie inférieure du tronc ; le point où il ſe termine reſſemble à un mamellon ; au lieu que dans les femelles il y a deux de ces conduits & ils ſont placés en haut. Dans l'un & l'autre ſexe, il y a auprès de ces points & au deſſous, comme de petits corps rouges.

L'œuf du polype forme une maſſe unique, groſſe & dont la ſurface extérieure eſt inégale : le dedans eſt liſſe, & toute la liqueur que l'œuf renferme eſt d'une ſeule couleur ; cette couleur eſt blanche. Son volume eſt tel que ce qu'il contient empliroit un vaſe plus grand que ne l'eſt la tête du polype. La ſeche dépoſe comme deux ſacs diſtincts, dont chacun contient une grande quantité d'œufs blancs, qui reſſemblent à des grains de grêle. Le détail de la diſpoſition de ces parties doit ſe voir dans les tables anatomiques. Les mâles de toutes ces eſpeces ſe diſtinguent de leurs femelles : le mâle de la ſeche eſt le plus aiſé à reconnoître. Il a le deſſus du tronc plus noir que le deſſous, & toutes ſes parties ſont plus rudes que ne le ſont celles de la femelle. Il eſt d'ailleurs rayé de teintes différentes, & l'extrémité de ſon corps eſt plus pointue.

Les polypes ſe partagent en pluſieurs genres. Le premier renferme les plus grands polypes, ceux qu'on voit le plus fréquemment à la ſurface de l'eau. Les polypes qui ſuivent les côtes ſont beaucoup plus grands que ceux qui

τε δύο, ἥ τε καλουμένη ἐλεδώνη, μήκει τε διαφέρουσα τῷ τῶν ποδῶν, καὶ τῷ μονοκότυλον εἶναι μόνην μαλακίων· τὰ γὰρ ἄλλα πάντα δικότυλά ἐστι· καὶ ἣν καλοῦσιν οἱ μὲν βολίταιναν, οἱ δ' ὄζολιν. Ἔτι δ' ἄλλοι δύο ἐν ὀστρείοις· ὅ τε καλούμενος ὑπό τινων ναυτίλος, καὶ ναυτικὸς ὑπ' ἐνίων. Ἔστι δ' οἷον πολύπους. Τὸ δὲ ὄστρακον αὐτοῦ ἐστιν οἷον κτεὶς κοῖλος, καὶ οὐ συμφυὲς ἔτος· νέμεται πολλάκις παρὰ τὴν γῆν, εἶθ' ὑπὸ τῶν κυμάτων ἐκκλύζεται εἰς τὸ ξηρὸν, καὶ περιπεσόντος τοῦ ὀστρέου ἁλίσκεται, καὶ ἐν τῇ γῇ ἀποθνήσκει. Εἰσὶ δ' αὐτοὶ μικροὶ, τῷ εἴδει δὲ ὅμοιοι ταῖς βολιταίναις. Καὶ ἄλλος ἐν ὀστράκῳ, οἷον κοχλίας, ὃς οὐκ ἐξέρχεται ἐκ τοῦ ὀστράκου, ἀλλ' ἔνεστιν ὥσπερ ὁ κοχλίας, καὶ ἔξω ἐνίοτε προτείνει τὰς πλεκτάνας.

3. II. Περὶ μὲν οὖν τῶν μαλακίων εἴρηται. Τῶν δὲ μαλακοστράκων, ἓν μέν ἐστι τὸ γένος τὸ τῶν καράβων· καὶ τούτῳ παραπλήσιον ἕτερον τὸ τῶν καλουμένων ἀστακῶν, οὗτοι δὲ διαφέρουσι τῶν καράβων, τῷ ἔχειν χηλὰς, καὶ ἄλλας τινὰς διαφορὰς οὐ πολλάς· ἓν δὲ τὸ τῶν καρίδων, καὶ ἄλλο τὸ τῶν καρκίνων. Γένη δὲ πλείω τῶν καρίδων ἐστὶ καὶ τῶν καρκίνων. Τῶν μὲν γὰρ καρίδων, αἵ τε κυφαὶ, καὶ αἱ κράγγονες, καὶ τὸ μικρὸν γένος· αὗται γὰρ οὐ γίνονται μείζους. Τῶν δὲ καρκίνων παντοδαπώτερον τὸ γένος, καὶ οὐκ εὐαρίθμητον. Μέγιστον μὲν οὖν ἐστιν ἃς καλοῦσι μαίας· δεύτερον δὲ, οἵ τε πάγουροι, καὶ οἱ Ἡρακλεωτικοὶ καρκίνοι· ἔτι δ' οἱ ποτάμιοι. Οἱ δ' ἄλλοι ἐλάττους, καὶ ἀνωνυμώτεροι. Περὶ δὲ τὴν Φοινίκην γίνονται ἐν τῷ αἰγιαλῷ, οὓς καλοῦσιν ἱππεῖς, διὰ τὸ οὕτω ταχέως θεῖν, ὥστε μὴ ῥᾴδιον εἶναι καταλαβεῖν· ἀνοιχθέντες δὲ κενοὶ, διὰ τὸ μὴ ἔχειν νομήν. Ἔστι δὲ καὶ ἕτερον γένος μικρὸν μὲν ὥσπερ οἱ καρκίνοι, τὸ δὲ εἶδος ὅμοιον τοῖς ἀστακοῖς. Πάντα μὲν οὖν ταῦτα, καθάπερ εἴρηται πρότερον, τὸ μὲν στερεὸν καὶ ὀστρακῶδες ἐκτὸς ἔχει ἐν τῇ χώρᾳ τῇ τοῦ δέρματος· τὸ δὲ σαρκῶδες ἐντός. Τὰ δ' ἐν τοῖς ὑπτίοις πλακωδέστερα, εἰς ἃ καὶ ἐντίκτουσιν αἱ θήλειαι.

habitent la haute mer. Le ſecond genre eſt composé de petits polypes tachetés, qu'on ne mange pas. *L'heledone* & la *bolitæne* ou *l'ozolis*, car on lui donne ces deux noms, forment deux autres genres. Le premier eſt reconnoiſſable ſoit à la longueur de ſes pieds, ſoit parceque c'eſt le ſeul des molluſques qui ait ſes cellules ſimples; celles de tous les autres étant doubles. On diſtingue encore deux genres de polypes qui habitent des coquilles : l'un eſt appellé par quelques-uns le nautile, par d'autres le nautique. L'animal reſſemble aux polypes, ſa coquille reſſemble à celle d'un petoncle qui ſeroit creuſe, & l'animal n'y eſt point attaché. Ce polype cherche ordinairement ſa nourriture le long des terres; quelquefois le flot le jette ſur la côte, & ſa coquille venant à tomber, il eſt pris & meurt à terre : il eſt petit & de la figure de la *bolitæne*. L'autre polype qui loge dans une coquille reſſemble au limaçon; il ſe tient dans ſa coquille & n'en ſort non plus que le limaçon: par fois ſeulement il avance ſes bras en dehors.

Voilà ce qui regarde les molluſques. Parmi les cruſtacées, le premier genre eſt celui des langouſtes. Un ſecond genre aſſez voiſin de ce premier, eſt celui des écreviſſes qui ne différent des langouſtes que par les pinces, & par quelques autres variétés peu nombreuſes. Les ſquilles forment un troiſieme genre, & les cancres un quatrieme; mais ces deux derniers genres ſe ſubdiviſent en un grand nombre d'autres. Entre les ſquilles on diſtingue les ſquilles boſſues, les cranges, & les ſquilles de la petite eſpece, ainſi nommées parce qu'elles ne deviennent point groſſes. Les diverſes eſpeces de cancres ſont bien plus multipliées, & il ſeroit difficile d'en faire le dénombrement. L'eſpece la plus grande eſt celle du cancre qu'on appelle *Maia*, enſuite celle des *pagures* & celle des *Héracléotiques*. Les cancres de riviere ſuivent, puis d'autres cancres plus petits & qui ne ſont gueres connus ſous des noms particuliers. Sur les côtes de Phénicie, il y en a qu'on appelle cancres cavaliers, parce qu'ils courent ſi vîte qu'on a de la peine à les ſaiſir : en les ouvrant on les trouve vuides, ce qui vient du défaut de nourriture. Il y a encore une autre eſpece de cancres, petits pour des cancres & ſemblables pour la forme extérieure aux écreviſſes. Dans tous ces Animaux, comme je l'ai déja obſervé, la partie ferme & dont la ſubſtance tient de celle de la coquille, eſt extérieure; elle occupe le lieu de la peau. La partie charnue eſt en dedans. Le deſſous de leur corps eſt composé de pluſieurs tablettes, c'eſt là que les femelles dépoſent leurs œufs. 3. II.

Πόδας δ' οἱ μὲν κάραβοι ἐφ' ἑκάτερα ἔχουσιν πέντε σὺν ταῖς ἐσχάταις χηλαῖς· ὁμοίως δὲ καὶ οἱ καρκίνοι δέκα τοὺς πάντας σὺν ταῖς χηλαῖς. Τῶν δὲ καρίδων, αἱ μὲν κύφαι πέντε μὲν ἐφ' ἑκάτερα ἔχουσιν ὀξεῖς τοὺς πρὸς τῇ κεφαλῇ· ἄλλους δὲ πέντε ἐφ' ἑκάτερα κατὰ τὴν γαστέρα, τὰ ἄκρα ἔχοντας πλατέα· πλάκας δὲ ἐν τοῖς ὑπτίοις οὐκ ἔχουσι· τὰ δ' ἐν τοῖς πρανέσιν ὅμοια τοῖς καράβοις. Η δὲ κράγγη, τὸ ἀνάπαλιν· τοὺς πρώτους γὰρ ἔχει τέτταρας ἐφ' ἑκάτερα, εἶτ' ἄλλους ἐχομένους λεπτοὺς τρεῖς ἐφ' ἑκάτερα· τὸ δὲ λοιπὸν πλεῖον μόριον τοῦ σώματος ἄπουν ἐστί. Κάμπτονται δ' οἱ μὲν πόδες πάντων εἰς τὸ πλάγιον, ὥσπερ καὶ τῶν ἐντόμων· αἱ δὲ χηλαὶ, ὅσα ἔχει χηλὰς, εἰς τὸ ἐντός. Εχει δ' ὁ κάραβος καὶ κέρκον, πτερύγια δὲ πέντε· καὶ ἡ καρὶς ἡ κύφη τὴν οὐρὰν, καὶ πτερύγια τέσσαρα· ἔχει δὲ καὶ ἡ κράγγη πτερύγια ἐφ' ἑκάτερα ἐν τῇ οὐρᾷ. Τὸ δὲ μέσον αὐτῶν, ἀκανθώδες ἀμφότεραι· πλὴν αὗται μὲν πλατὺ, ἡ δὲ κύφη ὀξύ· ὁ δὲ καρκίνος μόνος τῶν τοιούτων ἀνορροπύγιον· καὶ τὸ σῶμα, τὸ μὲν τῶν καράβων καὶ καρίδων πρόμηκες· τὸ δὲ τῶν καρκίνων, στρογγύλον.

Διαφέρει δ' ὁ κάραβος ὁ ἄῤῥην τῆς θηλείας. Τῆς μὲν γὰρ θηλείας ὁ πρῶτος ποὺς δίκρους ἐστὶ, τοῦ δ' ἄῤῥενος μώνυξ· καὶ τὰ πτερύγια, τὰ ἐν τῷ ὑπτίῳ, ἡ μὲν θήλεια μεγάλα ἔχει, καὶ ἐπ' ἔλαττον τὰ πρὸς τῷ τραχήλῳ· ὁ δ' ἄῤῥην ἐλάττω, καὶ οὐκ ἐπ' ἐλάττονα· ἔτι τοῦ μὲν ἄῤῥενος ἐν τοῖς τελευταίοις ποσὶ μεγάλα καὶ ὀξέα ἐστὶν, ὥσπερ πλῆκτρα· τῆς δὲ θηλείας ταῦτα μικρὰ καὶ λεῖα. Ομοίως δ' ἔχουσιν ἀμφότερα κεραίας δύο πρὸ τῶν ὀφθαλμῶν μεγάλας καὶ τραχείας, καὶ ἄλλα κεράτια μικρὰ ὑποκάτω λεῖα. Τὰ δ' ὄμματα τούτων ἁπάντων ἐστὶ σκληρόφθαλμα, καὶ κινεῖται καὶ ἐντὸς, καὶ ἐκτὸς, καὶ εἰς τὸ πλάγιον· ὁμοίως δὲ καὶ τοῖς καρκίνοις τοῖς πλείστοις, καὶ ἔτι μᾶλλον.

Ο δ' ἀστακὸς, τὸ μὲν ὅλον λαμπρὸν ἔχει τὸ χρῶμα, μέλανι δὲ διαπεπασμένον. Εχει δὲ τοὺς μὲν ὑποκάτω πόδας,

Les langoustes ont cinq pieds de chaque côté, y compris les pinces qui terminent chaque rangée. Les cancres ont de même dix pieds en tout avec les pinces. Les squilles bossues ont d'abord, du côté de la tête, cinq pieds à droite & cinq pieds à gauche qui se terminent en pointe. Elles en ont le long du ventre cinq autres de chaque côté, dont l'extrémité est large. Le dessous de leurs corps n'est point divisé par tablettes, le dessus est semblable à celui du corps de la langouste. La crange est faite autrement : elle a quatre premiers pieds de chaque côté, suivis, aussi de chaque côté, de trois autres pieds qui sont grêles ; le surplus de leur corps qui en fait la majeure partie, est sans pieds. Dans tous ces Animaux la flexion des pieds se fait sur le côté, comme dans les insectes ; pour celle des pinces, lorsqu'ils en ont, elle se fait en dedans. La langouste a de plus une queue & cinq nageoires. La squille bossue a une queue & quatre nageoires. La crange a également des nageoires de chaque côté de la queue. Entre ces nageoires, la squille bossue & la crange ont des épines, mais chez la crange ces épines sont applaties, au lieu que chez la squille bossue la pointe en est plus aigue. Le cancre est le seul crustacée qui n'ait point de queue, & au lieu que le corps de la langouste & de la squille est long, celui du cancre est rond.

La langouste mâle differe de la femelle en ce que celle-ci a le premier pied fendu ; celui du mâle ne l'est point. Les nageoires qui sont sous le corps de la femelle sont grandes & vont en diminuant du côté du col : dans le mâle elles sont plus petites, & ne vont point en diminuant. Le mâle a de plus à ses derniers pieds des appendices longues & pointues, qui forment comme des éperons : au lieu que dans la femelle ces appendices sont petites & la surface en est unie. Les langoustes mâles & femelles, ont devant les yeux deux especes de cornes longues & rudes, & au dessous deux autres petites cornes lisses. Tous ces Animaux ont les yeux durs & fermes ; ils les avancent en dehors, les retirent en dedans & les inclinent sur le côté. Les yeux de la plûpart des cancres ont les mêmes mouvemens, & plus sensibles encore.

L'écrevisse a tout le corps luisant & tacheté de noir. Ses pieds, qui naissent du dessous de son corps, sont au nombre de huit, sans y comprendre

τοὺς ἄχρι τῶν μεγάλων, ὀκτώ· μετὰ δὲ ταῦτα τοὺς μεγάλους πολλῷ μείζους, καὶ ἐξ ἄκρου πλατυτέρους ἢ ὁ κάραβος. Ἀνώμαλος δὲ αὐτοῖς· ὁ μὲν γὰρ δεξιὸς τὸ πλατὺ τὸ ἔσχατον πρόμηκες ἔχει καὶ λεπτόν· ὁ δὲ ἀριστερὸς παχὺ καὶ στρογγύλον. Ἐξ ἄκρου δὲ ἑκάτερος ἐσχισμένος ὥσπερ σιαγὼν, ὀδόντας ἔχων καὶ κάτωθεν καὶ ἄνωθεν. Πλὴν καὶ ὁ μὲν δεξιὸς, μικροὺς ἅπαντας καρχαρόδους· ὁ δ' ἀριστερὸς ἐξ ἄκρου μὲν καρχαρόδους, τοὺς δὲ ἐντὸς ὥσπερ γομφίους, ἐκ μὲν τοῦ κάτωθεν μέρους τέτταρας καὶ συνεχεῖς, ἄνωθεν δὲ τρεῖς καὶ οὐ συνεχεῖς. Κινοῦσι δὲ τὸ ἄνω μέρος ἀμφότεροι, καὶ προσπιέζουσι πρὸς τὸ κάτω. Βλαισοὶ δ' ἀμφότεροι τῇ θέσει, καθάπερ πρὸς τὸ λαβεῖν καὶ πιέσαι πεφυκότες. Ἐπάνω δὲ τῶν μεγάλων ἄλλοι δύο δασεῖς, μικρὸν ὑποκάτω τοῦ στόματος, καὶ μικρὸν ὑποκάτω τούτων τὰ βραγχιώδη τὰ περὶ τὸ στόμα, δασέα καὶ πολλά· ταῦτα δ' ἀεὶ διατελεῖ κινῶν. Κάμπτει δὲ καὶ προσάγεται τοὺς δύο πόδας πρὸς τὸ στόμα τοὺς δασεῖς· ἔχουσι δὲ καὶ παραφυάδας λεπτὰς οἱ πρὸς τῷ στόματι πόδες.

Ὀδόντας δ' ἔχει δύο καθάπερ ὁ κάραβος, ἐπάνω δὲ τούτων, τὰ κέρατα, βραχύτερα καὶ λεπτότερα πολὺ ἢ ὁ κάραβος· καὶ ἄλλα τέτταρα, τὴν μὲν μορφὴν ὅμοια τούτοις, βραχύτερα δὲ καὶ λεπτότερα· τούτων δὲ ἐπάνω τοὺς ὀφθαλμοὺς μικροὺς καὶ βραχεῖς, οὐχ ὥσπερ ὁ κάραβος, μεγάλους. Τὸ δ' ἐπάνω τῶν ὀφθαλμῶν ὀξὺ καὶ τραχὺ, καθαπερανεὶ μέτωπον, μεῖζον ἢ ὁ κάραβος. Ὅλως δὲ τὸ μὲν πρόσωπον ὀξύτερον, τὸν δὲ θώρακα εὐρύτερον ἔχει πολὺ τοῦ καράβου, καὶ τὸ ὅλον σῶμα σαρκωδέστερον καὶ μαλακώτερον· τῶν δ' ὀκτὼ ποδῶν οἱ μὲν τέτταρες ἐξ ἄκρου δίκροοί εἰσιν· οἱ δὲ τέτταρες οὔ. Τὰ δὲ περὶ τὸν τράχηλον καλούμενον, διῄρηται μὲν ἔξωθεν πενταχῇ, καὶ ἕκτον ἐστὶ τὸ πλατὺ καὶ ἔσχατον, πέντε πλάκας ἔχον· τὰ δ' ἐντὸς, εἰς ἃ προεκτίκτουσιν αἱ θήλειαι, δασέα τέτταρα. Καθ' ἕκαστον δὲ τῶν εἰρημένων πρὸς τὰ ἔξω ἄκανθαν ἔχει βραχεῖαν καὶ ὀρθήν. Τὸ δ' ὅλον σῶμα καὶ

les deux grands qui viennent ensuite: ils sont & beaucoup plus grands, & plus larges par leur extrémité que dans la langouste. Les deux ne sont pas semblables: l'extrémité large du pied droit est allongée & mince; celle du gauche est ronde & épaisse. L'un & l'autre pied est fendu par le bout, & représente une machoire, les deux parties, supérieure & inférieure, étant garnies de dents. Les dents du pied droit sont toutes également petites & disposées en forme de scie: celles du pied gauche sont, sur le devant en forme de scie; celles du fonds ressemblent à des dents molaires. On en compte à la partie inférieure, quatre qui sont continues; à la partie supérieure, trois seulement qui ne sont pas continues. C'est la partie supérieure de l'un & l'autre pied qui est mobile, elle se serre contre la partie opposée. La position des deux pieds est oblique, on voit que leur destination est de saisir & de serrer. Au dessus de ces grands pieds, il y en a deux autres velus, un peu au dessous de la bouche: & encore un peu au dessous de ces derniers, sont les especes de bronches que l'écrevisse a près de la bouche. Ces bronches sont velues & en grand nombre; l'écrevisse ne cesse de les agiter. Les deux pieds velus se replient & se ramenent vers la bouche; ils ont dans la partie voisine de la bouche des barbes déliées.

L'écrevisse a deux dents comme la langouste; & elle a au dessus, des cornes beaucoup plus courtes & plus minces que celles de la langouste. Elle a encore quatre autres cornes de même forme, mais moins longues & moins grosses. Les yeux sont situés au dessus de ces cornes: ils ne sont pas grands comme dans la langouste, mais petits & peu saillants. Cette surface inégale & terminée en pointe qui est au dessus des yeux & qu'on peut regarder comme le front de l'animal, est plus grande que dans la langouste. La face de l'écrevisse est en tout plus effilée que celle de la langouste, mais elle a le tronc beaucoup plus large, & le total de son corps est plus charnu & plus mou. De ses huit pieds, quatre sont divisés à l'extrémité, les autres ne le sont point. Les parties voisines de ce qu'on nomme le col de l'écrevisse sont divisées à l'extérieur en cinq parties, & on peut compter pour une sixieme cette extrémité large qui se divise en cinq tablettes. En dedans elles forment quatre parties velues. C'est là que les femelles déposent d'abord leurs œufs, qu'elles pondent, pour ainsi dire, en elles-mêmes. Chacune des parties dont nous

τὰ περὶ τὸν θώρακα λεῖον ἔχει, οὐχ ὥσπερ ὁ κάραβος τραχύ· ἀλλ' ἐν τοῖς μεγάλοις ποσὶ τὰ ἔξωθεν ἀκάνθας ἔχει μείζους. Τῆς δὲ θηλείας πρὸς τὸν ἄρρενα οὐδεμία διαφορὰ φαίνεται· καὶ γὰρ ὁ ἄρρην καὶ ἡ θήλεια ὁποτέραν ἂν τύχῃ τῶν χηλῶν ἔχουσι μείζω, ἴσως μέν τοι ἀμφοτέρας οὐδέτερος οὐδέποτε.

Τὴν δὲ θάλατταν δέχονται μὲν παρὰ τῷ στόματι πάντα τὰ τοιαῦτα· ἀφίησι δ' ἐπιλαμβάνοντα κατὰ μικρὸν τούτου μόριον. οἱ καρκίνοι· οἱ δὲ κάραβοι παρὰ τὰ βραγχιοειδῆ· ἔχουσι δὲ τὰ βραγχιοειδῆ πολλὰ οἱ κάραβοι. Κοινὸν δὲ πάντων τούτων ἐστίν· ὀδόντας τε πάντ' ἔχει δύο· καὶ γὰρ οἱ κάραβοι τοὺς πρώτους δύο ἔχουσι· καὶ ἐν τῷ στόματι σαρκωδέστερον ἀντὶ γλώττης, εἶτα κοιλίαν τοῦ στόματος ἐχομένην εὐθύς· πλὴν οἱ κάραβοι μικρὸν στόμαχον πρὸ τῆς κοιλίας· εἶτ' ἐκ ταύτης ἔντερον εὐθύ. Τελευτᾷ δὲ τοῦτο τοῖς μὲν καραβοειδέσι καὶ καρίσι, κατ' εὐθυωρίαν πρὸς τὴν οὐρὰν, ᾗ τὸ περίττωμα ἀφιᾶσι, καὶ τὰ ᾠὰ ἐκτίκτουσι· τοῖς δὲ καρκίνοις ᾗ τὸ ἐπίπτυγμα ἔχουσι, κατὰ μέσον τὸ ἐπίπτυγμα· ἐκτὸς δὲ καὶ οὗτοι, ᾗ τὰ ᾠὰ ἐκτίκτουσιν. Ετι τὰ θήλεα αὐτῶν παρὰ τὸ ἔντερον τὴν τῶν ᾠῶν χώραν ἔχουσι. Καὶ τὴν καλουμένην δὲ μύτιν, ἢ μήκωνα, πλείω ἢ ἐλάττω πάντ' ἔχει ταῦτα.

Τὰς δὲ ἰδίας διαφορὰς ἤδη καθ' ἕκαστον δεῖ θεωρεῖν. Οἱ μὲν οὖν κάραβοι, ὥσπερ εἴρηται, δύο ἔχουσιν ὀδόντας μεγάλους καὶ κοίλους· ἐν οἷς ἔνεστι χυμὸς ὅμοιος τῇ μύτιδι· μεταξὺ δὲ τῶν ὀδόντων σαρκίον γλωττοειδές. Απὸ δὲ τοῦ στόματος ἔχει οἰσοφάγον βραχὺν, καὶ κοιλίαν τούτου ἐχομένην ὑμενώδη· ἧς πρὸς τῷ στόματι ὀδόντες εἰσὶ τρεῖς· οἱ μὲν δύο, κατ' ἀλλήλους· ὁ δὲ εἷς, ὑποκάτω. Τῆς δὲ κοιλίας ἐκ τοῦ πλαγίου ἔντερόν ἐστιν ἁπλοῦν καὶ ἰσοπαχὲς δι' ὅλου, μέχρι πρὸς τὴν ἔξοδον τοῦ περιττώματος. Ταῦτα μὲν οὖν πάντες ἔχουσι καὶ οἱ κάραβοι καὶ αἱ καρίδες, καὶ οἱ καρκίνοι· ἔτι δ' οἵ γε κάραβοι πόρον ἔχουσιν ἀπὸ τοῦ στήθους ἠρτημένον, μέχρι πρὸς τὴν ἔξοδον τοῦ περιττώματος· οὗτος δ'

avons

avons parlé porte en dehors une épine courte & droite. Le total du corps & la surface du tronc est lisse ; il n'est pas raboteux comme celui de la langouste, mais l'écrevisse porte à la partie extérieure de ses deux grands pieds des épines longues. Il n'y a point dans cette espece de différence apparente entre le mâle & la femelle ; dans les deux sexes c'est indifféremment tantôt l'une tantôt l'autre des deux pinces qui est plus grande ; elles ne sont jamais égales.

Tous les crustacées avalent l'eau par la bouche : les cancres la rejettent par une petite partie de leur bouche, à mesure qu'ils en avalent de nouvelle ; les langoustes la rejettent par leurs especes de bronches qui sont fort multipliées. Il est encore commun à tous les crustacées d'avoir deux dents, les langoustes ayant elles-mêmes ces deux premieres dents, & d'avoir dans la bouche une partie plus charnue qui leur tient lieu de langue. L'estomac suit immédiatement la bouche, excepté dans la langouste dont l'estomac est précédé d'un petit œsophage. Après l'estomac vient un intestin droit, qui dans les langoustes & les squilles tend droit vers la queue, & se termine à l'orifice commun par lequel sortent les excréments & les œufs. Chez les cancres l'intestin se termine sous le milieu de leur opercule, mais dans cette espece même c'est toujours dans l'endroit par où ils jettent leurs œufs qu'il a son issue. Les femelles ont de plus auprès de l'intestin un lieu où se logent les œufs, & tous les Animaux de ce genre ont d'ailleurs ce qu'on appelle la *mytis* ou le *mécon* qui est tantôt plus, tantôt moins considérable.

Après ces remarques générales, voici ce qui différencie chacun des crustacées. Par rapport aux langoustes, j'ai déja remarqué qu'elles ont deux dents : ces dents sont grandes, creuses, & contiennent une liqueur semblable à celle de la *mytis*. Entre les dents est un morceau de chair qui est une espece de langue. La bouche est suivie d'un œsophage court, & l'œsophage, d'un estomac membraneux à l'entrée duquel sont trois dents : deux répondent l'une à l'autre, la troisieme est au-dessous. De l'estomac naît par le côté un intestin simple, de grosseur égale dans toute sa longueur jusqu'à l'issue des excrémens. Ces parties sont communes à toutes les langoustes, aux squilles & aux cancres. On remarque d'ailleurs dans les langoustes un canal qui descend de la poitrine à l'orifice par lequel sortent les excremens,

ἐστι τῆς μὲν θηλείας ὑστερικὸς, τοῦ δὲ ἄρρενος θορικός. Ἐστι δ' ὁ πόρος οὗτος πρὸς τῷ κοίλῳ τῆς σαρκὸς, ὥστε μεταξὺ εἶναι τὴν σάρκα. Τὸ μὲν γὰρ ἔντερον πρὸς τῷ κυρτῷ ἐστιν· ὁ δὲ πόρος, πρὸς τῷ κοίλῳ· ὁμοίως ἔχοντα ταῦτα ὥσπερ τοῖς τετράποσι. Διαφέρει δ' οὐθὲν ὁ τοῦ ἄρρενος, ἢ τῆς θηλείας· ἀμφότεροι γὰρ εἰσι λεπτοὶ καὶ λευκοὶ, καὶ ὑγρότητα ἔχοντες ἐν αὐτοῖς ὠχράν· ἔτι δ' ἠρτημένοι ἀμφότεροι ἐκ τοῦ στήθους. Ἔχουσι δ' οὕτω τὸ ᾠὸν καὶ αἱ καρίδες καὶ τὰς ἕλικας. Ἴδια δ' ἔχει ὁ ἄρρην πρὸς τὴν θήλειαν ἐν τῇ σαρκὶ κατὰ τὸ στῆθος δύο λευκὰ ἄττα καθ' αὑτὰ, ὅμοια τὸ χρῶμα καὶ τὴν σύστασιν ταῖς τῆς σηπίας προβοσκίσιν· εἱλιγμένα δ' ἐστὶ ταῦτα ὥσπερ ἡ τοῦ κήρυκος μήκων, ἡ δ' ἀρχὴ τούτων ἐστὶν ἀπὸ τῶν κοτυληδόνων, αἵ εἰσιν ὑποκάτω τῶν ἐσχάτων ποδῶν. Ἔχει δὲ καὶ ἐν τούτῳ σάρκα ἐρυθρὰν, καὶ αἱματώδη τὴν χρόαν· τὴν δ' ἀφὴν γλίσχραν, καὶ οὐχ ὁμοίαν τῇ σαρκί. Ἀπὸ δὲ τοῦ περὶ τὰ στήθη κηρυκώδους ἄλλος ἐστὶν ἑλιγμὸς, ὥσπερ ἀρπεδόνη τὸ πάχος· ὧν ὑποκάτω δύο ἄττα ψαθυρά ἐστι προσηρτημένα τῷ ἐντέρῳ θορικά. Ταῦτα μὲν οὖν ὁ ἄρρην ἔχει· ἡ δὲ θήλεια ᾠὰ ἴσχει τὸ χρῶμα ἐρυθρὰ, ὧν ἡ πρόσφυσίς ἐστι πρὸς τῇ κοιλίᾳ, καὶ τοῦ ἐντέρου ἑκατέρωθι μέχρι εἰς τὰ σαρκώδη, ὑμένι λεπτῷ περιεχόμενα.

III. Τὰ μὲν οὖν μόρια ὅσα ἐντὸς καὶ ἐκτὸς ἔχουσι, ταῦτά ἐστι. Συμβέβηκε δὲ τῶν μὲν ἐναίμων τὰ ἐντὸς μόρια ὀνόματα ἔχειν· πάντα γὰρ σπλάγχνα ἔχει τὰ ἔσωθεν· τῶν δ' ἀναίμων οὐδέν· ἀλλὰ κοινὸν τούτοις καὶ ἐκείνοις πᾶσι, κοιλία καὶ στόμα, καὶ ἔντερον.

Οἱ δὲ καρκίνοι, περὶ μὲν τῶν χηλῶν καὶ τῶν ποδῶν, ὅτι ἔχουσι καὶ πῶς ἔχουσιν, εἴρηται πρότερον. Ὡς δ' ἐπιτοπολὺ, πάντες τὴν δεξιὰν ἔχουσι μείζω χηλὴν, καὶ ἰσχυροτέραν. Εἴρηται δὲ πρότερον καὶ περὶ ὀφθαλμῶν, ὅτι εἰς τὸ πλάγιον βλέπουσιν οἱ πλεῖστοι. Τὸ δὲ κύτος τοῦ σώματος ἕν ἐστιν ἀδιόριστον, ἥ τε κεφαλὴ, καὶ ἄλλο μόριον. Ἔχουσι δ' ὀφθαλμοὺς, οἱ μὲν ἐκ τῶν

il sert de matrice à la femelle, & dans le mâle c'est le réservoir de la semence. Il est en dedans de la courbure que forme la chair, de sorte que la chair est entre ce canal & l'intestin, le premier étant vers la partie concave, & le second vers la partie convexe : disposition semblable à celle de ces mêmes parties dans les quadrupedes. Le mâle & la femelle n'ont point ici de différence : le conduit dont je parle est dans tous deux mince, blanc, contenant une liqueur jaunâtre, & prenant également naissance de la poitrine. Les squilles ont leurs œufs placés de la même maniere, elles ont les mêmes spires ; mais une particularité distingue le mâle de la femelle, c'est d'avoir à la partie charnue qui est sur la poitrine, deux sortes de corps blancs, isolés, semblables pour la couleur & la substance aux trompes de la seche. Ces deux especes de corps sont contournés comme ce qu'on appelle le *mécon* dans les buccins, & naissent des cavités qui sont au-dessous des derniers pieds. Ils contiennent une chair rouge & de la couleur du sang, mais au toucher elle est gluante, & differe de la vraie chair. De cette partie, semblable aux circonvolutions du buccin, qui appartient à la poitrine, il part un autre corps tourné en spirale, à peu près de la grosseur du fil d'une ligne : au-dessous sont comme deux corps graveleux, adhérens à l'intestin, & qui contiennent la liqueur séminale. Voilà ce qui est particulier au mâle. La femelle a des œufs dont la couleur est rouge : ils sont attachés au ventre & à l'intestin qu'ils suivent de l'un & l'autre côté jusques à l'endroit des parties charnues : une membrane mince les enveloppe.

Tel est le détail des parties intérieures & extérieures des crustacées. Dans III. les Animaux sanguins, les parties internes ont leur dénomination propre aussi-bien que les parties externes, tous ayant des visceres. Il n'en est pas de même des Animaux qui n'ont point de sang : aucun d'eux n'a de visceres. L'estomac, la bouche & l'intestin sont les seules parties communes à tous les Animaux qui ont du sang & à ceux qui n'en ont point.

J'ai déja parlé des pieds & des pinces des cancres ; j'ai exposé leur conformation : j'ajoûte que dans tous la pince droite est ordinairement plus grande & plus forte que la pince gauche. J'ai dit au sujet de leurs yeux que dans la plupart la vue se dirige sur le côté ; à l'égard de la masse de leur corps, la tête & les autres parties du tronc ne forment qu'un tout confus. Je remarque que dans les uns les yeux sont en haut, précisément au-dessous

πλαγίου ἄνω ὑπὸ τὸ κρανὲς εὐθὺς, πολὺ διεστῶτάς πως· ἔνιοι δ᾽ ἐν μέσῳ, καὶ ἐγγὺς ἀλλήλων, οἷον οἱ ἡρακλεωτικοὶ καὶ αἱ μαῖαι. Ὑποκάτω δὲ τὸ στόμα τῶν ὀφθαλμῶν, καὶ ἐν αὐτῷ ὀδόντας δύο, ὥσπερ ὁ κάραβος· πλὴν οὐ στρογγύλοι οὗτοι ἀλλὰ μακροί. Καὶ ἐπὶ τούτων ἐπικαλύμματά ἐστι δύο· ὧν μεταξύ ἐστιν οἷάπερ ὁ κάραβος ἔχει πρὸς τοῖς ὀδοῦσι. Δέχεται μὲν οὖν τὸ ὕδωρ παρὰ τὸ στόμα, ἀπωθῶν τοῖς ἐπικαλύμμασιν· ἀφίησι δὲ κατὰ τοὺς ἄνω πόρους τοῦ στόματος, ἐπιλαμβάνων τοῖς ἐπικαλύμμασιν, ᾗ εἰσῆλθεν. Οὗτοι δ᾽ εἰσὶν εὐθὺς ὑπὸ τοὺς ὀφθαλμούς· καὶ ὅταν δέξηται τὸ ὕδωρ, ἐπιλαμβάνει τὸ στόμα τοῖς ἐπικαλύμμασιν ἀμφοτέροις, ἔπειτ᾽ οὕτως ἀποπυτίζει τὴν θάλατταν. Ἐχόμενος δ᾽ τῶν ὀδόντων ὁ στόμαχος βραχὺς πάμπαν, ὥστε δοκεῖν εὐθὺς εἶναι μετὰ τὸ στόμα τὴν κοιλίαν. Καὶ κοιλία τούτου ἐχομένη δικρόα· ἧς ἐκ μέσης μὲν τὸ ἔντερόν ἐστιν ἁπλοῦν καὶ λεπτόν· τελευτᾷ δὲ τὸ ἔντερον ὑπὸ τὸ ἐπικάλυμμα τὸ ἔξω, ὥσπερ εἴρηται καὶ πρότερον. Εν δὲ τῷ κύτει ἔσω χυμός ἐστιν ὠχρὸς, καὶ μικρὰ ἄττα προμήκη λευκὰ, καὶ ἄλλα πυῤῥὰ διαπεπασμένα. Διαφέρει δ᾽ ὁ ἄῤῥην τῆς θηλείας τῷ τε μεγέθει, καὶ τῷ πάχει, καὶ τῷ ἐπικαλύμματι. Μεῖζον γὰρ τοῦτο ἔχει ἡ θήλεια, καὶ πλέον ἀφεστηκὸς καὶ συνηρεφέστερον, καθάπερ καὶ ἐπὶ τῶν θηλειῶν καράβων.

4. IV. Τὰ μὲν οὖν τῶν μαλακοστράκων μόρια, τοῦτον ἔχει τὸν τρόπον. Τὰ δὲ ὀστρακόδερμα τῶν ζώων οἵ τε κοχλίαι, καὶ οἱ κόχλοι, καὶ πάντα τὰ καλούμενα ὄστρεα, ἔτι δὲ τὸ τῶν ἐχίνων γένος, τὸ μὲν σαρκῶδες, ὅσα σάρκας ἔχει, ὁμοίως ἔχει τοῖς μαλακοστράκοις, ἐντὸς γὰρ ἔχει· τὸ δ᾽ ὄστρακον, ἐκτός· ἐντὸς δ᾽ οὐθὲν σκληρόν. Αὐτὰ δὲ πρὸς ἑαυτὰ διαφορὰς ἔχει πολλὰς, καὶ κατὰ τὰ ὄστρακα, καὶ κατὰ τὴν σάρκα τὴν ἐντός. Τὰ μὲν γὰρ αὐτῶν οὐκ ἔχει σάρκα οὐδεμίαν, οἷον ἐχῖνος· τὰ δ᾽ ἔχει μὲν, ἐντὸς δ᾽ ἔχει τὴν σάρκα ἀφανῆ πᾶσαν, πλὴν τῆς κεφαλῆς, οἷον οἵ τε χερσαῖοι κοχλίαι, καὶ τὰ καλούμενα ὑπό τινων κωκάλια, καὶ τῶν

de ce qui forme la ſurface ſupérieure de leur corps, placés latéralement, & on peut dire, fort éloignés l'un de l'autre. Dans quelques eſpeces les yeux ſont au milieu, & rapprochés l'un de l'autre : c'eſt de cette maniere que les ont les cancres héracléotiques, & les cancres *Maïa*. La bouche eſt au-deſſous des yeux ; le cancre y a deux dents comme la langouſte, non pas rondes cependant mais allongées. Sur ces dents ſont deux eſpeces de couvercles entre leſquels eſt quelque choſe de ſemblable à ce qui ſe voit auprès des dents de la langouſte. Le cancre avale l'eau par la bouche, d'où il l'empêche de ſortir à l'aide des deux couvercles dont je viens de parler, & il la rejette par deux conduits ſitués à la partie ſupérieure de ſa bouche, en appuyant ſes deux couvercles ſur l'ouverture par laquelle elle eſt entrée. Les conduits s'ouvrent immédiatement au-deſſous des yeux ; lors donc que l'eau eſt entrée, le cancre fermant ſa bouche avec ſon double couvercle rejette ainſi l'eau qu'il a priſe. L'œſophage qui vient après les dents eſt tout-à-fait court, tellement que l'eſtomac paroît s'unir immédiatement à la bouche. L'eſtomac eſt ſéparé en deux parties, & du milieu naît un inteſtin ſimple & mince, qui comme je l'ai déja dit, ſe termine ſous l'opercule extérieur du cancre. On trouve dans ſa cavité une liqueur jaunâtre, des eſpeces de petits corps blancs, allongés, & d'autres qui ſont roux & tachetés. Le mâle differe de la femelle par la grandeur, par la groſſeur, & par l'opercule. Le cancre femelle a l'opercule plus grand, plus écarté des chairs, & plus velu, comme on l'obſerve auſſi dans la langouſte femelle.

De la deſcription des cruſtacées paſſons aux teſtacées. Les limaçons ſoit 4.
de terre ſoit de mer, tous les Animaux qu'on comprend ſous le nom de co- IV.
quillages, ajoûtons encore le genre des hériſſons de mer, tous ces Animaux, lorſqu'ils ont une partie charnue, l'ont en dedans comme les cruſtacées ; la coquille eſt au-dehors, en dedans il n'y a rien de dur. Mais on remarque entre les diverſes eſpeces un grand nombre de différences, ſoit par rapport à la coquille, ſoit par rapport à la chair qu'elle renferme. Quelques-uns, comme le hériſſon de mer, n'ont point de chair du tout. D'autres en ont, mais à l'exception de la tête, leur chair eſt entierement cachée dans la coquille. Tel eſt le limaçon de terre, tels ces coquillages que quelques-uns appellent

ἐν τῇ θαλάττῃ αἵ τε πορφύραι, καὶ οἱ κήρυκες, καὶ ὁ κόχλος, καὶ τἆλλα τὰ στρομβώδη. Τῶν δ' ἄλλων τὰ μέν ἐστι δίθυρα, τὰ δὲ μονόθυρα· λέγω δὲ δίθυρα, τὰ δυσὶν ὀστράκοις περιεχόμενα· μονόθυρα δὲ τὰ ἑνὶ, τὰ δὲ σαρκώδη ἐπιπολῆς, οἷον ἡ λεπάς. Τῶν δὲ διθύρων, τὰ μέν ἐστιν ἀνάπτυχα, οἷον οἱ κτένες, καὶ οἱ μύες· ἅπαντα γὰρ τὰ τοιαῦτα, τῇ μὲν συμπέφυκε, τῇ δὲ διαλέλυται, ὥστε συγκλείεσθαι καὶ ἀνοίγεσθαι· τὰ δὲ, δίθυρα μέν ἐστιν, ὁμοίως δὲ συγκέκλεισται ἐπ' ἀμφότερα, οἷον οἱ σωλῆνες. Ἔστι δ' ἃ ὅλα περιέχεται τῷ ὀστράκῳ, καὶ οὐθὲν τῆς σαρκὸς ἔχει εἰς τὸ ἔξω γυμνὸν, οἷον τὰ καλούμενα τήθυα.

Ἔτι δ' αὐτῶν τῶν ὀστράκων διαφοραὶ πρὸς ἄλληλά εἰσι. Τὰ μὲν γὰρ λειόστρακά ἐστιν, ὥσπερ σωλὴν καὶ μύες, καὶ κόγχαι ἔνιαι, αἱ καλούμεναι ὑπό τινων γαλάδες· τὰ δὲ τραχυόστρακα, οἷον τὰ λιμνόστρεα καὶ πίννα, καὶ γένη κόγχων ἔνια, καὶ κήρυκες. Καὶ τούτων, τὰ μὲν ῥαβδωτά ἐστιν, οἷον κτεὶς, καὶ κόγχων τὶ γένος· τὰ δὲ ἀρράβδωτα, οἷον αἵ τε πίνναι, καὶ κόγχων τὶ γένος. Καὶ πάχει δὲ καὶ λεπτότητι τῶν ὀστράκων διαφέρουσιν, ὅλων τε τῶν ὀστράκων, καὶ κατὰ μέρος, οἷον περὶ τὰ χείλη. Τὰ μὲν γὰρ λεπτόχειλά ἐστιν, οἷον οἱ μύες· τὰ δὲ παχύχειλα, οἷον τὰ λιμνόστρεα.

Ἔτι, τὰ μὲν κινητικὰ αὐτῶν ἐστιν, οἷον ὁ κτείς· ἔνιοι γὰρ καὶ πέτεσθαι λέγουσι τοὺς κτένας, ἐπεὶ καὶ ἐκ τοῦ ὀργάνου ᾧ θηρεύονται, ἐξάλλονται πολλάκις· τὰ δ' ἀκίνητα ἐκ τῆς προσφύσεως, οἷον ἡ πίννα. Τὰ δὲ στρομβώδη, πάντα κινεῖται καὶ ἕρπει· νέμεται δὲ ἀπολυομένη καὶ ἡ λεπάς. Κοινὸν δὲ καὶ τούτων καὶ τῶν ἄλλων τῶν σκληροστράκων, τὸ λεῖον εἶναι ἐντὸς τὸ ὄστρακον. Τὸ δὲ σαρκῶδες, τοῖς μὲν μονοθύροις καὶ διθύροις, προσπέφυκε τοῖς ὀστράκοις, ὥστε βίᾳ ἀποσπᾶσθαι· τοῖς δὲ στρομβώδεσιν ἀπολέλυται μᾶλλον. Ἴδιον δὲ τούτοις κατὰ τὸ ὄστρακον ὑπάρχει πᾶσι, τὸ ἑλίκην ἔχειν τὸ ὄστρακον τὸ ἔσχατον ἀπὸ τῆς κεφαλῆς. Ἔτι

cocalia, & entre les coquillages de mer, les pourpres, les buccins, le limas & les autres turbinés. Le ſurplus des coquillages ſe diſtingue en bivalves & univalves. J'appelle bivalves ceux dont la coquille eſt formée de deux parties : univalves, ceux dont la coquille eſt unique, & dont la partie charnue eſt découverte : tel eſt le *lepas*. Il y a des bivalves, comme les pétoncles & les moules, qui s'ouvrent : dans ceux de cette claſſe les deux parties ſont attachées d'un côté, & libres de l'autre, de ſorte qu'elles peuvent s'ouvrir & ſe fermer. D'autres bivalves, comme le *ſolen*, ſont fermés des deux côtés. Il en eſt que leur coquille enveloppe totalement, de ſorte qu'aucune partie de leur chair ne ſe montre à nud ; tels ſont ceux que l'on nomme téthyes.

J'ai dit qu'il y avoit auſſi entre les teſtacées des différences relatives à la coquille. Tantôt elle eſt liſſe, comme celle du *ſolen*, des moules, & de certaines conques qu'on nomme *galades* ; tantôt elle eſt raboteuſe, comme celle de quelques autres conques, des huitres proprement dites, de la pinne & des buccins. De cette ſeconde claſſe les uns ont la coquille cannelée, comme le pétoncle & une ſorte de conque : les autres non, comme les pinnes & une autre ſorte de conques. Les coquilles different encore par le plus ou moins d'épaiſſeur, ſoit de la coquille entiere, ſoit de quelqu'une de ſes parties, par exemple de ſes bords. Les bords ſont minces dans les moules, épais dans l'huitre proprement dite.

On peut ajoûter à ces obſervations qu'il y a des teſtacées, le pétoncle par exemple, qui ſe meuvent ; d'autres, tels que la pinne, que leurs attaches rendent immobiles. On dit même du pétoncle qu'il vole, parce que ſouvent il bondit hors de l'inſtrument dont on ſe ſert pour le prendre. Tous les coquillages turbinés ſe meuvent & avancent en rampant. Le *lepas* ſe détache auſſi pour chercher ſa nourriture. Une remarque générale, commune à ces Animaux & aux autres qui ſont couverts d'une enveloppe dure, c'eſt que l'intérieur de cette enveloppe eſt liſſe. Dans les univalves & les bivalves la partie charnue eſt adhérente à leur coquille, & on ne l'en détache pas ſans violence : elle eſt moins adhérente dans les turbinés. Une obſervation particuliere à ces derniers, c'eſt que l'extrémité de leur coquille, oppoſée à la tête,

δ' ἐπίττυγμα πάντ' ἔχει ἐκ γενετῆς. Ἔτι δὲ πάντα τὰ στρομβώδη τῶν ὀστρακοδέρμων δεξιὰ κινεῖται, οὐκ ἐπὶ τὴν ἕλικα, ἀλλ' ἐπὶ τὴν ἀντικρύ.

Τὰ μὲν οὖν ἔξωθεν μόρια τούτων τῶν ζώων, τοιαύτας ἔχει τὰς διαφοράς· τῶν δ' ἐντὸς, τρόπον μέν τινα παραπλησία ἡ φύσις ἐστὶ πάντων, καὶ μάλιστα τῶν στρομβωδῶν. Μεγέθει γὰρ ἀλλήλων διαφέρει, καὶ τοῖς καθ' ὑπεροχὴν πάθεσιν. Οὐ πολὺ δὲ διαφέρει οὐδὲ τὰ μονόθυρα καὶ δίθυρα, συγκλειστὰ δέ. Διαφορὰν γὰρ ἔχει πρὸς ἄλληλα μὲν μικρὰν, πρὸς δὲ τὰ ἀκίνητα πλείω· τοῦτο δ' ἔσται φανερον ἐκ τῶν ὕστερον μᾶλλον. Η δὲ φύσις τῶν στρομβοειδῶν ἁπάντων ὁμοίως ἔχει· διαφέρει δ' ὥσπερ εἴρηται, καθ' ὑπεροχήν. Τὰ μὲν γὰρ μείζω μέρη καὶ ἐνδηλότερα ἔχει αὐτῶν· τὰ δ' ἐλάττω, τοὐναντίον. Ἔτι δὲ σκληρότητι, καὶ μαλακότητι, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις πάθεσιν. Ἔχει γὰρ πάντα, τὴν μὲν ἐξωτάτω τοῦ ὀστράκου ἐν τῷ στόματι σάρκα στιφρὰν, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον· ἐκ μέσου δὲ τούτου ἡ κεφαλὴ, καὶ κεράτια δύο. Ταῦτα δ' ἐν μὲν τοῖς μείζοσι, μεγάλα· ἐν δὲ τοῖς ἐλάττοσι, πάμπαν μικρά ἐστιν. Η δὲ κεφαλὴ ἐξέρχεται πᾶσι τὸν αὐτὸν τρόπον· καὶ ὅταν φοβηθῇ, συσπᾶται πάλιν εἰς τὸ ἐντός. Ἔχει δὲ στόμα καὶ ὀδόντας ἔνια, οἷον ὁ κοχλίας, ὀξεῖς, καὶ μικροὺς, καὶ λεπτούς. Ἔχουσι δὲ καὶ προβοσκίδας, ὥσπερ καὶ αἱ μυῖαι· τοῦτο δ' ἐστὶ γλωττοειδές. Ἔχουσι δὲ καὶ οἱ κήρυκες τοῦτο καὶ αἱ πορφύραι στιφρὸν, καὶ ὥσπερ οἱ μύωπες καὶ οἱ οἶστροι τὰ δέρματα διατρυπῶσι τῶν τετραπόδων, ἔτι τὴν ἰσχὺν τοῦτ' ἐστὶ σφοδρότατον· τῶν γὰρ δελεάτων τὰ ὄστρακα διατρυπῶσι.

Τοῦ δὲ στόματος ἔχεται εὐθὺς ἡ κοιλία. Ὁμοία δ' ἐστὶν ἡ κοιλία προλόβῳ ὄρνιθος, ὁμοία ὅσα τῶν κόχλων. Κάτω δ' ἔχει δύο λευκὰ στιφρὰ ὅμοια μαστοῖς, οἷα ἐγγίνεται καὶ ἐν ταῖς σηπίαις· πλὴν στιφρὰ ταῦτα μᾶλλον. Ἀπὸ δὲ τῆς κοιλίας, στόμαχος διπλοῦς μακρὸς μέχρι τῆς μήκωνος, ἥ ἐστιν ἐν τῷ πυθμένι·

est

eſt toujours terminée en vis. Tous les teſtacées naiſſent avec leur enveloppe. Une derniere remarque relative aux turbinés, c'eſt que tous ſe meuvent à droite; ils ne ſe meuvent pas dans le ſens des ſpires que forme leur coquille, mais dans le ſens contraire.

Voilà les différences qui ſont entre les teſtacées pour leurs parties extérieures; quant aux parties internes, ils ſe rapprochent tous aſſez les uns des autres, & ſur-tout les turbinés. Ceux-ci ne différent que par la grandeur, & on ne diſtingue entre eux que le plus & le moins. Les univalves & ceux des bivalves dont la coquille s'ouvre & ſe ferme, different peu auſſi les uns des autres, mais ils différent davantage des teſtacées abſolument immobiles : la ſuite rendra ceci plus ſenſible. Tous les turbinés ſe reſſemblent donc, ſauf, comme je l'obſervois, les différences du plus au moins. Les uns ont chacune de leurs parties plus groſſes & plus apparentes, les autres au contraire les ont plus petites. Ils varient encore par le plus ou moins de dureté & de molleſſe, & par les autres qualités de ce genre. Par exemple, dans tous, la partie charnue qui ſe préſente à l'entrée de leur coquille eſt ferme, mais elle l'eſt plus dans les uns, moins dans les autres. Elle eſt accompagnée de deux eſpeces de cornes, longues dans ceux d'une certaine groſſeur, tout-à-fait petites ailleurs. Chez tous, la tête s'avance en dehors de la même maniere; la peur la leur fait retirer en dedans. Quelques-uns ont, comme le limaçon, une bouche & des dents aigues, petites, minces; d'autres ont des trompes ſemblables à celles des mouches : je veux dire qu'elle leur tient lieu de langue. Les buccins & les pourpres ont cette partie ferme, & de même que les taons & les mouches aſiles percent le cuir des quadrupedes, ceux-ci, dont la trompe eſt encore plus forte, percent la coquille qui couvre leur proie.

La bouche des teſtacées eſt immédiatement ſuivie de l'eſtomac : il eſt comme le jabot d'un oiſeau, & cette reſſemblance ſe trouve auſſi dans l'eſtomac du limaçon de mer. Plus bas, ils ont deux points blancs & fermes, comme des mamellons & tels qu'il y en a dans les ſeches, ſi ce n'eſt que ceux-ci ſont plus fermes. De l'eſtomac part un œſophage double & allongé, qui va juſqu'au

ταῦτα μὲν οὖν δῆλα καὶ ἐπὶ τῶν πορφυρῶν, καὶ τῶν κηρύκων ἐστὶν ἐν τῇ ἑλίκῃ τοῦ ὀστράκου. Τοῦ δὲ στομάχου τὸ ἐχόμενόν ἐστιν ἔντερον· συνεχὲς δὲ ὅ τε στόμαχος καὶ τὸ ἔντερον, καὶ ἅπαν ἁπλοῦν μέχρι τῆς ἐξόδου. Η δ' ἀρχὴ τοῦ ἐντέρου περὶ τὴν ἑλίκην τῆς μήκωνος, καὶ ταύτῃ ἐστὶν εὐρύτερον· ἔστι γὰρ ἡ μήκων οἷον κοιλίας περίττωμα πᾶσι τοῖς ὀστρακηροῖς τὸ πολὺ αὐτῆς· εἶτα ἐπικάμψαν ἄνω φέρεται πάλιν πρὸς τὸ σαρκῶδες, καὶ ἡ τελευτὴ τοῦ ἐντέρου παρὰ τὴν κεφαλήν ἐστιν, ᾗ ἀφίησι τὸ περίττωμα πᾶσιν ὁμοίως τοῖς στρομβώδεσι, καὶ τοῖς χερσαίοις, καὶ τοῖς θαλαττίοις. Παρύφανται δ' ἀπὸ τῆς κοιλίας τῷ στομάχῳ ἐν τοῖς μεγάλοις κόχλοις συνεχόμενος ὑμενίῳ μακρὸς πόρος καὶ λευκὸς, ὅμοιος τὴν χρόαν τοῖς ἄνω μαστοειδέσιν. Εχει δ' ἐντομὰς ὥσπερ τὸ ἐν τῷ καράβῳ ᾠόν· πλὴν τὴν χρόαν, τὸ μὲν λευκὸν, ἐκεῖνο δὲ ἐρυθρόν. Εχει δ' οὐδεμίαν ἔξοδον τοῦτο, οὐδὲ πόρον, ἀλλ' ἐν ὑμένι ἐστὶ λεπτῷ, κοιλότητα ἔχον ἐν αὐτῷ στενήν. Απὸ δὲ τοῦ ἐντέρου κάτω παρατείνει μέλανα καὶ τραχέα συνεχῆ, οἷα καὶ ἐν ταῖς χελώναις, πλὴν ἧττον μέλανα. Εχουσι δὲ καὶ οἱ ἄλλοι κόχλοι ταῦτα τὰ λευκὰ, πλὴν ἐλάττω οἱ ἐλάττους.

Τὰ δὲ μονόθυρα καὶ δίθυρα, πῇ μὲν ὁμοίως ἔχει τούτοις· πῇ δ' ἑτέρως. Κεφαλὴν μὲν γὰρ, καὶ κεράτια, καὶ στόμα ἔχουσι, καὶ τὸ γλωττοειδές· ἀλλ' ἐν μὲν τοῖς ἐλάττοσιν, διὰ μικρότητα αὐτῶν, ἄδηλα τάδε· καὶ ἐν τεθνεῶσιν, ἢ μὴ κινουμένοις οὐ δῆλα. Τὴν δὲ μήκωνα, πάντα ἔχει· ἀλλ' οὐκ ἐν τῷ αὐτῷ, οὐδὲ ἴσην, οὐδ' ὁμοίως φανεράν· ἀλλ' αἱ μὲν λεπάδες, κάτω ἐν τῷ ἐδάφει· τὰ δὲ δίθυρα ἐν τῷ γιγλυμώδει. Καὶ τὰ τριχώδη πᾶσιν ὑπάρχει κύκλῳ τούτοις, οἷον καὶ τοῖς κτεσί. Καὶ τὸ λεγόμενον ᾠὸν, τοῖς ἔχουσιν, ὅταν ἔχωσιν, ἐν τῷ κύκλῳ τῆς περιφερείας τῷ ἐπὶ θάτερά ἐστιν, ὥσπερ καὶ τὸ λευκὸν τοῖς κόχλοις· καὶ γὰρ ἐκείνοις τοῦτο ὅμοιον ὑπάρχει. Αλλὰ πάντα τὰ τοιαῦτα μόρια, ὥσπερ εἴρηται, ἐν μὲν τοῖς μεγάλοις δῆλά ἐστιν· ἐν δὲ τοῖς μικροῖς ἢ οὐθὲν,

mécon, lequel est placé dans le fonds. Ces différentes parties, faciles à appercevoir dans les pourpres & les buccins, sont dans la vis de la coquille. L'œsophage est suivi de l'intestin : ils sont continus l'un à l'autre, & le tout ne forme qu'un conduit simple jusqu'à l'orifice excrétoire. L'intestin commence vers la spirale du *mécon* & il est plus large dans cet endroit, car le *mécon*, ou au moins sa majeure partie, est dans tous les coquillages comme la décharge de leur estomac. L'intestin se repliant ensuite remonte vers la partie charnue, & son extrémité aboutit auprès de la tête. C'est par-là que tous les turbinés aquatiques & terrestres se déchargent de leurs excrémens. Dans les grands limaçons de mer on apperçoit un canal qui part de l'estomac, & qu'une membrane mince unit à l'œsophage ; il est long, blanc, d'une couleur telle que celle des especes de mamellons qui sont à la partie supérieure ; on y voit des incisions comme sur l'œuf qui est dans la langouste : il y ressemble, si ce n'est quant à sa couleur qui est blanche, au lieu que celle de l'œuf de la langouste est rouge. Ce canal n'a aucune issue : il n'a point de communication avec d'autre partie : il est renfermé, comme je l'ai dit, dans une membrane mince, dans laquelle il est logé à l'étroit. De l'intestin s'étendent vers le bas des corps noirs & rudes qui tiennent l'un à l'autre, tels qu'on en voit dans les tortues, excepté qu'ici ils sont moins noirs. Les autres limaçons ont également les corps dont nous parlons, ainsi que les autres corps blancs : l'unique différence est qu'ils sont plus petits, lorsque l'animal est plus petit.

Les univalves & les bivalves sont, en certains points, semblables aux coquillages dont nous venons de parler, & ils en different par d'autres points. Ils ont une tête, des especes de cornes, une bouche, & cette partie qui leur sert de langue ; mais, dans ceux d'entre eux qui sont petits, ces parties ne sont pas sensibles à cause de leur peu de volume, & on ne peut pas non plus les appercevoir lorsque l'animal est mort ou qu'il ne se remue pas. Le *mécon* est commun à tous, quoiqu'il ne soit pas toujours situé de même, ni aussi considérable, ni aussi apparent. Dans le *lepas* il est en bas à la partie qui touche au rocher ; dans les bivalves, il est à la charniere. Tous ont encore des especes de barbes disposées circulairement, comme on en voit aux pétoncles. Ce qu'on appelle leur œuf se trouve, dans ceux qui en ont, & à la saison convenable, placé des deux côtés vers l'extrémité de la circonférence qui termine leur corps, de même que le blanc des limaçons de mer,

ἢ μόλις· διὸ μάλιστα ἐν τοῖς μεγάλοις κλεσὶ φανερά ἐστιν· ἔτοι δ' εἰσὶν οἱ τὴν ἑτέραν θυρίδα πλατεῖαν ἔχοντες, οἷον ἐπίθεμα. Ἡ δ' τοῦ περιττώματος ἔξοδος, τοῖς μὲν ἄλλοις ἐκ πλαγίου ἐστίν· τὸ δὲ καλούμενον ὠὸν, οὐκ ἔχει πόρον ἐν οὐδενὶ, ἀλλ' αὐτῆς τῆς σαρκὸς ἐπανοιδεῖ. Εστι δὲ οὐκ ἐπὶ ταυτὸ τῷ ἐντέρῳ, ἀλλὰ τὸ μὲν ὠὸν ἐν τοῖς δεξιοῖς, τὸ δ' ἐν τοῖς ἀριστεροῖς. Τοῖς μὲν οὖν ἄλλοις τοιαύτη ἔξοδος τῆς περιττώσεως· τῇ δὲ ἀγρίᾳ λεπάδι, ἥν τινες καλοῦσι θαλάττιον οὖς, ὑποκάτω τοῦ ὀστράκου ἡ περίττωσις ἐξέρχεται· τετρύπηται γὰρ τὸ ὄστρακον. Φανερὰ δὲ καὶ ἡ κοιλία μετὰ τὸ στόμα οὖσα ἐν ταύτῃ, καὶ τὰ ὠοειδῆ. Πάντα δὲ ταῦτα τίνα τρόπον τῇ θέσει ἔχει, ἐκ τῶν ἀναλογιῶν θεωρείσθω.

Τὸ δὲ καλούμενον καρκίνιον, τρόπον τινὰ κοινόν ἐστι τῶν τε μαλακοστράκων καὶ τῶν ὀστρακοδέρμων. Αυτὸ μὲν γὰρ τὴν φύσιν ὅμοιον τοῖς καραβοειδέσι, καὶ γίνεται αὐτὸ καθ' ἑαυτό· τῷ δὲ εἰσδύεσθαι καὶ ζῆν ἐν ὀστράκῳ, ὅμοιον τοῖς ὀστρακοδέρμοις· ὥστε διὰ ταῦτα ἔοικεν ἐπαμφοτερίζειν. Τὴν δὲ μορφὴν, ὡς μὲν ἁπλῶς εἰπεῖν, ὅμοιόν ἐστι τοῖς ἀράχναις· πλὴν τὸ κάτω τῆς κεφαλῆς καὶ τοῦ θώρακος μεῖζον ἔχει ἐκείνου. Εχει δὲ κεράτια δύο λεπτὰ πυῤῥὰ, καὶ ὀφθαλμοὺς ὑποκάτω τούτων δύο μακροὺς, οὐκ εἰσδυομένους, οὐδὲ κατακλινομένους, ὥσπερ οἱ τῶν καρκίνων, ἀλλ' ὀρθούς. Υποκάτω δὲ τούτων τὸ στόμα, καὶ περὶ αὐτὸ καθαπερεὶ τριχώδη ἄττα πλείω. Τούτων δ' ἐχομένους δύο πόδας δικρόους, οἷς προσάγεται· Καὶ ἄλλους ἐφ' ἑκάτερα δύο, καὶ τρίτον μικρόν. Τὸ δὲ κάτω τοῦ θώρακος, μαλακὸν ἅπαν ἐστὶ, καὶ διοιγόμενον ὠχρὸν ἔνδοθεν. Απὸ δὲ τοῦ στόματος πόρος εἷς ἄχρι τῆς κοιλίας, τῆς δὲ περιττώσεως οὐ δῆλος ὁ πόρος· οἱ δὲ πόδες καὶ ὁ θώραξ σκληροὶ μὲν, ἧττον δὲ ἢ τῶν καρκίνων. Πρόσφυσιν δὲ οὐκ ἔχει πρὸς τὰ ὄστρακα, ὥσπερ αἱ πορφύραι καὶ οἱ κήρυκες, ἀλλ' εὐαπόδυτόν ἐστι. Προμηκέστερα δέ ἐστι τὰ ἐν τοῖς στρόμβοις τῶν ἐν τοῖς νηρίταις. Ετερον δ' γένος ἐστὶ τὸ τῶν νηριτῶν, τὰ μὲν ἄλλα,

& en effet il y ressemble assez. Mais, comme on l'a déja observé, ces différentes parties, bien visibles dans les grands coquillages, ne s'apperçoivent que difficilement dans les petits, quelquefois point du tout. Il est bien aisé de les découvrir par exemple dans les grands pétoncles, qui sont ceux dont l'une des deux coquilles est large, & forme comme un couvercle. Dans tous les testacées, à l'exception du *lepas* sauvage, l'orifice qui sert d'issue aux excrémens est sur le côté : mais pour ce qu'on nomme l'œuf, on ne lui trouve point d'issue dans aucune espece de coquillage : il forme seulement une boursouflure dans la chair. Sa situation n'est pas du même côté que l'intestin : il est à droite & l'intestin est à gauche. Je viens de dire quelle est la position de l'orifice excrétoire dans le reste des testacées : dans le *lepas* sauvage, appellé par quelques-uns oreille de mer, il est placé autrement. Ses excrémens sortent par la partie inférieure de la coquille qui est percée en cet endroit. Il est aisé d'appercevoir dans le *lepas* l'estomac qui suit la bouche & les especes d'œufs dont j'ai fait mention. Au reste c'est par la dissection qu'on doit étudier la disposition de toutes ces parties.

L'animal appellé le petit cancre, appartient en quelque façon aux crustacées & aux testacées. Considéré en lui-même, il ressemble aux crustacées du genre des langoustes : il nait nud & isolé ; mais il ressemble aux testacées par la propriété qu'il a de se revêtir d'une coquille dans laquelle il vit, de sorte qu'on peut le mettre dans les deux genres. Pour la figure, on peut dire en un mot qu'il ressemble aux araignées, seulement il a le dessous de la tête & de la poitrine plus grand que l'araignée. Il porte deux especes de cornes minces & rousses, au-dessous desquelles sont deux yeux saillants & allongés qui ne se retirent point au-dedans, & ne s'inclinent point sur le côté comme ceux des cancres, mais qui demeurent toujours droits. Sous les yeux est la bouche, autour de laquelle sont des especes de barbes en grand nombre. Viennent ensuite deux pieds fourchus, dont le cancre se sert pour approcher de sa bouche ce qu'il saisit, puis, de chaque côté, deux autres pieds, & un troisieme qui est petit. Le dessous du tronç est absolument mou ; en l'ouvrant, l'intérieur est jaune. Un conduit unique va de la bouche à l'estomac, on n'en apperçoit point qui soit destiné à la décharge des excrémens. L'écaille de ses pieds est ferme ainsi que celle du dessus du tronc, mais moins ferme que dans les cancres. Le petit cancre n'est point attaché à sa coquille comme les pourpres & les buccins le sont à la leur, & il est facile de l'en dépouiller. Ceux qui habitent les coquilles turbinées sont plus allongés que ceux qui se logent dans

παραπλήσιον· τῶν δὲ δικρόων ποδῶν, τὸν μὲν δεξιὸν ἔχει μικρὸν, τὸν δ' ἀριστερὸν μέγαν, καὶ ποιεῖται τὴν βάδισιν μᾶλλον ἐπὶ τούτῳ· λαμβάνεται δὲ καὶ ἐν ταῖς κόγχαις τοιοῦτον· ὧν ἐστιν ἡ πρόσφυσις παραπλησία καὶ ἐν τοῖς ἄλλοις· τοῦτον δὲ καλοῦσι κύλλαρον. Ο δὲ νηρίτης τὸ μὲν ὄστρακον ἔχει λεῖον καὶ μέγα, καὶ στρογγύλον, τὴν δὲ μορφὴν παραπλησίαν τοῖς κήρυξι· πλὴν οὐχ ὥσπερ ἐκεῖνοι τὴν μήκωνα μέλαιναν, ἀλλ' ἐρυθράν. Προσπέφυκε δὲ νεανικῶς κατὰ τὸ μέσον. Εν μὲν οὖν ταῖς εὐδίαις, ἀπολυόμενα νέμεται ταῦτα· πνευμάτων δ' ὄντων, τὰ μὲν καρκίνια ἡσυχάζει πρὸς τοῖς λίθοις. Οἱ δὲ νηρῖται, προσέχονται μὲν, καθάπερ αἱ λεπάδες, καὶ αἱ ἀπορραΐδες, καὶ πᾶν τὸ τοιοῦτο γένος· προσφύονται δὲ ταῖς πέτραις ὅταν ἀποκλίνωσι τὸ ἐπικάλυμμα· τοῦτο γὰρ ἔοικεν εἶναι ὥσπερ πῶμα. Ο γὰρ τοῖς διθύροις ἄμφω, τοῦτο τοῖς στρομβώδεσι τὸ ἕτερον μέρος. Τὸ δ' ἐντὸς σαρκῶδές ἐστι, καὶ ἐν τούτῳ τὸ στόμα. Τὸν αὐτὸν δὲ τρόπον ἔχει ταῖς ἀπορραΐσι καὶ ταῖς πορφύραις, καὶ πᾶσι τοῖς τοιούτοις. Οσα δ' ἔχει μείζω τὸν ἀριστερὸν πόδα, ταῦτα ἐν μὲν τοῖς στρόμβοις οὐκ ἐγγίνεται, ἐν δὲ τοῖς νηρίταις ἐγγίνεται. Εἰσὶ δέ τινες κόχλοι, οἳ ἔχουσιν ἐν αὐτοῖς ὅμοια ζῶα τοῖς ἀστακοῖς τοῖς μικροῖς, οἳ γίνονται καὶ ἐν τοῖς ποταμοῖς. Διαφέρουσι δ' αὐτῶν τῷ μαλακὸν ἔχειν τὸ ἔσω τοῦ ὀστράκου. Τὴν δὲ ἰδέαν οἷοί εἰσιν, ἐκ τῶν ἀνατομῶν θεωρείσθωσαν.

V. Οἱ δ' ἐχῖνοι τὸ μὲν σαρκῶδες οὐκ ἔχουσιν, ἀλλ' ἴδιον αὐτῶν τοῦτό ἐστιν· ἐστέρηνται γὰρ πάντες, καὶ οὐκ ἔχουσι σάρκα ἐντὸς οὐδεμίαν, τὰ δὲ μέλανα, πάντες. Εστι δὲ πλείω τῶν ἐχίνων γένη· ἓν μὲν τὸ ἐσθιόμενον· τοῦτο δ' ἐστὶν ἐν ᾧ τὰ καλούμενα ᾠὰ μεγάλα γίνεται καὶ ἐδώδιμα, ὁμοίως ἐν μείζονι καὶ ἐλάττονι· καὶ γὰρ εὐθὺς, καὶ μικροὶ ὄντες, ἔχουσι ταῦτα. Αλλα δὲ δύο γένη, τό τε τῶν σπατάγων, καὶ τὸ τῶν καλουμένων βρύσσων· γίνονται δὲ οὗτοι πελάγιοι καὶ σπάνιοι. Ετι αἱ ἐχινομῆτραι καλούμεναι,

les nérites. Ces derniers en effet sont d'un autre genre, approchant du premier, mais différent en ce que, de leurs deux pieds fourchus le droit est plus petit que le gauche : c'est sur celui-ci qui est plus fort qu'il s'appuye principalement lorsqu'il marche. On prend aussi quelquefois un animal semblable dans des conques, où son adhérence est à peu près la même que celle des précédens : on le nomme le petit boiteux. La coquille du nérite est lisse, grande, ronde, approchant pour la forme de celle du buccin, mais le *mécon* du nérite est rouge, au lieu que celui du buccin est noir. Le nérite est fortement attaché à sa coquille vers le milieu. Dans les tems de calme ces Animaux se détachent pour aller prendre leur nourriture; lorsque le vent souffle, le petit cancre se tient tranquille auprès des rochers. Les nérites se meuvent comme les *lepas*, les *aporrhaïs*, & tous les autres coquillages de ce genre. Ils s'attachent aux rochers & inclinent sur eux leur coquille qui leur sert alors comme de couvercle : car la coquille unique des turbinés leur rend le même service que les bivalves tirent des deux parties de la leur. Le dedans de la coquille contient la partie charnue où est la bouche de l'animal. Ces remarques s'appliquent aux *aporrhaïs*, pourpres, & autres semblables. Pour revenir aux Animaux qui habitent des coquilles étrangeres, ceux qui ont le pied gauche plus grand que le droit ne se logent point dans les coquilles turbinées, mais dans les nérites. On trouve dans la coquille de quelques limaçons de mer des Animaux semblables aux petites écrevisses qui se forment dans les rivieres comme dans la mer : ils en différent cependant en ce que la partie de leur corps qui entre dans la coquille est molle. On connoîtra leur figure par les tables anatomiques.

Les hérissons de mer n'ont rien de charnu : c'est leur caractere distinctif V.
d'être tous également privés de chair; ils n'en ont absolument point, mais ils ont certaines particules noires. On distingue plusieurs genres de hérissons de mer. Le premier est celui que l'on sert sur les tables, c'est celui où ce qu'on nomme les œufs est gros & bon à manger. Ces œufs se trouvent également dans les petits & les grands hérissons, car dès les premiers temps, lors même que l'animal est encore petit, il a déja des œufs. Les hérissons nommés *spatages* & *bryffes* forment deux autres genres; ils se tiennent dans la haute mer & sont rares. Il y a ensuite ceux qu'on appelle hérissons-meres,

μεγέθει πάντων μέγιςαι. Πρὸς δὲ τούτοις ἄλλο γένος μικρὸν, ἀκάνθας ἔχον μεγάλας καὶ σκληράς· γίνεται δὲ ἐκ τῆς θαλάττης ἐν πολλαῖς ὀργυιαῖς· ᾧ χρῶνται πρὸς τὰς ςραγγουρίας τινές. Περὶ δὲ Τορώνην εἰσὶν ἐχῖνοι λευκοὶ θαλάττιοι, καὶ τὰ ὄςρακα καὶ τὰς ἀκάνθας καὶ τὰ ᾠά, μείζους δὲ τῶν ἄλλων εἰς μῆκος· ἡ δὲ ἄκανθα οὐ μεγάλη, οὐδὲ ἰσχυρὰ, ἀλλὰ μαλακωτέρα· τὰ δὲ μέλανα τὰ ἀπὸ τοῦ ςόματος πλείω, καὶ πρὸς μὲν τὸν ἔξω πόρον συνάπτοντα, πρὸς ἑαυτὰ δὲ ἀσύναπτα· Τούτοις δὲ ὥσπερ διειλημμένος ἐςί. Κινοῦνται δὲ μάλιςα καὶ πλειςάκις οἱ ἐδώδιμοι αὐτῶν, καὶ σημεῖον δέ τι ἀεὶ ἔχουσιν ἐπὶ ταῖς ἀκάνθαις. Ἔχουσι μὲν οὖν ἅπαντες ᾠὰ, ἀλλ' ἔνιοι πάμπαν μικρὰ καὶ οὐκ ἐδώδιμα.

Συμβαίνει δὲ τὴν μὲν λεγομένην κεφαλὴν καὶ τὸ ςόμα τὸν ἐχῖνον κάτω ἔχειν· ᾗ δ' ἀφίησι τὸ περίττωμα, ἄνω· ταὐτὸν δὲ τοῦτο συμβέβηκε τοῖς τε ςρομβώδεσι πᾶσι καὶ ταῖς λεπάσιν· ἡ γὰρ νομὴ ἐκ τῶν κάτωθεν, ὥςε τὸ μὲν ςόμα πρὸς τὴν νομὴν, τὸ δὲ περίττωμα ἄνω πρὸς τοῖς πρανέσι τοῦ ὀςράκου. Ἔχει δὲ ὁ ἐχῖνος ὀδόντας πέντε κοίλους ἔνδοθεν· ἐν μέσῳ δὲ τούτων σῶμα σαρκῶδες, ἀντὶ γλώττης. Τούτου δ' ἔχεται ὁ ςόμαχος· εἶτα ἡ κοιλία, εἰς πέντε μέρη διῃρημένη, πλήρης περιττώματος. Συνέχουσι δὲ πάντες οἱ κόλποι αὐτῆς εἰς ἓν, πρὸς τὴν ἔξοδον τῆς περιττώσεως, ᾗ τέτρυπηται τὸ ὄςρακον. Ὑπὸ δὲ τὴν κοιλίαν ἐν ἄλλῳ ὑμένι τὰ καλούμενα ᾠά ἐςιν, ἴσα τῷ ἀριθμῷ ὄντα ἐν πᾶσι· πέντε γάρ ἐςι καὶ περιττά· ἄνω δὲ τὰ μέλανα· ἀπὸ δὲ τῆς ἀρχῆς τῶν ὀδόντων ἤρτηται, ἅ ἐςι πικρὰ καὶ οὐκ ἐδώδιμα. Ἐν πολλοῖς δὲ τῶν ζώων τὸ τοιοῦτόν ἐςιν, ἢ τὸ ἀνάλογον· καὶ γὰρ ἐν ταῖς χελώναις, καὶ ἐν φρύναις, καὶ ἐν βατράχοις, καὶ ἐν τοῖς ςρομβώδεσι, καὶ ἐν τοῖς μαλακοῖς· ἀλλὰ τῷ χρώματι διαφέρει, καὶ ἄβρωτά ἐςι τὰ τοιαῦτα, ἢ πάμπαν, ἢ μᾶλλον. Κατὰ μὲν οὖν τὴν ἀρχὴν καὶ τελευτὴν συνεχὲς τὸ σῶμα τοῦ ἐχίνου ἐςὶ, κατὰ δὲ τὴν ἐπιφάνειαν οὐ συνεχὲς, ἀλλ' ὅμοιον λαμπτῆρι μὴ ἔχοντι τὸ κύκλῳ

& qui ſont les plus grands de tous ; puis un dernier genre petit mais qui a les piquants longs & durs. Ils naiſſent dans les endroits où la mer a beaucoup de braſſes de profondeur. Quelques perſonnes les employent comme un reméde contre les difficultés d'uriner. Aux environs de Torone on trouve des hériſſons de mer dont la coquille, les piquants & les œufs ſont blancs. Ils ſont plus allongés que les autres, mais leurs épines ne ſont ni auſſi longues ni auſſi fortes : elles ſont plus molles. A leur bouche commencent un grand nombre de corpuſcules noirs qui ſont prolongés juſqu'à l'orifice excrétoire, mais qui ne tiennent point les uns aux autres. Ils partagent pour ainſi dire le hériſſon en pluſieurs parties. Les hériſſons de l'eſpece qui ſe mange ſont ceux qui ſe meuvent davantage & le plus ſouvent : la preuve en eſt qu'ils ont toujours quelque choſe entre les piquants. Tous ces Animaux ont des œufs, mais dans quelques-uns ils ſont extrêmement petits, & ne ſe mangent point.

Ce qu'on appelle la tête du hériſſon & ſa bouche eſt placé en deſſous, tandis que l'ouverture par laquelle ſortent ſes excrémens eſt en-deſſus. Il en eſt de même dans tous les coquillages turbinés, & dans les *lepas*. Leur nourriture ſe trouvant en bas, il faut bien que leur bouche ſoit tournée du même côté ; les excrémens au contraire ſortent par en haut, du côté de la coquille qui regarde le ciel. Le hériſſon a cinq dents, intérieurement creuſes, & au milieu d'elles eſt une partie qui reſſemble à de la chair & qui lui tient lieu de langue. L'œſophage ſuit, puis l'eſtomac diviſé en cinq parties, & plein d'excrémens. Toutes les cavités de l'eſtomac ſe réuniſſent en une qui va ſe rendre à l'orifice excrétoire, à l'endroit où la coquille eſt percée. Ce qu'on appelle les œufs eſt ſous l'eſtomac, dans une membrane ſéparée. Leur nombre eſt impair & toujours le même : on en compte cinq. Les corpuſcules noirs ſont en haut & attachés à la racine des dents : ce ſont des parties amères qui ne ſont pas bonnes à manger. On trouve des parties ſemblables, ou analogues dans un grand nombre d'Animaux, dans les tortues par exemple, dans la grenouille de haye & la grenouille commune, dans les coquillages turbinés & dans les molluſques, mais la couleur n'eſt pas la même ; il eſt impoſſible de les manger, ou du moins cela fait un mauvais mêts. Quoique les parties qui forment le corps du hériſſon ſoient jointes vers la tête & vers la partie oppoſée, à voir ſa ſurface on croiroit qu'elles n'ont aucune liaiſon. Il reſſemble à un falot rond qui n'auroit que les côtes ſans la peau qui doit le couvrir.

δέρμα. Ταῖς δ' ἀκάνθαις ὁ ἐχῖνος χρῆται ὡς ποσί· ταύταις γὰρ ἀπερειδόμενος καὶ κινούμενος μεταβάλλει τὸν τόπον.

VI. Τὰ δὲ καλούμενα τήθυα τούτων πάντων ἔχει τὴν φύσιν περιττοτάτην· κέκρυπται γὰρ αὐτῶν μόνων τὸ σῶμα ἐν τῷ ὀστράκῳ πᾶν· τὸ δὲ ὄστρακόν ἐστι μεταξὺ δέρματος καὶ ὀστράκου, διὸ καὶ τέμνεται ὥσπερ βύρσα σκληρά. Προσπέφυκε μὲν οὖν ταῖς πέτραις τῷ ὀστράκῳ· δύο δ' ἔχει πόρους ἀπέχοντας ἀπ' ἀλλήλων, πάμπαν μικροὺς καὶ οὐ ῥαδίους ἰδεῖν, ᾗ ἀφίησι τὸ ὑγρὸν καὶ δέχεται· περίττωμα γὰρ οὐδὲν ἔχει φανερὸν, ὥσπερ τῶν ἄλλων ὀστρέων, τὰ μὲν ὥσπερ ἐχῖνος, τὰ δὲ τὴν καλουμένην μήκωνα. Ανοιχθέντα δ' ἔσωθεν, πρῶτον μὲν ὑμένα ἔχει νευρώδη περὶ τὸ ὀστρακῶδες, ἐν δὲ τούτῳ ἐστὶν αὐτὸ τὸ σαρκῶδες τοῦ τηθύου, οὐδενὶ δ' ἐστὶν ὅμοιον τῶν ἄλλων· αὐτὴ μέντοι ἡ σὰρξ πᾶσιν ὁμοία. Προσπέφυκε δὲ τοῦτο κατὰ δύο τόπους τῷ ὑμένι καὶ τῷ δέρματι ἐκ πλαγίου· καὶ ᾗ προσπέφυκε ταύτῃ ἐστὶ στενώτερον ἐφ' ἑκάτερα, οἷς τείνει πρὸς τοὺς πόρους τοὺς ἔξω διὰ τοῦ ὀστράκου φέροντας, ᾗ ἀφίησι καὶ δέχεται τὴν τροφὴν καὶ τὸ ὑγρόν· ὡς ἂν εἰ τὸ μὲν στόμα εἴη, τὸ δὲ τῇ περιττώσει ἔξοδος. Καὶ ἔστιν αὐτῶν τὸ μὲν παχύτερον, τὸ δὲ λεπτότερον, ἔσω δὲ κοῖλον ἐφ' ἑκάτερα, καὶ διείργει μικρόν τι συνεχές· ἐν θατέρῳ δὲ τῶν κοίλων ἡ ὑγρότης ἐγγίνεται. Αλλο δὲ οὐδὲν ἔχει μόριον, οὔτε ὀργανικὸν, οὔτε αἰσθητήριον, οὔτε, ὥσπερ ἐλέχθη πρότερον ἐν τοῖς ἄλλοις, τὸ περιττωματικόν. Χρῶμα δὲ τοῦ τηθύου ἐστὶ τὸ μὲν ὠχρὸν, τὸ δ' ἐρυθρόν.

5. Εστι δὲ καὶ τὸ τῶν ἀκαλήφων γένος ἴδιον. Προσπέφυκε δὲ ταῖς πέτραις ὥσπερ ἔνια τῶν ὀστρακοδέρμων, ἀπολύεται δ' ἐνίοτε. Οὐκ ἔχει δὲ ὄστρακον, ἀλλὰ σαρκῶδες τὸ σῶμα πᾶν ἐστιν αὐτῆς. Αἰσθάνεται δὲ καὶ συναρπάζει προσφερομένης τῆς χειρός· καὶ προσέχεται, καθάπερ ὁ πολύπους ταῖς πλεκτάναις, οὕτως ὥστε τὴν σάρκα ἐπανοιδεῖν. Εχει δὲ τὸ στόμα ἐν μέσῳ, καὶ ζῇ ἀπὸ

Le hériſſon ſe ſert de ſes piquants comme de pieds ; il s'appuye deſſus, & leur mouvement le tranſporte d'un lieu à un autre.

Les teſtacées appellés téthyes ſont d'une nature bien plus ſinguliere que tous ceux que nous venons de décrire. Ce ſont les ſeuls dont la totalité du corps ſoit cachée dans la coquille, & cette coquille eſt d'une ſubſtance moyenne entre celles des autres teſtacées & le cuir : on la coupe comme un cuir ſec. Les téthyes s'attachent aux rochers par leur coquille. Ils ont deux ouvertures éloignées l'une de l'autre, très-petites & difficiles à appercevoir, pour avaler & rejetter l'eau, car on ne leur voit pas les excrémens qu'on voit aux autres teſtacées : ils n'ont ni excrêmens tels que ceux du hériſſon, ni ce qu'on appelle dans d'autres le *mécon*. En ouvrant un téthye on apperçoit d'abord en dedans une membrane nerveuſe autour de ce qui leur tient lieu de coquille ; cette membrane renferme la partie charnue différente de celle de tous les autres teſtacées, mais la même dans tous les téthyes. Cette partie charnue eſt attachée en deux endroits ſur le côté tant à la membrane qu'au cuir, & elle ſe reſſerre en ces deux endroits dans la direction des conduits qui mènent aux ouvertures dont la coquille eſt percée à l'extérieur, & qui ſervent d'entrée & d'iſſue à l'eau & aux alimens ; on peut regarder l'une de ces ouvertures comme la bouche, & l'autre comme l'anus. L'un des conduits eſt plus épais, l'autre plus mince : ils ont des cavités d'un & d'autre côté, & ces cavités ſont ſéparées par un petit corps qui va d'un bout à l'autre. L'un des deux contient quelque choſe de liquide. Les téthyes n'ont d'ailleurs ni aucune autre partie organique, ni aucun ſens ; ils n'ont point non plus de ces excrémens que j'ai dit ſe trouver dans les autres teſtacées. Quant à la couleur, on en voit de jaunes & de rouges. VI.

Les orties de mer ſont un autre genre particulier. Elles s'attachent aux rochers comme quelques-uns des teſtacées, mais quelquefois auſſi elles s'en détachent. Les orties de mer n'ont point de coquille, tout leur corps eſt charnu. Elles ſentent lorſqu'on avance la main, la ſaiſiſſent & la ſerrent, comme feroit le polype avec ſes bras ; aſſez fortement pour la faire enfler. Leur bouche eſt au centre : le rocher leur eſt pour la vie ce que la coquille eſt 5.

τῆς πέτρας, ὥσπερ ἀπ᾿ ὀστρέου· καὶ ἄν τι προσπέσῃ τῶν μικρῶν ἰχθυδίων, ἀντέχεται ὥσπερ τῆς χειρός· οὕτω κἂν προσπέσῃ αὐτῇ ἐδώδιμον, κατεσθίει. Καὶ ἀπολύεται δὲ γένος τι αὐτῶν· ὃ ἄν τι προσπέσῃ κατεσθίει, καὶ ἐχίνους καὶ κτένας. Περίττωμα δ᾿ οὐδὲν παντελῶς φαίνεται ἔχουσα, ἀλλ᾿ ὁμοία κατὰ τοῦτο τοῖς φυτοῖς. Ἔστι δὲ γένη τῶν ἀκαλήφων δύο· αἱ μὲν ἐλάττους καὶ ἐδώδιμοι μᾶλλον· αἱ δὲ μεγάλαι καὶ σκληραὶ, οἷαι γίνονται καὶ περὶ Χαλκίδα. Τοῦ μὲν οὖν χειμῶνος τὴν σάρκα στιφρὰν ἔχουσι· διὸ καὶ θηρεύονται, καὶ ἐδώδιμοί εἰσι· τοῦ δὲ θέρους ἀπόλλυνται. Γίνονται γὰρ μαδαραὶ, καὶ ἄν τις θίγῃ, διασπῶνται ταχέως, καὶ ὅλως οὐ δύνανται ἀφαιρεῖσθαι. Πονοῦσαί τε ταῖς ἀλέαις, εἰς τὰς πέτρας ἐνδύονται μᾶλλον.

6. Περὶ μὲν οὖν τῶν μαλακίων καὶ τῶν μαλακοστράκων καὶ τῶν ὀστρακοδέρμων, ὅσα τε ἔχουσιν μέρη ἐκτὸς, καὶ ὅσα ἐντὸς, εἴρηται· περὶ δὲ τῶν ἐντόμων λεκτέον τὸν αὐτὸν τρόπον. Ἔστι δὲ

VII. τὸ γένος τοῦτο πολλὰ ἔχον εἴδη ἐν αὑτῷ· καὶ ἐνίοις πρὸς ἄλληλα συγγενικοῖς οὖσιν οὐκ ἐπέζευκται κοινὸν ὄνομα οὐδὲν, οἷον ἐπὶ μελίττῃ, καὶ ἀνθρίνῃ, καὶ σφηκὶ, καὶ τοῖς τοιούτοις· καὶ πάλιν ὅσα τὸ πτερὸν ἔχει ἐν κολεῷ, οἷον μηλολόνθη καὶ κάνθαρος, καὶ κανθαρὶς, καὶ ὅσα τοιαῦτα. Πάντων μὲν οὖν κοινὰ μέρη ἐστὶ τρία, κεφαλή τε, καὶ τὸ περὶ τὴν κοιλίαν κύτος, καὶ τρίτον τὸ μεταξὺ τούτων· οἷον τοῖς ἄλλοις τὸ στῆθος καὶ τὸ νῶτόν ἐστι. Τοῦτο δὲ τοῖς μὲν πολλοῖς ἕν ἐστιν· ὅσα δὲ μακρὰ καὶ πολύποδα, σχεδὸν, ἴσα ταῖς ἐντομαῖς ἔχει τὰ μεταξύ. Πάντα δ᾿ ἔχει διαιρούμενα ζωὴν τὰ ἔντομα· πλὴν ἃ ἢ λίαν κατέψυκται, ἢ διὰ μικρότητα ταχὺ καταψύχεται, ἐπεὶ καὶ οἱ σφῆκες διαιρεθέντες ζῶσι. Μετὰ μὲν οὖν τοῦ μέσου, καὶ ἡ κεφαλὴ καὶ ἡ κοιλία ζῇ, ἄνευ δὲ τούτου ἡ κεφαλὴ οὐ ζῇ. Ὅσα δὲ μακρὰ καὶ πολύποδά ἐστι, πολὺν χρόνον ζῇ διαιρούμενα, καὶ κινεῖται τὸ ἀποτμηθὲν ἐπ᾿ ἀμφότερα τὰ ἔσχατα, καὶ γὰρ ἐπὶ τὴν τομὴν πορεύεται καὶ ἐπὶ τὴν οὐρὰν, οἷον ἡ καλουμένη σκολόπενδρα.

aux autres testacées. S'il leur tombe quelque petit poisson, elles le saisissent ainsi que j'ai dit qu'elles prenoient la main, & le mangent : de même s'il se rencontre quelque autre proie. Il y a une sorte d'orties de mer qui se détachent de leur rocher : celles-ci mangent également ce qu'elles rencontrent, hérissons même & pétoncles, mais on ne leur apperçoit absolument aucun excrément ; à cet égard elles ressemblent aux plantes. On distingue deux sortes d'orties de mer : de petites qu'on mange plus volontiers, & d'autres grandes & dures, telles que celles des environs de Chalcis. La saison de les pêcher & de les manger est l'hiver, parce qu'alors elles ont la chair ferme : l'été elles ne valent rien, leur chair se dissout ; si on les touche on les déchire aisément, & il est impossible de les tirer de l'eau entieres. D'ailleurs la chaleur les tourmente ; elles cherchent pour s'en défendre un abri dans les creux des rochers.

J'ai décrit les parties tant extérieures qu'intérieures des mollusques, des crustacées & des testacées : je vais entrer dans le même détail pour les insectes. Le genre des insectes renferme un grand nombre d'especes, dont plusieurs, quoique voisines, n'ont pas néanmoins de dénomination commune qui les réunisse. Par exemple l'abeille, le frelon, la guêpe & autres semblables manquent d'un nom commun. Il en est de même de ceux qui ont les aîles dans des étuis comme le scarabée, le pillulaire, la cantharide & d'autres semblables. Il y a trois parties communes à tous les insectes, la tête, le tronc qui renferme le ventre, & une troisieme partie intermédiaire qui est aux insectes ce qu'est aux autres Animaux le dos & la poitrine. Dans le plus grand nombre cette partie est d'une seule piece, dans ceux qui sont longs & qui ont plusieurs pieds elle est divisée en autant de portions à peu près qu'ils ont d'anneaux. Tous les insectes vivent quoique coupés, excepté ceux dont la nature est très-froide, ou que le froid saisit promptement à cause de leur petitesse : les guêpes elles-même vivent coupées. La tête & le ventre vivent pourvu qu'ils restent unis à la partie du milieu ; la tête ne vivroit pas seule. Les insectes longs & à plusieurs pieds vivent long-temps après qu'on les a coupés. La partie séparée du reste de l'animal a du mouvement vers l'une & l'autre extrémité : elle s'avance soit du côté de la coupure soit du côté de la queue. Voyez la scolopendre.

6. VII.

Εχει δὲ ὀφθαλμοὺς μὲν ἅπαντα, ἄλλο δὲ αἰσθητήριον οὐδὲν φανερόν· πλὴν ἔνια γλῶτταν, ἣν καὶ τὰ ὀστρακόδερμα ἔχει πάντα, ᾗ καὶ γεύεται καὶ εἰς αὑτὸ τὴν τροφὴν ἀνασπᾷ. Τοῦτο δὲ, τοῖς μὲν μαλακὸν, τοῖς δ' ἔχει ἰσχὺν πολλὴν, ὥσπερ ταῖς πορφύραις· καὶ οἱ μύωπες δὲ καὶ οἱ οἶστροι ἰσχυρὸν τοῦτο ἔχουσι, καὶ τἄλλα σχεδὸν τὰ πλεῖστα. Εν ἅπασι γὰρ τοῖς μὴ ὀπισθοκέντροις, τοῦτο ὥσπερ ὅπλον ἔχει ἕκαστον· ὅσα δ' ἔχει τοῦτο, ὀδόντας οὐκ ἔχει, ἔξω ὀλίγων τινῶν· ἐπεὶ καὶ αἱ μυῖαι τούτῳ θιγγάνουσαι αἱματίζουσι, καὶ οἱ κώνωπες τούτῳ κεντοῦσιν. Εχουσι δ' ἔνια τῶν ἐντόμων καὶ κέντρα. Τὸ δὲ κέντρον τὰ μὲν ἔχει ἐν αὑτοῖς, οἷον αἱ μέλιτται καὶ οἱ σφῆκες· τὰ δ' ἐκτὸς, οἷον σκορπίος· καὶ μόνον δὴ τῶν ἐντόμων τοῦτο μακρόκερκόν ἐστιν· ἔτι δὲ χηλὰς ἔχει τοῦτό τε, καὶ τὸ ἐν τοῖς βιβλίοις γινόμενον σκορπιῶδες.

Τὰ δὲ πτηνὰ αὐτῶν πρὸς τοῖς ἄλλοις μορίοις, καὶ πτερὰ ἔχει. Εστι δὲ τὰ μὲν δίπτερα αὐτῶν, ὥσπερ αἱ μυῖαι· τὰ δὲ τετράπτερα, ὥσπερ αἱ μέλιτται· οὐδὲν δ' ἐστὶ δίπτερον ὀπισθόκεντρον. Ετι δὲ τὰ μὲν ἔχει τῶν πτηνῶν ἔλυτρον τοῖς πτεροῖς, ὥσπερ ἡ μηλολόνθη· τὰ δὲ ἀνέλυτρά ἐστιν, ὥσπερ ἡ μέλιττα. Ανορροπύγιος δὲ πάντων αὐτῶν ἡ πτῆσίς ἐστι, καὶ τὸ πτερὸν οὐκ ἔχει καυλὸν οὐδὲ σχίσιν. Ετι κεραίας πρὸ τῶν ὀμμάτων ἔνια ἔχει, οἷον αἵ τε ψυχαὶ, καὶ οἱ κάραβοι· Οσα δὲ πηδητικὰ αὐτῶν ἐστι, τούτων τὰ μὲν ἔχει τὰ ὄπισθεν σκέλη μείζω· τὰ δὲ πηδάλια καμπτόμενα εἰς τοὔπισθεν, ὥσπερ τὰ τῶν τετραπόδων σκέλη. Πάντα δ' ἔχει τὰ πρανῆ πρὸς τὰ ὕπτια διαφορὰς, ὥσπερ καὶ τὰ ἄλλα ζῶα· ἡ δὲ τοῦ σώματος σὰρξ οὔτε ὀστρακώδης ἐστὶν, οὔτε οἷον τὸ ἐντὸς τῶν ὀστρακωδῶν οὕτω σαρκώδης, ἀλλὰ μεταξύ. Διὸ καὶ οὔτε ἄκανθαν ἔχουσιν οὔτε ὀστοῦν, οὔτε οἷον σηπίον, οὔτε κύκλῳ ὄστρακον. Αὐτὸ γὰρ αὑτὸ τὸ σῶμα διὰ τὴν σκληρότητα σώζει, καὶ οὐ προσδεῖται ἑτέρου ἐρείσματος· δέρμα δ' ἔχουσι μὲν, πάμπαν δὲ τοῦτο λεπτόν.

Tous les insectes ont des yeux, mais on ne découvre chez eux l'organe d'aucune autre sensation, si ce n'est que quelques-uns ont une langue comme en ont les testacées. Elle est pour eux l'organe du goût, & leur sert à pomper leur nourriture. Dans quelques-uns cette langue est molle, dans d'autres elle est très-forte, comme est celle des pourpres. Les taons & les mouches asiles l'ont de cette force : on pourroit en dire autant de la plûpart des autres. Dans les insectes qui n'ont point d'aiguillon en arriere la langue est comme leur arme : ceux qui ont une langue n'ont point de dents, ou du moins y en a-t-il peu qui en ayent. La langue des mouches pique jusqu'au sang : c'est par elle aussi que les cousins percent la peau. Quelques insectes ont en outre des aiguillons, tantôt renfermés dans le corps comme l'est celui des abeilles & des guêpes, tantôt apparent à l'extérieur, comme celui des scorpions. Le scorpion est le seul insecte qui ait une longue queue. Il a d'ailleurs des pinces, de même que cette petite espece de scorpions qui s'engendre dans nos livres.

Les insectes volans, outre les parties dont nous venons de parler, ont des aîles : ils en ont ou deux comme les mouches, ou quatre comme les abeilles. Deux aîles & l'aiguillon en arriere sont des caracteres qui ne se trouvent jamais réunis. Les uns, tels que les scarabées, ont leurs aîles recouvertes d'un étui ; les autres, tels que l'abeille, les ont sans etui. Aucun insecte n'a de queue pour diriger son vol comme en ont les oiseaux. Leur aîle n'a ni tuyaux ni séparations. On remarque encore dans quelques-uns de petites cornes en devant des yeux : voyez le papillon & la sauterelle. Parmi ceux des insectes qui sautent, les uns ont les pattes de derriere fort grandes, les autres ont leurs sautoirs, pour me servir de ce terme, articulés de façon que le pli est en arriere, comme dans les jambes de derriere des quadrupedes. Dans tous on remarque, ainsi que chez les autres Animaux, des différences entre le dessus & le dessous de leur corps. Ce qui compose la masse du corps des insectes n'est ni de la nature des coquilles, ni une chair telle que celle de l'intérieur des testacées, il est d'une nature mitoyenne : c'est pourquoi ils n'ont ni arrete, ni os, ni partie solide telle que l'os de la seche, ni coquille qui les couvre : leur corps se soutient lui-même par sa solidité naturelle, sans avoir besoin d'autre appui. Ils ont de la peau, mais elle est extrémement fine.

Τὰ μὲν οὖν ἔξωθεν, αὐτῶν μόρια τοιαῦτα καὶ τοῦτον ἔχει τὸν τρόπον. Ἐντὸς δ' εὐθὺς μετὰ τὸ στόμα ἔντερον, τοῖς μὲν πλείστοις εὐθὺ, καὶ ἁπλοῦν μέχρι τῆς ἐξόδου ἐστὶν, ὀλίγοις δ' ἑλιγμὸν ἔχει. Σπλάγχνον δὲ οὐδὲν ἔχει τῶν τοιούτων, οὐδὲ πιμελὴν, ὥσπερ οὐδὲ ἄλλο τῶν ἀναίμων οὐδέν. Ἔνια δ' ἔχει καὶ κοιλίαν, καὶ ἀπὸ ταύτης τὸ λοιπὸν ἔντερον ἢ ἁπλοῦν, ἢ εἱλιγμένον ὥσπερ αἱ ἀκρίδες. Ὁ δὲ τέττιξ, μόνον τῶν τοιούτων καὶ τῶν ἄλλων δὲ ζώων, στόμα οὐκ ἔχει, ἀλλ' οἷον τοῖς ὀπισθοκέντροις τὸ γλωττοειδὲς, τοῦτο μακρὸν καὶ συμφυὲς, καὶ ἀδιάσχιστον, δι' οὗ τῇ δρόσῳ τρέφεται μόνον· ἐν δὲ τῇ κοιλίᾳ οὐκ ἴσχει περίττωμα. Ἔστι δ' αὐτῶν πλείω εἴδη, καὶ διαφέρουσι μεγέθει τε καὶ μικρότητι, καὶ τῷ τοὺς μὲν καλουμένους ἀχέτας ὑπὸ τὸ ὑπόζωμα διῃρῆσθαι, καὶ ἔχειν ὑμένα φανερὸν, τὰ δὲ τεττιγόνια μὴ ἔχειν.

7. Ἔστι δ' ἔνια ζῶα περιττὰ καὶ ἐν τῇ θαλάττῃ· ἃ, διὰ τὸ σπάνια εἶναι, οὐκ ἔστι θεῖναι εἰς γένος. Ἤδη γάρ τινες φασὶ τῶν ἐμπειρικῶν ἁλιέων, οἱ μὲν ἑωρακέναι ἐν τῇ θαλάττῃ ὅμοια δοκοῖς, μέλανα, στρογγύλα τε καὶ ἰσοπαχῆ· ἕτερα δ' ἀσπίσιν ὅμοια, τὸ μὲν χρῶμα ἐρυθρὰ, πτερύγια δ' ἔχοντα πυκνά· καὶ ἄλλα ὅμοια αἰδοίῳ ἀνδρὸς, τό τε εἶδος καὶ τὸ μέγεθος· πλὴν ἀντὶ τῶν ὄρχεων πτέρυγας ἔχειν δύο· καὶ λαβέσθαι ποτὲ τοιοῦτον τοῦ πολυαγκίστρου τῷ ἄκρῳ.

8. VIII Τὰ μὲν οὖν μέρη τῶν ζώων πάντων τά τ' ἐντὸς καὶ τὰ ἐκτὸς περὶ ἕκαστον γένος, καὶ ἰδίᾳ καὶ κοινῇ, τοῦτον ἔχει τὸν τρόπον· περὶ δὲ τῶν αἰσθήσεων νῦν λεκτέον. Οὐ γὰρ ὁμοίως πᾶσιν ὑπάρχουσιν, ἀλλὰ τοῖς μὲν πᾶσαι, τοῖς δ' ἐλάττους· εἰσὶ δὲ πλεῖσται, καὶ παρ' ἃς οὐδεμία φαίνεται ἴδιος ἑτέρα, πέντε τὸν ἀριθμόν· ὄψις, ἀκοὴ, ὄσφρησις, γεῦσις, ἁφή. Ἄνθρωπος μὲν οὖν, καὶ τὰ ζωοτόκα καὶ πεζὰ, καὶ ἔτι πρὸς τούτοις καὶ ὅσα ἔναιμα καὶ ζωοτόκα, πάντα φαίνεται ἔχοντα ταύτας πάσας, πλὴν εἴ

Voilà pour les parties extérieures des inſectes. Leurs parties intérieures ſont, d'abord après la bouche, un inteſtin qui dans la plûpart eſt ſimple & va directement à l'anus. Dans quelques-uns, en petit nombre, l'inteſtin forme des circonvolutions. Aucun inſecte, non plus que tout autre animal qui n'a point de ſang, n'a ni viſcere ni graiſſe. Quelques-uns ont un eſtomac, & alors c'eſt delà que part l'inteſtin, ſoit qu'il ſoit droit, ou qu'il forme des replis. On en a un exemple dans le criquet. La cigale eſt la ſeule, ſoit parmi les inſectes, ſoit parmi les autres Animaux, qui n'ait point de bouche. Elle a comme les inſectes qui portent leur aiguillon en arriere, une ſorte de langue, continue à ſa tête, & d'une ſeule piece, par laquelle elle pompe la roſée ſon unique aliment : on ne lui trouve point d'excrémens dans le ventre. Les cigales ſe partagent en pluſieurs eſpeces, à raiſon de leur plus ou moins de grandeur, & encore à raiſon de ce que dans celles qu'on nomme *chanteuſes*, la coupure qui eſt ſous la partie antérieure de leur corps eſt bien marquée, & la membrane qui eſt en cet endroit, bien apparente, au lieu qu'il n'en eſt pas de même dans les petites cigales.

Outre les Animaux que j'ai décrits, la mer en renferme quelques autres 7.
d'une nature ſinguliere, mais trop peu communs pour pouvoir les diſtribuer ſous des genres. Quelques pêcheurs, gens d'expérience, diſent avoir vu dans la mer des Animaux ſemblables à des pieces de bois, noirs, ronds, par tout de groſſeur égale : d'autres qui étoient faits comme des boucliers, rouges de couleur, & ayant un grand nombre de nageoires ; d'autres ſemblables pour la figure & pour la grandeur aux parties génitales de l'homme, excepté que les teſticules étoient remplacés par deux nageoires. Il s'en prend quelquefois de ceux-ci, ſelon le rapport des pêcheurs, aux pointes d'un inſtrument qui ſert à la pêche & qui eſt compoſé de pluſieurs crochets.

J'ai donné le détail des parties intérieures & extérieures de tous les Ani- 8. VIII.
maux, tant de celles qui ſont communes à pluſieurs genres, que de celles qui ſont particulieres à quelques-uns. Il eſt temps de traiter des ſens. Les ſens ne ſe trouvent point également dans tous les Animaux ; quelques-uns les ont tous : d'autres n'en ont qu'une partie. Le nombre des ſens ſe réduit à cinq ; la vue, l'ouie, l'odorat, le goût & le toucher : nous n'en connoiſſons aucun qu'on puiſſe diſtinguer de ceux-là. Tous les cinq ſe montrent dans l'homme & dans les Animaux vivipares qui ſe ſervent de pieds pour ſe mouvoir, ou, pour parler plus généralement, dans les Animaux qui ont du ſang & qui ſont

τι πεπήρωται γένος, οἷον τὸ τῶν ἀσπαλάκων. Τοῦτο μὲν γὰρ ὄψιν οὐκ ἔχει· ὀφθαλμοὺς μὲν γὰρ ἐν τῷ φανερῷ οὐκ ἔχει· ἀφαιρεθέντος δὲ τοῦ δέρματος, ὄντος παχέος, ἀπὸ τῆς κεφαλῆς, κατὰ τὴν χώραν τὴν ἔξωθεν τῶν ὀμμάτων ἔσωθέν εἰσιν οἱ ὀφθαλμοὶ διεφθαρμένοι, πάντα ἔχοντες ταὐτὰ τὰ μέρη τοῖς ἀληθινοῖς. Ἔχουσι γὰρ τό τε μέλαν, καὶ τὸ ἐντὸς τοῦ μέλανος τὴν καλουμένην κόρην, καὶ τὸ κυκλώπιον· ἐλάττω μέντοι ταῦτα τῶν φανερῶν ὀφθαλμῶν· εἰς δὲ τὸ ἔξω τούτων οὐδὲν σημαίνει διὰ τὸ τοῦ δέρματος πάχος, ὡς ἐν τῇ γενέσει πηρουμένης τῆς φύσεως. Εἰσὶ γὰρ ἀπὸ τοῦ ἐγκεφάλου, ᾗ συνάπτει τὸ νεῦρον, δύο πόροι νευρώδεις, καὶ ἰσχυροὶ, παρ' αὐτὰς τείνοντες τὰς ἕδρας τῶν ὀφθαλμῶν, τελευτῶντες δὲ εἰς τοὺς ἄνω χαυλιόδοντας. Τὰ δὲ ἄλλα καὶ τῶν χρωμάτων αἴσθησιν ἔχει, καὶ τῶν ψόφων, ἔτι δὲ καὶ ὀσμῆς, καὶ χυμῶν· τὴν δὲ πέμπτην αἴσθησιν, τὴν ἁφὴν καλουμένην, καὶ τὰ ἄλλα πάντα ἔχει ζῶα.

Ἐν μὲν οὖν ἐνίοις καὶ τὰ αἰσθητήρια φανερώτατά εἰσι, τὰ μὲν τῶν ὀμμάτων, καὶ μᾶλλον. Διωρισμένον γὰρ ἔχει τὸν τόπον τῶν ὀφθαλμῶν, καὶ τῆς ἀκοῆς· ἔνια μὲν γὰρ ὦτα ἔχει· ἔνια δὲ τοὺς πόρους φανερούς. Ὁμοίως δὲ καὶ περὶ ὀσφρήσεως· τὰ μὲν γὰρ ἔχει μυκτῆρας· τὰ δὲ τοὺς πόρους τοὺς τῆς ὀσφρήσεως, οἷον τὸ τῶν ὀρνίθων γένος. Ὁμοίως δὲ καὶ τὸ τῶν χυμῶν αἰσθητήριον τὴν γλῶτταν ἔχουσιν· ἐν δὲ τοῖς ἐνύδροις, καλουμένοις δὲ ἰχθύσι, τὸ μὲν τῶν χυμῶν αἰσθητήριον τὴν γλῶτταν ἔχουσι μὲν, ἔχουσι δ' ἀμυδρῶς· ὀστώδη τε γὰρ, καὶ οὐκ ἀπολελυμένην. Ἀλλ' ἐνίοις τῶν ἰχθύων ὁ οὐρανός ἐστι σαρκώδης, οἷον τῶν ποταμίων ἐν τοῖς κυπρίνοις, ὥστε τοῖς μὲν σκοπουμένοις ἀκριβῶς, δοκεῖν ταύτην εἶναι γλῶτταν. Ὅτι δὲ αἰσθάνονται γευόμενα φανερόν· ἰδίοις τε γὰρ πολλὰ χαίρει χυμοῖς, καὶ τὸ τῆς ἀμίας λαμβάνουσι μάλιστα δέλεαρ, καὶ τὸ πῖον τῶν ἰχθύων· ὡς χαίροντες τῇ γεύσει, καὶ ἐν τῇ ἐδωδῇ τοῖς τοιούτοις δελέασι. Τῆς δ' ἀκοῆς καὶ τῆς

vivipares. Si quelqu'une des especes comprises dans ces termes est privée de quelqu'un des sens, c'est l'effet d'un vice particulier à cette espece. C'est ainsi que les taupes sont privées de la vue ; elles n'ont point d'yeux apparens à l'extérieur ; mais si on souleve la peau qui couvre leur tête & qui est assez épaisse, on voit à l'endroit où les yeux ont coutume de paroître dans les autres Animaux, des yeux qui leur sont inutiles, sans cependant manquer d'aucune des parties propres à cet organe. On y distingue le blanc de l'œil, l'iris, & au milieu de l'iris la prunelle : seulement ces parties sont plus petites que dans les Animaux qui ont l'œil découvert, & rien de tout cela ne paroît au dehors à cause de l'épaisseur de la peau. La taupe est comme aveuglée dès l'instant de sa formation : car elle a d'ailleurs deux conduits forts & nerveux qui partent du point où le nerf se joint au cerveau, & passent près des orbites, mais ils vont aboutir aux deux dents saillantes de la machoire supérieure. Les autres Animaux que j'ai indiqués ont & la sensation des couleurs, & celle des sens, & celle des odeurs, & celle des saveurs : ils ont aussi le cinquiéme sens que l'on appelle le toucher : celui-ci leur est commun avec tous les Animaux quels qu'ils soient.

Les organes des sens sont quelquefois très-apparens, & les yeux sur-tout ; ils ont leur place déterminée. De même pour l'organe de l'ouie : mais quelques Animaux ont des oreilles extérieures, tandis que les autres ont seulement des ouvertures qui paroissent au-dehors. Il en est encore de même pour l'odorat : quelques Animaux ont des narines ; d'autres, comme les oiseaux, ont simplement des conduits qui menent à l'organe de l'odorat. Enfin il y a la langue pour l'organe du goût. Les Animaux aquatiques de la classe des poissons ont bien cette langue, cet organe du goût, mais il est moins parfait, parce que leur langue est osseuse & qu'elle n'est point détachée. Quelques-uns, comme la carpe entre les poissons de riviere, ont seulement le palais charnu : néanmoins, en y faisant attention, on voit que cette partie est véritablement leur langue. Au reste il est facile de se convaincre que les poissons ont le sens du goût : un grand nombre préférent certains alimens qui leur plaisent davantage : ils saisissent plus avidement les appas faits avec le boniton ou la graisse de poisson, ils paroissent en aimer le goût, & les

ὀσφρήσεως, οὐδὲν ἔχουσι φανερὸν αἰσθητήριον. Ο γὰρ ἂν τισιν εἶναι δόξειε κατὰ τοὺς τόπους τῶν μυκτήρων, οὐδὲν περαίνει πρὸς τὸν ἐγκέφαλον· ἀλλὰ τὰ μὲν τυφλὰ, τὰ δὲ φέρει μέχρι τῶν βραγχίων.

Οτι δὲ καὶ ἀκούουσι καὶ ὀσφραίνονται φανερόν. Τούς τε γὰρ ψόφους φεύγοντα φαίνεται τοὺς μεγάλους, οἷον τὰς εἰρεσίας τῶν τριήρων· ὥστε λαμβάνεσθαι ῥᾳδίως ἐν ταῖς θαλάμαις. Καὶ γὰρ ἂν μικρὸς ᾖ ὁ ἔξω ψόφος, ὅμως τοῖς ἐν τῷ ὑγρῷ τὴν ἀκοὴν ἔχουσι, χαλεπὸς καὶ μέγας, καὶ βαρὺς φαίνεται πᾶσιν· ὃ συμβαίνει καὶ ἐπὶ τῆς τῶν δελφίνων θήρας. Οταν γὰρ ἀθρόον περικυκλώσωσι τοῖς μονοξύλοις, ψοφοῦντες ἐξ αὐτῶν ἐν τῇ θαλάττῃ, ἀθρόους ποιοῦσιν ἐξοκέλλειν φεύγοντας εἰς τὴν γῆν, καὶ λαμβάνουσιν ὑπὸ τοῦ ψόφου καρηβαροῦντας· καί τοι οὐδ' οἱ δελφῖνες τῆς ἀκοῆς οὐδὲν φανερὸν ἔχουσιν αἰσθητήριον.

Ετι δ' ἐν ταῖς θήραις τῶν ἰχθύων, ὅτι μάλιστα εὐλαβοῦνται ψόφον ποιεῖν ἢ κώπης ἢ δικτύων οἱ περὶ τὴν θήραν ταύτην ὄντες· ἀλλ' ὅταν κατανοήσωσιν ἔν τινι τόπῳ πολλοὺς ἀθρόους ὄντας, ἐκ τοσούτου τόπου τεκμαιρόμενοι καθιᾶσι τὰ δίκτυα, ὅπως μήτε κώπης, μήτε ῥύμης τῆς ἁλιάδος ἀφίκηται πρὸς τὸν τόπον ἐκεῖνον ὁ ψόφος· παραγγέλλουσί τε πᾶσι τοῖς ναύταις, ὅτι μάλιστα σιγῇ πλεῖν, μέχριπερ ἂν συγκυκλώσωνται. Ενίοτε δ' ὅταν βούλωνται συνδραμεῖν, ταὐτὸν ποιοῦσιν ὅπερ ἐπὶ τῆς τῶν δελφίνων θήρας. Ψοφοῦσι γὰρ λίθοις, ἵνα φοβηθέντες συνθέωσιν εἰς ταὐτὸ, καὶ τοῖς δικτύοις οὕτω περιβάλλονται. Καὶ πρὶν μὲν συγκλεῖσαι, καθάπερ εἴρηται, κωλύουσι ψοφεῖν· ἐπὰν δὲ κυκλώσωσι, κελεύουσιν ἤδη βοᾶν καὶ ψοφεῖν· τὸν γὰρ ψόφον καὶ τὸν θόρυβον ἀκούοντες, ἐμπίπτουσι διὰ τὸν φόβον.

Ετι δ' ὅταν ἴδωσιν οἱ ἁλιεῖς ἐκ πάνυ πολλοῦ νεμομένους ἀθρόους πολλοὺς, ἐν ταῖς γαλήναις καὶ εὐδίαις ἐπιπολάζοντας, καὶ βουληθῶσιν ἰδεῖν τὰ μεγέθη, καὶ τί τὸ γένος αὐτῶν, ἂν

manger avec plaisir. Pour l'ouie & l'odorat, on ne leur en voit point d'organe ; les ouvertures qu'ils peuvent avoir à la région des narines ne vont point au cerveau : ou elles sont fermées dans le fonds, ou bien c'est aux branches qu'elles communiquent.

Cependant il est manifeste que les poissons distinguent les sons & les odeurs. On les voit fuir le grand bruit, celui, par exemple, que cause le mouvement des rames dans les vaisseaux à trois rangs, si bien qu'on les prend alors aisément dans leurs retraites : car un bruit peu sensible hors de l'eau, semble par tout sous l'eau, grand, violent, insupportable. La maniere dont on pêche le dauphin en est la preuve. Les pêcheurs rassemblent les dauphins & les resserrent en rapprochant l'enceinte de leurs canots, ils font du bruit dans l'eau, & forcent ainsi les dauphins à se jetter en fuyant sur le rivage, où ils les saisissent encore étourdis par le bruit. Ces poissons n'ont néanmoins aucun organe apparent de l'ouie.

Une seconde preuve se tire du soin avec lequel on évite dans certaines pêches de faire aucun bruit, soit avec la rame, soit avec le filet. Lorsque les pêcheurs jugent qu'il y a une quantité de poissons réunis dans un lieu, ils jettent leur filet à une distance qu'ils jugent assez grande pour que le bruit de la rame ou de l'eau poussée par leurs nacelles, n'aille pas jusqu'aux poissons : ils recommandent aux matelots d'avancer en grand silence jusqu'à ce qu'ils ayent renfermé les poissons de toutes parts. Quelquefois aussi pour obliger les poissons à se rassembler, ils s'y prennent comme dans la pêche du dauphin : ils font du bruit avec des pierres afin d'effrayer le poisson, de le forcer à se réunir & ils l'enferment ensuite avec leurs filets. Avant donc de le tenir renfermé, ils font silence, comme je disois ; quand l'enceinte est formée, ils donnent le signal de crier & de faire du bruit : alors le poisson épouvanté se jette dans les filets.

Troisieme observation. Quelquefois les pêcheurs ayant apperçu de loin une grande quantité de poissons qui cherchent ensemble leur nourriture, ou qui, dans un moment où la mer est calme & le tems serein, se promenent sur la

μὲν ἀψοφητὶ προσπλεύσωσι, λανθάνουσι, καὶ καταλαμβάνουσιν ἐπιπολάζοντας ἔτι· ἐὰν δέ τις ψοφήσας τύχῃ πρότερον, φανεροὶ φεύγοντές εἰσιν.

Ετι δ' ἐν τοῖς ποταμοῖς εἰσιν ἰχθύδια ὑπὸ ταῖς πέτραις, ἃ καλοῦσί τινες κοίτους· καὶ ταῦτα θηρεύουσί τινες, διὰ τὸ ὑπὸ ταῖς πέτραις ἀποδεδυκέναι, κόπτοντες τὰς πέτρας λίθοις· τὰ δὲ ἐκπίπτει παραφερόμενα, ὡς ἀκούοντα καὶ καρηβαροῦντα ἀπὸ τοῦ ψόφου. Οτι μὲν οὖν ἀκούουσιν ἐκ τῶν τοιούτων ἐστὶ φανερόν. Εἰσὶ δέ τινες οἵ φασι καὶ μάλιστα ὀξυηκόους εἶναι τῶν ζώων τοὺς ἰχθύας· λέγειν δὲ τοῦτο τοὺς διατρίβοντας περὶ τὴν θάλατταν, διὰ τὸ ἐντυγχάνειν τοιούτοις πολλοῖς. Μάλιστα δ' εἰσὶ τῶν ἰχθύων ὀξυήκοοι, κεστρεὺς, χρέμψ, λάβραξ, σάλπη, χρομὶς, καὶ ὅσοι ἄλλοι τοιοῦτοι τῶν ἰχθύων· οἱ δὲ ἄλλοι τούτων ἧττον· διὸ μᾶλλον πρὸς τῷ ἐδάφει τῆς θαλάττης ποιοῦνται τὰς διαγωγάς.

Ομοίως δὲ καὶ περὶ ὀσφρήσεως ἔχει. Τοῦ τε γὰρ μὴ προσφάτου δελέατος οὐκ ἐθέλουσιν ἅπτεσθαι τῶν ἰχθύων οἱ πλεῖστοι· τοῖς δελέασί τε οὐ τοῖς αὐτοῖς ἁλίσκονται πάντες, ἀλλὰ ἰδίοις, διαγινώσκοντες τῷ ὀσφραίνεσθαι. Ενια γὰρ δελεάζεται τοῖς δυσώδεσιν, ὥσπερ ἡ σάλπη τῇ κόπρῳ. Ετι δὲ πολλοὶ τῶν ἰχθύων διατρίβουσιν ἐν σπηλαίοις, οὓς ἐπειδὰν βούλωνται προσκαλέσασθαι εἰς ἄγραν οἱ ἁλιεῖς, τὸ στόμα τοῦ σπηλαίου περιαλείφουσι ταριχηραῖς ὀσμαῖς, πρὸς ἃς ἐξέρχονται ταχέως. Αλίσκεται δὲ καὶ ἡ ἔγχελυς τοῦτον τὸν τρόπον. Τιθέασι γὰρ τῶν ταριχηρῶν τι κεραμίων, ἐνθέντες εἰς τὸ στόμα τοῦ κεραμίου τὸν καλούμενον ἰσθμόν.

Καὶ ὅλως δὲ πρὸς τὰ κνισσώδη πάντες φέρονται μᾶλλον, καὶ τῶν σηπιῶν τὰ σαρκία σταθεύσαντες ἕνεκα τῆς ὀσμῆς, δελεάζουσι τούτοις· προσέρχονται γὰρ μᾶλλον. Τοὺς δὲ πολύπους φασὶν ὀπτήσαντας εἰς τοὺς κύρτους ἐντιθέναι οὐδενὸς ἄλλου χάριν, ἢ τῆς κνίσσης. Ετι δὲ οἱ ῥυάδες ἰχθύες, ὅταν ἐκχυθῇ τὸ πλύσμα τῶν ἰχθύων, ἢ τῆς ἀντλίας ἐκχυθείσης, φεύγουσιν, ὡς ὀσφραι-

ſurface des eaux, veulent reconnoître quelle eſt la groſſeur & l'eſpece de ces poiſſons ; alors s'ils peuvent en approcher ſans bruit, les poiſſons ne s'en effrayent pas & continuent à ſe jouer ſur la ſurface de l'eau : mais s'il arrive qu'on faſſe quelque bruit avant d'être près d'eux, on les voit fuir auſſi-tôt.

Enfin il y a dans les rivieres de petits poiſſons que quelques-uns appellent des chabots, & qui ſe retirent ſous les pierres : on les prend auſſi en faiſant du bruit. On frappe avec d'autres pierres ſur celles ſous leſquelles ils ſont : auſſi-tôt ils ſe jettent dans le filet ; marque certaine qu'ils ont entendu le bruit & qu'ils en ont été étourdis. Ces faits montrent clairement que les poiſſons ont le ſens de l'ouie : il y a même des gens qui prétendent que ce ſens eſt plus fin chez les poiſſons que dans aucun autre animal, & on dit que c'eſt là l'opinion commune des marins qui ont de fréquentes occaſions de vérifier le fait. Les poiſſons qui excellent par la ſubtilité de leur ouie ſont le muge, le *chremps*, le loup, la ſaupe, le *chromis*, & les autres de même genre. Le ſurplus des poiſſons entend, mais d'une maniere moins parfaite : c'eſt pourquoi ils reſtent ordinairement au fonds de l'eau.

Il n'y a pas moins de preuves capables de nous convaincre que les poiſſons ont de l'odorat. La plûpart ne mordent point, ſi l'appas n'eſt pas frais ; d'ailleurs on ne les prend pas tous avec les mêmes appas : différentes eſpeces en demandent de particuliers qu'ils diſtinguent par le ſens de l'odorat. Quelques-uns ſont attirés par les odeurs déſagréables pour nous, comme la ſaupe qu'on appâte avec de la fiente. De plus, beaucoup de poiſſons habitent dans des cavités profondes : les pêcheurs pour les en tirer, frottent l'entrée de ces cavités avec de la ſaumure de poiſſon : cela les fait ſortir promptement. C'eſt auſſi par ce moyen qu'on prend les anguilles. On place dans l'eau un vaſe où il y a eu de la ſaumure, & à l'entrée duquel on met un collet de naſſe.

En général, l'odeur de la chair grillée attire les poiſſons ; auſſi les pêcheurs employent-ils pour appas la chair de ſeche grillée, les poiſſons y accourent plus volontiers. On fait griller, dit-on, les polypes qu'on met au fond des naſſes, & cela ne peut être que pour préſenter une odeur agréable aux poiſſons. Au contraire les poiſſons nommés *ruades* s'enfuient lorſqu'on jette dans la mer l'eau qui a ſervi à laver le poiſſon, ou que l'on fait jouer la pompe d'un navire, comme ſi la mauvaiſe odeur de cette eau les bleſſoit.

νόμενοι τῆς ὀσμῆς αὐτῶν. Καὶ τοῦ αὐτῶν δὲ αἵματος ταχὺ ὀσφραίνεσθαί φασιν αὐτούς· δῆλον δὲ ποιοῦσι φεύγοντες καὶ ἐκτοπίζοντες μακρὰν ὅταν γένηται αἷμα ἰχθύων, καὶ ὅλως δὲ ἐὰν μὲν σαπρῷ τις δελεάτι δελεάσῃ εἰς τὸν κύρτον, οὐκ ἐθέλουσιν εἰσδύνειν, οὐδὲ πλησιάζειν· ἐὰν δὲ νεαρῷ δελεάτι καὶ κεκνισσωμένῳ, εὐθὺς φερόμενοι πόρρωθεν εἰσδύνουσι. Μάλιστα δὲ φανερόν ἐστι περὶ τῶν εἰρημένων, ἐπὶ τῶν δελφίνων. Οὗτοι γὰρ τῆς ἀκοῆς αἰσθητήριον μὲν οὐδὲν ἔχουσι φανερὸν, ἁλίσκονται δὲ διὰ τὸ καρηβαρεῖν ὑπὸ τοῦ ψόφου, καθάπερ εἴρηται πρότερον. Οὐδὲ δὴ τῆς ὀσφρήσεως αἰσθητήριον οὐδὲν ἔχει φανερόν· ὀσφραίνεται δ' ὀξέως.

Οτι μὲν οὖν πάσας τὰς αἰσθήσεις ταῦτα ἔχει τὰ ζῶα, φανερόν· τὰ δὲ λοιπὰ γένη τῶν ζώων, ἐστὶ μὲν τέτταρα διῃρημένα εἰς γένη, ἃ περιέχει τὸ πλῆθος τῶν λοιπῶν ζώων, τά τε μαλάκια, καὶ τὰ μαλακόστρακα, καὶ τὰ ὀστρακόδερμα, καὶ ἔτι τὰ ἔντομα. Τούτων δὲ τὰ μὲν μαλάκια, καὶ τὰ μαλακόστρακα, καὶ τὰ ἔντομα, ἔχει πάσας τὰς αἰσθήσεις· καὶ γὰρ ὄψιν ἔχει, καὶ ὄσφρησιν, καὶ γεῦσιν. Τά τε γὰρ ἔντομα ὄντα πόρρω συναισθάνεται, καὶ τὰ πτερωτὰ καὶ τὰ ἄπτερα, οἷον αἵ τε μέλιτται καὶ οἱ κνῖπες τοῦ μέλιτος. Εκ πολλοῦ γὰρ αἰσθάνονται, ὡς τῇ ὀσμῇ γινώσκοντα· καὶ ὑπὸ τῆς τοῦ θείου ὀσμῆς πολλὰ ἀπόλλυται. Ετι δὲ οἱ μύρμηκες ὑπ' ὀριγάνου καὶ θείου περιπαττομένων λείων, ἐκλείπουσι τὰς μυρμηκίας· καὶ ἐλαφείου κέρατος θυμιωμένου τὰ πλεῖστα φεύγει τῶν τοιούτων· μάλιστα δὲ φεύγουσι θυμιωμένου τοῦ στύρακος. Αἵ τε σηπίαι, καὶ οἱ πολύποδες; καὶ οἱ κάραβοι, τοῖς δελεάσιν ἁλίσκονται· καὶ οἵ γε πολύποδες οὕτω μὲν προσέρχονται, ὥστε μὴ ἀποσπασθῆναι, ἀλλ' ὑπομένειν ἀποτεμνόμενοι· ἐὰν δέ τις κόνυζαν προσενέγκῃ, ὥς φασιν, εὐθὺς ὀσφραινόμενοι ἀφιᾶσιν.

Ομοίως δὲ καὶ περὶ γεύσεως. Ενίοτε γὰρ τήν τε τροφὴν ἑτέραν

On

On ajoute qu'ils sont tous sensibles à l'odeur de leur sang, & ce qui le prouve, c'est que si l'on répand dans l'eau du sang de poisson, ils s'en vont & se retirent au loin. Enfin on remarque généralement que si l'appas mis dans la nasse est vieux & gâté, les poissons ne veulent point y entrer ni même en approcher, au lieu que si l'appas est frais, s'il a une odeur de chair grillée, ils se jettent aussi-tôt dans la nasse & y viennent même d'une grande distance. Ces différentes observations sont sensibles singulierement à l'égard des dauphins ; ils n'ont point d'organe extérieur de l'ouie, & on les prend, ainsi que je l'ai remarqué, en les étourdissant pour ainsi-dire par le bruit : ils n'ont point non plus d'organe apparent pour l'odorat, & ce sens est très-vif chez eux.

Il ne manque, comme on voit, aux Animaux dont nous avons parlé aucun des cinq sens. La totalité de ceux dont il nous reste à parler se partage en quatre genres : mollusques, crustacées, testacées & insectes. Les mollusques, les crustacées & les insectes ont les cinq sens. On ne peut leur refuser ni celui de la vue, ni celui de l'odorat, ni celui du goût. Les insectes aîlés & non aîlés sentent de loin : les abeilles, par exemple, & les *cnipes* sentent le miel, & paroissent en reconnoître l'odeur même de fort loin. Beaucoup d'insectes périssent par l'odeur du souffre : on fait déserter une fourmiliere en y jettant du souffre & de l'origan en poudre. La plûpart des insectes fuyent l'odeur de la corne de cerf brûlée, & plus encore la fumée du styrax. Les séches, les polypes & les langoustes se prennent avec des appas : le polype s'y attache même avec tant de force qu'il se laisse couper en morceaux plutôt que de lâcher prise : mais on prétend que si on lui présente du pouillot, l'odeur de cette herbe le fait aussi-tôt quitter.

On peut prouver de même que ces Animaux ont le sens du goût : quelques-

διώκουσι, καὶ οὐ τοῖς αὐτοῖς πάντα χαίρει χυμοῖς· οἷον ἡ μέλιττα πρὸς οὐδὲν προστρέχει σαπρὸν, ἀλλὰ πρὸς τὰ γλυκέα· ὁ δὲ κώνωψ, πρὸς οὐδὲν γλυκὺ, ἀλλὰ πρὸς τὰ ὀξέα. Τὸ δὲ τῇ ἁφῇ αἰσθάνεσθαι, ὥσπερ καὶ πρότερον εἴρηται, πᾶσιν ὑπάρχει τοῖς ζώοις.

Τὰ δὲ ὀστρακόδερμα ὄσφρησιν μὲν καὶ γεῦσιν ἔχει· φανερὸν δ' ἐκ τῶν δελεασμάτων, οἷον ἐπὶ τῆς πορφύρας. Αὕτη γὰρ δελεάζεται τοῖς σαπροῖς, καὶ προσέρχεται πρὸς τὸ τοιοῦτο δέλεαρ, ὡς αἴσθησιν ἔχουσα πόῤῥωθεν. Καὶ τῶν χυμῶν δ' ὅτι αἴσθησιν ἔχει φανερὸν διὰ τῶν αὐτῶν. Πρὸς ἃ γὰρ διὰ τὰς ὀσμὰς προσέρχεται κρίνοντα, τούτων χαίρει καὶ τοῖς χυμοῖς ἕκαστα· ἔτι δ' ὅσα ἔχει στόμα, χαίρει καὶ λυπεῖται τῇ τῶν χυμῶν ἅψει.

Περὶ δὲ ὄψεως καὶ ἀκοῆς βέβαιον μὲν οὐδέν ἐστιν, οὐδὲ λίαν φανερόν. Δοκοῦσι δ' οἵ τε σωλῆνες, ἄν τις ψοφήσῃ, καταδύεσθαι, καὶ φεύγειν κατωτέρω ὅταν αἴσθωνται τὸ σιδήριον προσφερόμενον· ὑπερέχει γὰρ αὐτῶν μικρὸν, τὸ δ' ἄλλο, ὥσπερ ἐν θαλάμῃ ἐστίν. Καὶ οἱ κτένες, ἐάν τις προσφέρῃ τὸν δάκτυλον, χάσκουσι καὶ συμμύουσιν ὡς ὁρῶντες. Καὶ τοὺς νηρίτας δὴ οἱ θηρεύοντες, οὐ κατὰ πνεῦμα προσιόντας θηρεύουσιν, ὅταν θηρεύσωσιν αὐτοὺς εἰς τὸ δέλεαρ, οὐδὲ φθεγγόμενοι, ἀλλὰ σιωπῶντες, ὡς ὀσφραινομένων καὶ ἀκουόντων· ἐὰν δὲ φθέγγωνται, φασὶν ἀποφεύγειν αὐτούς. Ἥκιστα δὲ τὴν ὄσφρησιν τῶν ὀστρακοδέρμων φαίνεται ἔχειν, τῶν μὲν πορευτικῶν ἐχῖνος· τῶν δὲ ἀκινήτων, οἷον τὰ τήθυα, καὶ οἱ βάλανοι.

9. IX. Περὶ μὲν οὖν τῶν αἰσθητηρίων τοῦτον ἔχει τὸν τρόπον τοῖς ζώοις πᾶσι· περὶ δὲ φωνῆς τῶν ζώων ὧδε ἔχει. Φωνὴ δὲ καὶ ψόφος ἕτερόν ἐστι· καὶ τρίτον τούτων διάλεκτος. Φωνεῖ μὲν οὖν οὐδενὶ τῶν ἄλλων μορίων οὐδὲν, πλὴν τῷ φάρυγγι· διὸ ὅσα μὴ ἔχει πνεύμονα οὐδὲν φθέγγεται· διάλεκτος δὲ, ἡ τῆς φωνῆς ἐστι τῇ γλώττῃ διάρθρωσις. Τὰ μὲν οὖν φωνήεντα, ἡ φωνὴ καὶ ὁ λάρυγξ ἀφίησιν·

uns préférent certains alimens à d'autres, & les mêmes ſaveurs ne plaiſent pas à tous. L'abeille, par exemple, ne s'approche de rien de fetide, elle ne veut que ce qui eſt doux & ſucré. Le *conops* au contraire ne cherche point ce qui eſt doux mais ce qui eſt acide. Pour le toucher, j'ai déja remarqué que ce ſens eſt commun à tous les Animaux.

Les teſtacées ont l'odorat & le goût, puiſqu'ils ſe prennent avec des appas. La pourpre, par exemple, ſe prend en lui préſentant des viandes gâtées: leur odeur l'attire, & il paroît même qu'elle les ſent de loin. Les mêmes obſervations ſont voir que ces Animaux ont le ſens du goût: car ſi chaque eſpece a quelque appas particulier dont l'odeur reconnue l'attire, c'eſt que la ſaveur lui en plaît. On peut aſſurer en général que tous les Animaux qui ont une bouche éprouvent une impreſſion ou agréable ou déſagréable, ſelon la différence des ſucs qui y entrent.

Par rapport aux deux ſens de la vue & de l'ouie dans les teſtacées, on n'a rien de bien clair ni de bien certain. Les *ſolenes* paroiſſent s'enfoncer quand on fait du bruit; ils ſe retirent en fuyant ſous le ſable lorſqu'ils ſentent approcher le fer: on ne voit plus alors qu'une petite partie de leur coquille, le reſte étant comme rentré dans ſa retraite. De même les pétoncles, quand on avance le doigt, s'ouvrent & ſe ferment comme s'ils y voyoient. Ceux qui vont à la pêche des nérites avec des appas, remarquent que les nérites qu'ils y prennent ne viennent pas du côté que le vent ſouffle. Ils évitent auſſi de faire du bruit, & ſe tiennent en ſilence, dans l'idée que ces Animaux ſentent & entendent: ils diſent que les nérites fuyent dès qu'on fait du bruit. Entre les teſtacées qui ſe meuvent, le hériſſon eſt celui qui paroît avoir moins d'odorat: entre ceux qui ne ſe meuvent point, ce ſont les téthyes & les glands de mer.

Nous avons vu ce qui regarde les ſenſations des Animaux: parlons maintenant de leur voix. Il ne faut pas confondre ici trois choſes différentes, le 9. IX.
ſon, la voix, & la parole. Dans quelque animal que ce ſoit, le pharynx eſt le ſeul organe qui forme la voix; ainſi tous ceux qui n'ont pas de poumon n'ont point la voix. La parole eſt la voix articulée par la langue: la voix & le larynx ſuffiſent pour former les ſons que nous nommons *voyelles*; la langue & les levres ſont néceſſaires pour prononcer les conſonnes. De ces deux eſpeces de ſons réſulte la parole: c'eſt ce qui fait que les Animaux qui n'ont

ὅσα δὲ ἄφωνα, ἡ γλῶτλα καὶ χείλη· ἐξ ὧν ἡ διάλεκτός ἐςι. Διὸ ὅσα γλῶτλαν μὴ ἔχει, ἢ μὴ ἀπολελυμένλω, ὀ διαλέγεται· ψοφεῖν δ᾽ ἐςὶ καὶ ἄλλοις μορίοις. Τὰ μὲν οὖν ἔντομα οὔτε φωνεῖ, οὔτε διαλέγεται· ψοφεῖ δὲ τῷ ἔσω πνεύματι, ὀ τῷ θύραζε· ὀδὲν γὰρ ἀναπνεῖ αὐτῶν· ἀλλὰ τὰ μὲν βομβεῖν, οἷον μέλιτλα, καὶ τὰ πτλωὰ αὐτῶν· τὰ δ᾽ ᾄδειν λέγεται, οἷον οἱ τέτλιγες. Πανία δὲ ταῦτα ψοφεῖ τῷ ὑμένι τῷ ὑπὸ τὸ ὑπόζωμα, ὅσων διήρηται, οἷον τὸ τῶν τετλίγων γένος, τῇ τρίψει τοῦ πνεύματος· καὶ αἱ μυῖαι δὲ καὶ αἱ μέλιτλαι, καὶ τἄλλα πάνλα, τῇ πλήσ{ει} αἴρονλα καὶ συςέλλονλα· ὁ γὰρ ψόφος τρίψις τοῦ ἔσω πνεύματός ἐςιν. Αἱ δ᾽ ἀκρίδες, τοῖς πηδαλίοις τρίβουσαι, ποιοῦσι τὸν ψόφον.

Οὔτε δὲ τῶν μαλακίων οὐδὲν οὔτε φθέγγεται, οὔτε ψοφεῖ οὐδένα φυσικὸν ψόφον· οὐδὲ τῶν μαλακοςράκων.

Οἱ δὲ ἰχθύες ἄφωνοι μέν εἰσιν· οὔτε γὰρ πνεύμονα, οὔτε ἀρτηρίαν καὶ φάρυγγα ἔχουσι· ψόφους δέ τινας ἀφιᾶσι καὶ τρισμοὺς, οὓς λέγουσι φωνεῖν, οἷον λύρα καὶ χρομίς· οὗτοι γὰρ ἀφιᾶσιν ὥσπερ γρυλλισμόν· καὶ ὁ κάπρος ὁ ἐν τῷ Αχελώῳ. Ετι δὲ χαλκὶς, καὶ ὁ κόκκυξ· ἡ μὲν γὰρ ψοφεῖ οἷον τριγμόν· ὁ δὲ, παραπλήσιον τῷ κόκκυγι ψόφον· ὅθεν καὶ τοὔνομα ἔχει. Πάντα δὲ ταῦτα τὴν δοκοῦσαν φωνὴν ἀφιᾶσι, τὰ μὲν τῇ τρίψει τῶν βραγχίων, ἀκανθώδεις γὰρ οἱ τόποι, τὰ δὲ τοῖς ἐντὸς τοῖς περὶ τὴν κοιλίαν. Πνεῦμα γὰρ ἔχει τούτων ἕκαςον· ὃ προςρίβονλα καὶ κινοῦντα, ποιεῖ τοὺς ψόφους· καὶ τῶν σελαχῶν δ᾽ ἔνια τρίζειν δοκεῖ. Αλλὰ ταῦτα φωνεῖν μὲν οὐκ ὀρθῶς ἔχει φάναι, ψοφεῖν δέ. Καὶ γὰρ οἱ κτένες, ὅταν φαίνωνται ἀπερειδόμενοι τῷ ὑγρῷ, ὃ καλοῦσι πέτεσθαι, ῥοιζοῦσι· καὶ αἱ χελιδόνες αἱ θαλάτλιαι. Καὶ γὰρ αὗται πέτονλαι μετέωροι, οὐχ ἁπλόμεναι τῆς θαλάτλης· τὰ γὰρ πτερύγια ἔχουσι πλατέα καὶ μακρά. Ωσπερ οὖν τῶν ὀρνίθων πετομένων ὁ γινόμενος ταῖς πλέρυξι ψόφος, ὀ φωνή ἐςιν, οὕτως οὐδὲ τῶν τοιούτων οὐδενός. Αφίησι δὲ καὶ ὁ δελφὶς τριγμὸν, καὶ μύζει, ὅταν

point de langue, ou qui ne l'ont point libre, n'ont pas la voix & ne parlent point. Le son peut provenir d'autres parties que de celles qui viennent d'être nommées : ainsi les insectes n'ont point la voix & ne parlent point, mais ils donnent des sons au moyen de l'air qu'ils ont en dedans du corps, & non au moyen de celui qu'on les supposeroit chasser au-dehors, puisqu'aucun d'eux ne respire. Il y en a qui bourdonnent comme l'abeille & les insectes aîlés : il en est d'autres, comme les cigales, desquels on dit qu'ils chantent : tous ceux de cette classe, dont le corps est pour ainsi dire coupé, comme il l'est dans le genre des cigales, résonnent au moyen de la membrane qu'ils ont placée sous la ceinture : le son qu'ils donnent est produit par le froissement de l'air. Les mouches, les abeilles, & tous les autres insectes semblables produisent un son par l'élévation & l'abaissement successif de leurs aîles lorsqu'ils volent, car c'est toujours le froissement de l'air extérieur qui est le principe de ce son. Celui que font entendre les criquets vient de l'air froissé par ces longues jambes qui leur servent pour sauter.

Aucun des mollusques & des crustacées n'ont de voix ; ils ne forment même naturellement aucun son.

Les poissons n'ayant ni poumon, ni trachée, ni pharynx n'ont point de voix. Ceux que l'on dit en avoir ne forment autre chose que certains sons & des sifflemens. Tel est l'espece de grognement de la lyre, du *chromis* & du poisson appellé sanglier qu'on trouve dans l'Acheloüs. On peut citer encore le *chalcis* & le coucou : le premier fait une sorte de sifflement, le second donne un son approchant de celui de l'oiseau, dont il a reçu le nom à raison de cette ressemblance. Tous ces poissons produisent ce qu'on appelle leur voix, les uns par le frottement de leurs bronches qu'ils ont garnies d'arrêtes ; les autres par le moyen de certaines parties intérieures voisines du ventricule & qui contiennent de l'air ainsi que les bronches. C'est cet air dont l'agitation & le froissement produit un son. Quelques sélaques semblent également siffler : tout ceci néanmoins ne s'appelle voix qu'improprement ; il faut dire que c'est un son. Les pétoncles même sifflent lorsqu'ils s'élevent en s'appuyant sur la surface de l'eau, c'est-à-dire, pour user de l'expression ordinaire, lorsqu'ils volent, & pareillement les hirondelles de mer, qui, au moyen de leurs nageoires larges & allongées, s'élevent assez pour ne plus toucher l'eau. Mais de même que le bruit que les oiseaux font avec leurs aîles en volant n'est point une voix, les sons dont nous venons de parler, ne doivent pas non plus être appellés *voix*. Le dauphin aussi siffle & murmure quand il est hors de

ἐξέλθῃ ἐν τῷ ἀέρι· οὐχ ὅμοιος δὲ τοῖς εἰρημένοις. Ἐστι γὰρ τούτῳ φωνή· ἔχει γὰρ καὶ πνεύμονα καὶ ἀρτηρίαν, ἀλλὰ τὴν γλῶτταν οὐκ ἀπολελυμένην, οὐδὲ χείλη, ὥστε ἄρθρον τι τῆς φωνῆς ποιεῖν.

Τῶν δὲ ἐχόντων γλῶτταν καὶ πνεύμονα, ὅσα μὲν ᾠοτόκα ἐστὶ καὶ τετράποδα, ἀφίησι φωνήν, ἀσθενῆ μέντοι· καὶ τὰ μὲν συριγμόν, ὥσπερ οἱ ὄφεις· τὰ δὲ λεπτὴν καὶ ἀσθενῆ φωνήν· τὰ δὲ σιγμὸν μικρόν, ὥσπερ αἱ χελῶναι. Ὁ δὲ βάτραχος ἰδίαν ἔχει τὴν γλῶτταν· τὸ μὲν γὰρ ἔμπροσθεν προσπέφυκεν ἰχθυωδῶς ὃ τοῖς ἄλλοις ἀπολέλυται· τὰ δὲ πρὸς τὸν φάρυγγα ἀπολέλυται καὶ ἐπέπτυκται, ᾧ τὴν ἰδίαν ἀφίησι φωνήν. Καὶ τὴν ὀλολυγόνα δέ, τὴν γινομένην ἐν τῷ ὕδατι, οἱ βάτραχοι οἱ ἄῤῥενες ποιοῦσιν ὅταν ἀνακαλῶνται τὰς θηλείας πρὸς τὴν ὀχείαν. Εἰσὶ γὰρ ἑκάστοις τῶν ζώων ἴδιαι φωναὶ πρὸς τὴν ὁμιλίαν καὶ τὸν πλησιασμόν, οἷον καὶ ὑσί, καὶ τράγοις, καὶ προβάτοις. Ποιεῖ δὲ τὴν ὀλολυγόνα, ὅταν ἰσοχειλῆ τὴν κάτω σιαγόνα ποιήσας ἐπὶ τῷ ὕδατι, περιτείνει τὴν ἄνω· δοκοῦσι δὲ διαλαμπουσῶν τῶν σιαγόνων ἐκ τῆς ἐπιτάσεως, ὥσπερ λύχνοι φαίνεσθαι οἱ ὀφθαλμοί· ἡ γὰρ ὀχεία τὰ πολλὰ φαίνεται νύκτωρ οὖσα.

Τὸ δὲ τῶν ὀρνίθων γένος ἀφίησι φωνήν· καὶ μάλιστα ἔχει διάλεκτον ὅσοις ὑπάρχει μετρίως ἡ γλῶττα πλατεῖα, καὶ ὅσοι ἔχουσι λεπτὴν τὴν γλῶτταν αὐτῶν. Ενια μὲν οὖν ἀφίησι τὴν αὐτὴν φωνήν, τά τε θήλεα καὶ τὰ ἄῤῥενα· ἔνια δ' ἑτέραν. Πολύφωνα δ' ἐστὶ καὶ λαλίστερα τὰ ἐλάττω τῶν μεγάλων· καὶ μάλιστα περὶ τὴν ὀχείαν ἕκαστον γίνεται τῶν ὀρνέων τοιοῦτο· καὶ τὰ μὲν μαχόμενα φθέγγεται, οἷον ὄρτυξ· τὰ δὲ πρὸ τοῦ μάχεσθαι προσκαλούμενα, ἢ νικῶντα, οἷον ἀλεκτρυόνες. ᾄδουσι δ' ἔνια μὲν ὁμοίως τὰ ἄῤῥενα τοῖς θήλεσιν, οἷον καὶ ἡ ἀηδὼν ᾄδει, καὶ ὁ ἄῤῥην καὶ ἡ θήλεια· πλὴν ἡ θήλεια παύεται ὅταν ἐπῳάζῃ καὶ τὰ νεόττια ἔχῃ. Ενίων δὲ τὰ ἄῤῥενα μᾶλλον, οἷον ἀλεκτρυόνες τε καὶ ὄρτυγες· αἱ δὲ θήλειαι οὐκ ᾄδουσι.

l'eau, mais c'eſt d'une autre maniere. Il a la voix, puiſqu'il ne manque ni de poumon, ni de trachée : mais n'ayant point de levres, & ſa langue n'étant point détachée, il ne ſauroit articuler les ſons de ſa voix.

Il reſte à parler des Animaux qui ont une langue & des poumons. Les quadrupedes ovipares font ici une claſſe diſtinguée des autres : ils ont la voix, mais elle eſt foible. Les uns, tels que les ſerpens, ont un ſifflement allongé : d'autre une voix grêle & foible ; de troiſiemes, un ſifflement entrecoupé, tel eſt celui de la tortue. La grenouille a la langue conformée ſingulierement : l'extrémité antérieure, qui eſt détachée dans les autres Animaux, eſt adhérente chez elle de même que dans les poiſſons ; au contraire la partie de la langue qui eſt vers le fond de la bouche, eſt détachée & peut s'étendre ſur le pharynx : c'eſt par le moyen de cette diſpoſition que la grenouille forme l'eſpece de voix qui lui eſt propre. Le croaſſement des grenouilles dans l'eau eſt le cri du mâle qui appelle ſa femelle dans la ſaiſon de leurs amours. Tous les Animaux ont, dans ces momens, un ſon de voix particulier : le verrat, le bouc, le belier peuvent ſervir d'exemple. La grenouille mâle, lorſqu'elle veut croaſſer, met ſa levre inférieure à fleur d'eau, elle étend & avance la levre ſupérieure. Cette tenſion des levres les rend tranſparentes, & les yeux de la grenouille paroiſſent briller comme des lumieres : car c'eſt ordinairement la nuit que ces Animaux s'accouplent.

Les oiſeaux ont la voix ; ils ont même la faculté d'en bien articuler les ſons, à proportion que leur langue eſt en même tems médiocrement large & mince. Dans quelques eſpeces le mâle & la femelle ont la même voix ; dans d'autres eſpeces ils l'ont différente. Les petits oiſeaux ont plus de voix & plus de babil que les grands. Dans toutes les eſpeces, le temps où les oiſeaux chantent le plus eſt celui de leurs amours. Il en eſt, comme la caille, qui crient dans le combat même ; il en eſt qui crient avant le combat, comme pour défier l'adverſaire ; il en eſt qui crient après la victoire, comme le coq. Quelquefois le mâle & la femelle chantent également, tel eſt le roſſignol : ſa femelle cependant ceſſe de chanter lorſqu'elle couve & qu'elle a des petits. Ailleurs, par exemple dans l'eſpece du coq & de la caille, le mâle a plus de voix, la femelle ne chante point.

Τὰ δὲ ζωοτόκα καὶ τὰ τετράποδα ζῶα ἄλλο ἄλλην ἀφίησι φωνήν· διάλεκτον δὲ οὐδὲν ἔχει, ἀλλ' ἴδιον τοῦτο τοῦ ἀνθρώπου ἐστίν. Οσα μὲν γὰρ διάλεκτον ἔχει, καὶ φωνὴν ἔχει· ὅσα δὲ φωνήν, οὐ πάντα διάλεκτον. Οσοι δὲ κωφοὶ γίνονται ἐκ γενετῆς, πάντες καὶ ἐνεοὶ γίνονται· φωνὴν μὲν οὖν ἀφιᾶσι, διάλεκτον δ' οὐδεμίαν. Τὰ δὲ παιδία, ὥσπερ καὶ τῶν ἄλλων μορίων οὐκ ἐγκρατῆ ἐστιν, οὕτως οὐδὲ τῆς γλώττης τὸ πρῶτον· καὶ ἔστιν ἀτελῆ, καὶ ἀπολύεται ὀψιαίτερον· ὥστε ψελλίζουσι καὶ τραυλίζονται τὰ πολλά.

Διαφέρουσι δὲ καὶ αἱ φωναὶ κατὰ τόπους, καὶ αἱ διάλεκτοι. Η μὲν οὖν φωνὴ ὀξύτητι καὶ βαρύτητι μάλιστα ἐπίδηλος· τὸ δὲ εἶδος οὐδὲν διαφέρει τῶν αὐτῶν γενῶν. Η δ' ἐν τοῖς ἄρθροις, ἣν ἄν τις ὥσπερ διάλεκτον εἴπειεν, καὶ τῶν ἄλλων ζώων διαφέρει, καὶ τῶν ἐν ταὐτῷ γένει ζώων κατὰ τόπους· οἷον τὸ τῶν περδίκων· οἱ μὲν κακκαβίζουσιν, οἱ δὲ τρίζουσι. Καὶ τῶν μικρῶν ὀρνίθων ἔνια οὐ τὴν αὐτὴν ἀφίησι φωνὴν ἐν τῷ ᾄδειν τοῖς γεννήσασιν, ἂν ἀπότροφα γένωνται καὶ τῶν ἄλλων ἀκούωσιν ὀρνίθων ᾀδόντων. Ηδη δὲ ὦπται καὶ ἀηδὼν νεοττὸν προδιδάσκουσα· ὡς οὐχ ὁμοίως φύσει τῆς διαλέκτου οὔσης καὶ τῆς φωνῆς, ἀλλ' ἐνδεχόμενον πλάττεσθαι. Καὶ οἱ ἄνθρωποι φωνὴν μὲν τὴν αὐτὴν ἀφιᾶσι, διάλεκτον δὲ οὐ τὴν αὐτήν. Ο δὲ ἐλέφας φωνεῖ, ἄνευ μέντοι τοῦ μυκτῆρος, αὐτῷ τῷ στόματι πνευματῶδες, ὥσπερ ὅτ' ἄνθρωπος ἐκπνέῃ καὶ αἰάζῃ· μετὰ δὲ τοῦ μυκτῆρος, ὅμοιον σάλπιγγι τετραχυσμένῃ.

10. X. Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως τῶν ζώων, ὅτι ὅσα πεζὰ καὶ ἔναιμα πάντα καθεύδει καὶ ἐγρηγορεῖ, φανερὸν ποιοῦσι κατὰ τὴν αἴσθησιν· πάντα γὰρ ὅσα ἔχει βλεφαρίδας μύοντα ποιεῖται τὸν ὕπνον. Ετι δ' ἐνυπνιάζειν φαίνονται οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἵπποι, καὶ κύνες, καὶ βόες· ἔτι δὲ πρόβατα καὶ αἶγες, καὶ πᾶν τὸ τῶν ζωοτόκων καὶ τετραπόδων γένος· δηλοῦσι δὲ οἱ κύνες τῷ ὑλαγμῷ. Περὶ δὲ τῶν ᾠοτοκούντων τοῦτο μὲν ἄδηλον· ὅτι δὲ καθεύδουσι φανερόν. Ομοίως δὲ καὶ τὰ ἔνυδρα· οἷον οἵ τε ἰχθύες,

Les quadrupedes vivipares ont des voix différentes les uns des autres : aucun n'a la faculté d'articuler ; cette faculté est particuliere à l'homme. Tous les Animaux qui articulent ont de la voix, mais on peut avoir de la voix sans avoir la faculté d'articuler. Les sourds de naissance n'ont jamais la faculté de parler. Ils ont bien une voix, mais elle n'est pas articulée. Les enfants dans les premiers temps ne peuvent pas faire plus d'usage de leur langue que de leurs autres membres : elle est encore imparfaite, & ne se délie que fort tard ; aussi les voit-on presque toujours bredouiller ou bégayer.

La voix & la maniere d'articuler varient selon les lieux : la plus grande différence qu'il soit possible de remarquer dans la voix est celle de l'aigu au grave. Le genre de voix est toujours le même dans chaque espece d'Animaux ; mais il y a une sorte de modulation qu'on pourroit appeller articulation, qui ne différe pas seulement à raison des différentes especes, & qui varie quelquefois dans la même espece d'Animaux à raison des lieux qu'ils habitent. Par exemple, entre les perdrix, il y en a dont la voix fait entendre le son répété des syllabes *cac*, *cac* ; d'autres dont elle forme le son des syllabes *tri*, *tri* : & quelquefois les petits oiseaux n'ont pas le même ramage que ceux dont ils sont nés, quand ils n'ont point été élevés par eux, & qu'ils ont entendu le chant d'oiseaux d'une autre espece. On a vû un rossignol former le chant de son petit. La voix est donc d'une autre nature que l'articulation des sons, & cette derniere faculté peut s'acquérir & se perfectionner par l'éducation. Tous les hommes ont une voix de la même espece : mais il s'en faut bien que leur parler soit le même. La voix de l'éléphant, lorsqu'il ne la fait pas passer par sa trompe & que sa bouche en est le seul organe, ressemble à celle d'un homme qui chasse sa respiration en se plaignant : dans le cas contraire, elle a le son rauque d'une trompette.

Le sommeil & la veille des Animaux est un fait dont les sens nous instrui- 10.
sent assez, relativement à ceux qui marchent sur la terre & qui ont du sang. X.
Nous les voyons tantôt veiller, tantôt dormir, car tout animal qui a des paupieres les ferme en dormant. Il n'est pas non plus particulier à l'homme de rêver : les chevaux, les chiens, les bœufs, les brebis, les chevres, en un mot tous les quadrupedes vivipares paroissent rêver aussi, & les aboyemens des chiens pendant leur sommeil montrent bien qu'ils rêvent. Il n'est pas aussi évident que les ovipares rêvent, mais il est manifeste qu'ils dorment.

καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα, κάραβοί τε, καὶ τὰ τοιαῦτα. Βραχύυπνα μὲν οὖν ἐστιν ἅπαντα τὰ τοιαῦτα, φαίνεται δὲ καθεύδοντα. Σημεῖον δὲ κατὰ μὲν τὰ ὄμματα λαβεῖν οὐκ ἔστιν, οὐδὲν γὰρ ἔχει βλέφαρον, ἀλλὰ ταῖς ἀτρεμίαις. Αλίσκονται γὰρ οἱ ἰχθύες, εἰ μὲν μὴ διὰ τοὺς φθεῖρας καὶ τοὺς λεγομένους ψύλλους, κἂν ὥστε τῇ χειρὶ λαμβάνειν ῥαδίως· νῦν δ' ἂν χρονίσωσιν, οὗτοι τῆς νυκτὸς κατεσθίουσι προσπίπτοντες, πολλοὶ τὸ πλῆθος ὄντες. Γίνονται δὲ ἐν τῷ βυθῷ τῆς θαλάσσης, καὶ τοσοῦτοι τὸ πλῆθος, ὥστε καὶ τὸ δέλεαρ, ὅ τι ἂν ἰχθύος ᾖ, ἂν χρονίσῃ ἐπὶ τῆς γῆς, κατεσθίουσι· καὶ ἀνέλκουσι πολλάκις οἱ ἁλιεῖς περὶ τὸ δέλεαρ, ὥσπερ σφαῖραν συνεχομένην αὐτῶν.

Αλλ' ἐκ τῶν τοιούτων μᾶλλόν ἐστι τεκμαίρεσθαι ὅτι καθεύδουσι. Πολλάκις γάρ ἐστιν ἐπιπεσόντα τοῖς ἰχθύσι λαθεῖν οὕτως, ὥστε καὶ τῇ χειρὶ λαβεῖν, ἢ πατάξαντα λαθεῖν. Υπὸ δὲ τὸν καιρὸν τοῦτον ἠρεμοῦσι σφόδρα, καὶ κινοῦσιν οὐθὲν πλὴν ἠρέμα τὸ οὐραῖον. Δῆλον δὲ γίνεται ὅτι καθεύδει καὶ ταῖς φοραῖς, ἄν τι κινηθῇ ἡσυχαζόντων· φέρεται γὰρ ὥσπερ ἐξ ὕπνου ὄντα. Ετι δ' ἐν ταῖς πέτραις ἁλίσκονται, διὰ τὸ καθεύδειν. Πολλάκις δὲ καὶ οἱ θυννοσκόποι περιβάλλονται καθεύδοντας· δῆλον δ' ἐκ τοῦ ἡσυχάζοντας καὶ τὰ λευκὰ ὑποφαίνοντας ἁλίσκεσθαι. Καθεύδουσι δὲ τῆς νυκτὸς μᾶλλον ἢ τῆς ἡμέρας οὕτως, ὥστε βαλλόντων μὴ κινεῖσθαι. Τὰ δὲ πλεῖστα καθεύδουσιν ἢ τῆς ἄμμου, ἢ τῆς γῆς, ἢ λίθου τινὸς ἐχόμενοι ἐν τῷ βυθῷ, ἢ ἀποκρύψαντες ὑπὸ πέτραν ἢ θῖνα ἑαυτούς· οἱ δὲ πλατεῖς ἐν τῇ ἄμμῳ· γινώσκονται δὲ τῷ σχηματίσει τῆς ἄμμου, καὶ λαμβάνονται τυπτόμενοι τοῖς τριόδουσι. Λαμβάνονται δὲ καὶ λάβρακες, καὶ χρυσόφρυες, καὶ κεστρεῖς, καὶ ὅσοι τοιοῦτοι, τριόδοντι, ἡμέρας πολλάκις, διὰ τὸ καθεύδειν. Εἰ δὲ μὴ, οὐδὲν δοκεῖ τῶν τοιούτων ληφθῆναι ἂν τῷ τριόδοντι. Τὰ δὲ σελάχη οὕτω καθεύδει ἐνίοτε, ὥστε καὶ λαμβάνεσθαι τῇ χειρί. Ο δελφὶς δὲ, καὶ φάλαινα, καὶ ὅσα αὐλὸν ἔχει, ὑπερέχοντα

Il en eſt de même des Animaux aquatiques, comme les poiſſons, les mollusques, les cruſtacées, les langouſtes & autres de ce genre. Leur ſommeil eſt court à la vérité; mais on les voit dormir. Ce n'eſt pas en regardant leurs yeux qu'on peut ſe convaincre qu'ils dorment, puiſqu'aucun d'eux n'a de paupieres: c'eſt par l'état de tranquillité où ils demeurent. On les prendroit alors à la main, & même aiſément, s'ils n'étoient tourmentés par des pous, & par ce qu'on appelle des pucerons. Quand ils reſtent long-tems tranquilles pendant la nuit, il ſe jette ſur eux une quantité de cette vermine qui les ronge. Ces inſectes ſe forment au fonds de la mer, & ils y ſont en ſi grande abondance que quand les pêcheurs jettent un appas où il entre de la chair de poiſſon, pour peu qu'il ſéjourne au fonds, ils le dévorent. Souvent les pêcheurs en retirant leur appas, enlevent en même temps une partie de cette vermine qui s'eſt raſſemblée autour, & qui y forme comme une boule.

Mais voici d'autres preuves plus ſenſibles du ſommeil des poiſſons. Il n'eſt pas rare qu'en s'approchant d'eux avec quelque précaution, on les prenne à la main, ou qu'on les frappe du harpon avant qu'ils s'en ſoient apperçu. Dans ces momens de repos ils n'ont d'autre mouvement qu'un balancement leger de l'extrémité de leur queue. On peut encore juger qu'ils dormoient par la ſecouſſe même qu'ils éprouvent lorſque quelque choſe vient à troubler leur repos. Ils s'élancent alors comme s'ils étoient éveillés en ſurſaut. On prend auſſi des poiſſons endormis dans des creux de rochers. Souvent ceux qui vont à la découverte des thons les enferment dans leurs filets tous endormis, car ils reſtent tranquilles, & on voit à demi le blanc de leurs yeux. C'eſt la nuit plutôt que le jour, que les poiſſons dorment : leur ſommeil eſt aſſez fort pour qu'on les perce ſans qu'ils remuent. La plûpart des poiſſons dorment appuyés ſur le ſable, ſur la terre, ou ſur quelque pierre au fonds de la mer; ou bien ils ſe retirent ſous un rocher, ou dans quelque cavité du rivage. Les poiſſons plats ſe cachent dans le ſable, on les y reconnoît à la forme que prend la ſurface du ſable, & on les y frappe avec le trident. Ce même inſtrument ſert pour les loups, les dorades, les muges & autres poiſſons ſemblables. On les en frappe, ſouvent même pendant le jour : mais il faut qu'ils dorment, ſans quoi il ne paroît pas qu'aucun d'eux ſe laiſſât ainſi percer. Les ſelaques ſont quelquefois ſi profondément endormis, qu'on les prend à la main. Le dauphin, la baleine, & les autres qui ont des conduits pour

τὸν αὐλὸν καθεύδει τῆς θαλάττης, δι' οὗ καὶ ἀναπνέουσιν ἠρέμα κινοῦντες τὰς πτέρυγας· καὶ δελφῖνος δὲ καὶ ῥέγχοντος ἤδη ἠκρόανταί τινες. Καθεύδει δὲ καὶ τὰ μαλάκια τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ οἱ ἰχθύες· ὁμοίως δὲ καὶ τὰ μαλακόστρακα τούτοις.

Καὶ τὰ ἔντομα δὲ τῶν ζώων ὅτι τυγχάνει ὕπνου διὰ τοιούτων σημείων ἐστὶ φανερόν. Ησυχάζουσί τε γὰρ καὶ ἀκινητίζουσιν ἐπιδήλως, καὶ μάλιστα δ' ἐπὶ τῶν μελιττῶν τοῦτο δῆλον· ἠρεμοῦσι γὰρ καὶ παύονται βομβοῦσαι τῆς νυκτός. Δῆλον δὲ καὶ ἐπὶ τῶν ἐν ποσὶ μάλιστα τῶν τοιούτων. Οὐ γὰρ μόνον διὰ τὸ μὴ ὀξὺ βλέπειν ἡσυχάζουσι τῆς νυκτὸς, ἅπαντα γὰρ ἀμυδρῶς βλέπει τὰ σκληρόφθαλμα, ἀλλὰ καὶ πρὸς τὸ φῶς τὸ τῶν λύχνων ἡσυχάζοντα φαίνεται οὐδὲν ἧττον.

Ενυπνιάζει δὲ τῶν ζώων μάλιστα ἄνθρωπος. Καὶ νέοις μὲν οὖσι καὶ παιδίοις ἔτι πάμπαν, οὐ γίνεται ἐνύπνιον, ἀλλ' ἄρχεται τοῖς πλείστοις περὶ τὰ τέτταρα ἔτη, ἢ πέντε, ἤδη γεγονόσιν. Εἰσὶ δὲ καὶ ἄνδρες καὶ γυναῖκες οἳ οὐδεπώποτε ἐνύπνιον εἶδον· συνέβη δέ τισι τῶν τοιούτων προϊούσης τῆς ἡλικίας ἰδεῖν ἐνύπνιον, καὶ μετὰ ταῦτα γενέσθαι περὶ τὸ σῶμα μεταβολὴν, τοῖς μὲν εἰς θάνατον, τοῖς δὲ εἰς ἀῤῥωστίαν.

11. XI. Περὶ μὲν οὖν αἰσθήσεως, καὶ ὕπνου καὶ ἐγρηγόρσεως, τοῦτον ἔχει τὸν τρόπον. Τὸ δὲ ἄῤῥεν καὶ θῆλυ τοῖς μὲν ὑπάρχει τῶν ζώων, τοῖς δὲ οὐχ ὑπάρχει, ἀλλὰ καθ' ὁμοιότητά τινα καὶ τίκτειν λέγονται καὶ κύειν. Εστι δὲ οὐδὲν ἄῤῥεν καὶ θῆλυ ἐν τοῖς μονίμοις, οὐδ' ὅλως ἐν τοῖς ὀστρακοδέρμοις. Εν δὲ τοῖς μαλακίοις καὶ τοῖς μαλακοστράκοις, ἐστὶ τὸ μὲν θῆλυ, τὸ δὲ ἄῤῥεν· καὶ ἐν τοῖς πεζοῖς, καὶ ἐν τοῖς δίποσι, καὶ ἐν τοῖς τετράποσι, καὶ ἐν πᾶσιν ὅσα ἐκ συνδυασμοῦ τίκτει ζῶον, ἢ ᾠὸν, ἢ σκώληκα. Εν μὲν οὖν τοῖς ἄλλοις ζώοις ἁπλοῦν ἢ ἔστιν, ἢ οὐκ ἔστιν· οἷον ἐν μὲν τοῖς τετράποσιν ἅπασίν ἐστι τὸ μὲν θῆλυ, τὸ δ' ἄῤῥεν, ἐν δὲ τοῖς ὀστρακοδέρμοις οὐκ ἔστιν· ἀλλ' ὥσπερ ἐν φυτοῖς τὰ

rejetter l'eau, tiennent hors de la mer cet organe qui leur sert à respirer, & ils font aller doucement leurs nageoires. Il y a même des personnes qui ont entendu le dauphin ronfler. Les mollusques dorment comme les poissons, & les crustacées comme les mollusques.

Les insectes ne sont pas moins sujets au sommeil que les autres Animaux: voici des faits qui établissent cette vérité. Il y a des tems où ils sont tranquilles & sans aucune apparence de mouvement. On peut l'observer particulierement sur les abeilles : elles demeurent en repos & cessent de bourdonner pendant la nuit. L'examen des insectes que nous avons habituellement sous les yeux acheve de nous en convaincre. On pourroit objecter que les insectes ne restent en repos la nuit que faute de voir clair, mais on remarque qu'ils ne sont pas moins tranquilles dans les lieux où il y a des lampes allumées, & d'ailleurs tous les Animaux qui ont l'œil ferme ne voyent jamais bien nettement.

L'homme rêve plus qu'aucun autre animal : non pas dans sa premiere enfance, ce n'est d'ordinaire qu'à quatre ou cinq ans qu'il commence à avoir des rêves. Cependant il y a des personnes de l'un & l'autre sexe qui n'ont jamais eu de rêve. Quelques-uns de ceux qui n'y étoient pas sujets viennent à en avoir pour la premiere fois dans un âge avancé, & alors il se fait dans leur tempérament une révolution qui les conduit à la mort, ou qui leur occasionne quelque maladie.

Voilà les observations relatives aux sens des Animaux, & à l'état de veille & II.
de sommeil par lequel ils passent successivement : nous avons encore à parler XI
de la différence de leurs sexes. Dans certains genres, il y a des mâles & des femelles : dans d'autres genres il n'y en a point, & ce n'est que par métaphore qu'on dit de ces Animaux qu'ils portent des petits & qu'ils les mettent bas. Chez les Animaux qui restent attachés à une place fixe, en général parmi les testacées, il n'y a point de mâle & de femelle. Mais cette différence de sexe a lieu chez les mollusques, chez les crustacées, chez les Animaux qui se meuvent avec des pieds, bipedes comme quadrupedes, & généralement chez tous les Animaux dont l'accouplement est suivi de la production d'un animal, d'un œuf, ou d'un ver. En général à l'égard de tous les Animaux qui ne sont ni poissons ni insectes, on peut nier ou affirmer d'eux l'existence

μὲν εὔφορά ἐςι, τὰ δ᾽ ἄφορα, οὕτω καὶ ἐν τούτοις. Εν δὲ τοῖς ἐντόμοις καὶ τοῖς ἰχθύσιν, ἐςὶ τὰ μὲν ὅλως οὐκ ἔχοντα ταύτην τὴν διαφορὰν ἐπ᾽ οὐδέτερον· οἷον ἔγχελυς οὔτε ἄρρεν ἐςὶν, οὔτε θῆλυ, οὐδὲ γεννᾷ ἐξ αὐτῆς οὐδέν. Αλλ᾽ οἱ λέγοντες ὅτι τριχώδη καὶ ἑλμινθώδη προσπεφυκότα ἔχουσαί ποτέ τινες φαίνονται, μὴ προθεωρήσαντες τὸ ποῦ ἔχουσιν, ἀσκέπτως λέγουσιν. Οὔτε γὰρ ζωοτοκεῖ ἄνευ ᾠοτοκίας οὐδὲν τῶν τοιούτων· ᾠὸν δ᾽ οὐδεμία πώποτε ὦπται ἔχουσα. Οσα τε ζωοτοκεῖ, ἐν τῇ ὑςέρᾳ ἔχει προσπεφυκότα, ἀλλ᾽ οὐκ ἐν τῇ γαςρί· ἐπέττετο γὰρ ἂν ὥσπερ ἡ τροφή· ἣν δὲ λέγουσι διαφορὰν ἄρρενός τε καὶ θηλείας ἐγχέλυος, τῷ τὸν μὲν μείζω κεφαλὴν καὶ μακροτέραν ἔχειν, τὴν δὲ θήλειαν σιμοτέραν, οὐ τοῦ θήλεος καὶ ἄρρενος λέγουσιν, ἀλλὰ τοῦ γένους.

Εἰσὶ δέ τινες ἰχθύες οἳ καλοῦνται ἐπιτραγίαι, γίνονται δὲ τοιοῦτοι τῶν ποταμίων κυπρῖνος καὶ βαρῖνος· οὐκ ἔχουσι δὲ οἱ τοιοῦτοι οὔτε ᾠὸν, οὔτε θορὸν οὐδέποτε· ἀλλ᾽ ὅσοι ςερεοί εἰσι καὶ πίονες ἔντερον μικρὸν ἔχουσι, καί εἰσιν ἄριςοι οὗτοι. Ετι δ᾽ ἔνια καθάπερ ἐν τοῖς ὀςρακοδέρμοις καὶ φυτοῖς, τὸ μὲν τίκτον ἐςὶ καὶ γεννῶν, τὸ δ᾽ ὀχεῦον οὐκ ἔςιν· οὕτω καὶ ἐν τοῖς ἰχθύσι τὸ τῶν ψηττῶν γένος, καὶ τὸ τῶν ἐρυθρινῶν, καὶ αἱ χάναι, καὶ πάντα τὰ τοιαῦτα, ᾠὰ φαίνεται ἔχοντα.


Εν μὲν οὖν τοῖς πεζοῖς καὶ ἐναίμοις τῶν ζώων, ὅσα μὴ ᾠοτοκεῖ τὰ πλεῖςα καὶ μείζω καὶ μακροβιώτερα τὰ ἄρρενα τῶν θηλειῶν εἰσι, πλὴν ἡμίονος· τούτων δὲ αἱ θήλειαι μακροβιώτεραι καὶ μείζους· ἐν δὲ τοῖς ᾠοτόκοις καὶ τοῖς σκωληκοτόκοις, οἷον ἐν τοῖς ἰχθύσι καὶ ἐπὶ τῶν ἐντόμων, μείζω τὰ θήλεα τῶν ἀρρένων ἐςὶν, οἷον ὄφεις, καὶ φαλάγγια, καὶ ἀσκαλαβῶται, καὶ βάτραχοι. Καὶ ἐπὶ τῶν ἰχθύων δ᾽ ὡσαύτως, οἷον τά τε σελάχη τὰ μικρὰ, καὶ τῶν ἀγελαίων τὰ πλεῖςα· τὰ δὲ πετραῖα, πάντα. Οτι δὲ μακροβιώτεροί εἰσι τῶν ἰχθύων οἱ θήλεις τῶν ἀρρένων, δῆλον ἐκ τοῦ παλαιότερα ἁλίσκεσθαι τὰ θήλεα τῶν ἀρρένων.

du ſexe d'une maniere abſolue ; par exemple, dans tous les quadrupedes chaque individu eſt mâle ou femelle, dans les teſtacées au contraire il n'y a ni mâle ni femelle, ils reſſemblent aux plantes dont les unes ſont fécondes & les autres ſtériles. On ne ſauroit avancer une pareille aſſertion générale pour les inſectes & les poiſſons. Il y a des eſpeces ou la diſtinction des ſexes n'a aucunement lieu, par exemple il n'y a ni mâle ni femelle parmi les anguilles: l'anguille ne produit rien de ſoi. On prétend, il eſt vrai, avoir vu des eſpeces de vers, qui étoient comme des poils, adhérens à l'anguille : mais les conſéquences qu'on veut tirer de cette obſervation ne ſont pas juſtes, faute d'avoir fait attention au lieu où ces corps ſe trouvoient. D'une part, aucun animal du genre de l'anguille ne produit de petits vivants qu'après avoir eu des œufs, & jamais on n'a trouvé d'œufs dans l'anguille. D'autre part, les Animaux vivipares portent leurs petits dans la matrice où ils ſont attachés : ils ne les ont pas dans le ventre : les petits y ſeroient digerés comme les alimens. Quant à la différence qu'on dit être entre les anguilles mâles, qui ont, à ce qu'on prétend, la tête plus groſſe & plus allongée, & les anguilles femelles qui l'ont plus applatie, cette diverſité de forme n'eſt pas relative à une différence de ſexe ; elle indique ſeulement différentes eſpeces d'anguilles.

Il y a de certains poiſſons qu'on nomme bréhans, & qui n'ont ni œufs ni laite. Il s'en trouve de tels entre les poiſſons de riviere, parmi les carpes & les *barins*. Lorſque ces poiſſons ont une chair ferme & graſſe, ils ont l'inteſtin petit, & ſont excellents pour la table. Quelques autres poiſſons reſſemblent aux teſtacées & aux plantes, ils ont des individus qui conçoivent & produiſent, ſans avoir de mâles qui les fecondent: telles ſont les plies, les rougets, les ſerrans. On ne trouve que des œufs dans tous les individus de ces eſpeces.

Chez les Animaux qui ſe meuvent avec des pieds & qui ont du ſang, le plus ordinaire, quand ils ne ſont point ovipares, eſt que le mâle eſt plus grand que la femelle, & qu'il vit plus long-tems. Il faut excepter le mulet par rapport auquel on obſerve le contraire. A l'égard des Animaux qui ſe reproduiſent par le moyen d'un œuf ou d'un ver, les poiſſons par exemple, & les inſectes, la femelle eſt plus grande chez eux que le mâle. Voyez les ſerpens, les petites phalanges, les ſtellions, les grenouilles, & entre les poiſſons, les ſélaques de la petite eſpece, la plûpart des poiſſons qui vivent en troupe, & tous ceux qu'on nomme ſaxatiles. Une preuve que parmi les poiſſons la femelle vit plus long-tems que le mâle, c'eſt qu'on pêche des femelles plus vieilles qu'aucun mâle de même eſpece.

Ἔστι δὲ τὰ μὲν ἄνω καὶ πρόσθια πάντων τῶν ζώων τὰ ἄῤῥενα, κρείττω, καὶ ἰσχυρότερα, καὶ εὐπλευρότερα· τὰ δ᾽ ὡς ἂν ὀπίσθια καὶ κάτω λεχθέντα, τῶν θηλέων. Τοῦτο δὲ καὶ ἐπ᾽ ἀνθρώπων, καὶ ἐπὶ τῶν ἄλλων ζώων τῶν πεζῶν καὶ ζωοτόκων τοῦτον ἔχει τὸν τρόπον. Καὶ ἀνευρότερόν τε καὶ ἀναρθρότερον τὸ θῆλυ μᾶλλον, καὶ λεπτοτριχώτερον, ὅσα ἔχει τρίχας· τὰ δὲ μὴ τρίχας ἔχοντα, κατὰ τὸ ἀνάλογον. Καὶ ὑγροσαρκότερα δὲ τὰ θήλεα τῶν ἀῤῥένων, καὶ γονυκροτώτερα, καὶ αἱ κνῆμαι λεπτότεραι· τοὺς δὲ πόδας γλαφυρωτέρους, ὅσα ταῦτα ἔχει τὰ μόρια, τῶν ζώων. Καὶ περὶ φωνῆς δὲ, πάντα τὰ θήλεα λεπτοφωνότερα καὶ ὀξυφωνότερα, πλὴν βοὸς, ὅσα ἔχει φωνήν· οἱ δὲ βόες βαρύτερον φθέγγονται αἱ θήλειαι τῶν ἀῤῥένων. Τὰ δὲ πρὸς ἀλκὴν ἐν τῇ φύσει ὑπάρχοντα μόρια, οἷον ὀδόντες, καὶ χαυλιόδοντες, καὶ κέρατα, καὶ πλῆκτρα, καὶ ὅσα ἄλλα τοιαῦτα μόρια, ἐν ἐνίοις μὲν γένεσιν ὅλως τὰ μὲν ἄῤῥενα ἔχει, τὰ δὲ θήλεα οὐκ ἔχει· οἷον κέρατα ἔλαφος θήλεια οὐκ ἔχει· καὶ τῶν ὀρνίθων τῶν τὰ πλῆκτρα ἐχόντων, ἐνίων αἱ θήλειαι ὅλως πλῆκτρα οὐκ ἔχουσιν. Ὁμοίως δὲ καὶ χαυλιόδοντας αἱ θήλειαι οὐκ ἔχουσι τῶν ὑῶν. Ἐν ἐνίοις δὲ ὑπάρχει μὲν ἀμφοῖν, ἀλλὰ κρείττω τοῖς ἄῤῥεσι μᾶλλον· οἷον τὰ κέρατα τῶν ταύρων ἰσχυρότερα ἢ τὰ τῶν θηλειῶν βοῶν.



Voici

Voici une autre différence qui distingue les deux sexes dans quelque genre d'Animaux que ce soit. Les parties les plus grosses, les plus fortes, & les plus vigoureuses sont, dans le mâle, les parties supérieures & antérieures; dans la femelle ce sont les parties postérieures & inférieures : l'observation a lieu pour l'homme, aussi bien que pour tous les Animaux vivipares qui se meuvent avec des pieds. La femelle est moins nerveuse, ses traits sont moins prononcés, son poil, lorsqu'elle en a, ou ce qui y répond lorsqu'elle n'en a point, est plus fin. Sa chair est plus humide, ses genoux sujets à craquer, ses jambes plus grêles, & si la nature de l'animal est d'avoir des pieds, ceux de la femelle sont plus mignons. Parmi les Animaux qui ont de la voix, celle de la femelle est plus claire & plus aigue que celle du mâle : il n'y a d'exception que pour l'espece du bœuf, où la voix de la femelle est plus grave. Dans certaines especes, les armes que la nature a données à l'animal pour se défendre, telles que les dents, les crocs, les cornes, les ergots & autres parties semblables, manquent absolument à la femelle; le mâle les a seul. Ainsi la biche n'a point de bois, & dans le nombre des oiseaux à ergot il y a des especes où les femelles n'en ont point du tout. De même la femelle du sanglier n'a point de crocs saillans. Dans d'autres especes, le mâle & la femelle ont les mêmes armes, seulement celles du mâle sont plus fortes. Les cornes du taureau sont, par exemple, plus fortes que les cornes de la vache.





HISTOIRE DES ANIMAUX.

LIVRE CINQUIEME.

Sujet de ce Livre.


Les premiers Livres ont offert à nos yeux des individus isolés & sans vie. Les parties des Animaux, leurs attributs, mais destitués d'action, ont été l'objet de presque tous les détails : ici cette portion de la nature qu'Aristote considere commence à s'animer. La génération des Animaux, leur reproduction, sont les objets intéressans du cinquiéme livre & des deux qui suivent.

Selon Aristote, tous les Animaux ne sont pas produits par d'autres Animaux ; il en est de spontanés qui viennent d'eux-mêmes d'une matiere disposée à leur formation : & parmi ceux qui naissent d'autres Animaux, la reproduction de tous n'exige pas le concours & la réunion des sexes. Après avoir exposé ces premieres vûes, Aristote traite de l'accouplement dans les especes où il a lieu. Il dit quelle est la saison de cet accouplement, & combien, à l'égard de quelques Animaux, cette saison peut revenir de fois dans l'année. Il observe les variétés qu'apporte à cet égard la différence soit du climat, soit de l'âge, & à cette occasion il fait remarquer les signes qui annoncent dans l'individu la faculté de se reproduire.

Jusques-là ce ne sont que des vûes générales : elles servent d'introduction aux détails qui se succédent sur la génération des différentes especes d'Animaux. Les testacées, tant univalves que bivalves, sont les premiers dont la génération est expliquée : les crustacées viennent ensuite, puis les mollusques & après eux la classe nombreuse des insectes. Pour la plûpart de ceux-ci, leur production absolue est composée, pour ainsi dire, de plusieurs générations partielles, à raison des différens états par lesquels ils passent. Avec quelle sagacité Aristote explique leurs métamorphoses! Mais combien cette sagacité même fait regretter que dans ce siecle, l'art ne fut pas encore venu au secours du génie, & ne lui eût pas fourni des instrumens propres à suppléer à l'imperfection de nos foibles organes ! Aristote éclairé par des observations microscopiques, n'auroit pas si fréquemment attribué à la fermentation d'une matiere morte, ce qui est le fruit le plus sensible de la vie de l'animal.

Entre les insectes dont Aristote décrit la reproduction, on remarquera ce qu'il dit des abeilles. C'est un insecte qui depuis long-tems a fixé sur lui les regards attentifs de l'Homme. Il rapporte différens systêmes sur leur génération : on sera surpris de l'accord de quelques-uns de ces systêmes avec les résultats de nos plus exacts observateurs.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Ε.

I. ΟΣΑ μὲν οὖν ἔχουσι μόρια τὰ ζῶα πάντα, καὶ τῶν ἐντὸς καὶ τῶν ἐκτός· ἔτι δὲ περί τε τῶν αἰσθήσεων, καὶ φωνῆς, καὶ ὕπνου· καὶ ποῖα θήλεα, καὶ ποῖα ἄῤῥενα, πρότερον εἴρηται περὶ ἁπάντων. Περὶ δὲ τὰς γενέσεις αὐτῶν λοιπὸν διελθεῖν, καὶ πρῶτον περὶ τῶν πρώτων λεκτέον. Εἰσὶ δὲ πολλαὶ καὶ πολλὴν ἔχουσαι ποικιλίαν· πῆ μὲν ἀνόμοιαι· πῆ δὲ τρόπον τινὰ προσεοίκασιν ἀλλήλαις. Ἐπεὶ δὲ διῄρηται τὰ γένη πρῶτον, τὸν αὐτὸν τρόπον καὶ νῦν πειρατέον ποιεῖσθαι τὴν θεωρίαν· πλὴν τότε μὲν τὴν ἀρχὴν ἐποιούμεθα σκοποῦντες περὶ τῶν μερῶν ἀπὸ ἀνθρώπου· νῦν δὲ περὶ τούτου τελευταῖον λεκτέον, διὰ τὸ πλείστην ἔχειν πραγματείαν. Πρῶτον δὲ ἀρκτέον ἀπὸ τῶν ὀστρακοδέρμων· μετὰ δὲ ταῦτα, περὶ τῶν μαλακοστράκων· καὶ τὰ ἄλλα δὲ τοῦτον τὸν τρόπον ἐφεξῆς. Ἔστι δὲ τά τε μαλάκια καὶ τὰ ἔντομα· καὶ μετὰ ταῦτα τὸ τῶν ἰχθύων γένος, τό τε ζωοτόκον καὶ τὸ ᾠοτόκον αὐτῶν· εἶτα τὸ τῶν ὀρνίθων· μετὰ δὲ ταῦτα, περὶ τῶν πεζῶν· καὶ λεκτέον ὅσα τε ζωοτόκα καὶ ὅσα ᾠοτόκα. Ζωοτόκα δέ ἐστι τῶν τετραπόδων ἔνια, καὶ ἄνθρωπος τῶν διπόδων μόνον.

Κοινὸν μὲν οὖν συμβέβηκε καὶ ἐπὶ τῶν ζώων, ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν. Τὰ μὲν γὰρ ἀπὸ σπέρματος ἑτέρων φυτῶν, τὰ δὲ αὐτόματα γίνεται, συστάσης τινὸς τοιαύτης ἀρχῆς. Καὶ τούτων, τὰ μὲν ἐκ τῆς γῆς λαμβάνει τὴν τροφήν· τὰ δ' ἐν ἑτέροις ἐγγίνεται φυτοῖς, ὥσπερ εἴρηται ἐν τῇ θεωρίᾳ τῇ περὶ φυτῶν. Οὕτω καὶ τῶν ζώων τὰ μὲν ἀπὸ ζώων γίνεται, κατὰ συγγένειαν τῆς μορφῆς· τὰ δ' αὐτόματα καὶ οὐκ ἀπὸ συγγενῶν. Καὶ τούτων



HISTOIRE DES ANIMAUX.

LIVRE CINQUIEME.

APRÈS avoir décrit dans ce qui précéde chacune des parties tant intérieures qu'extérieures des Animaux, avoir traité de leurs sensations, de leur voix, de leur sommeil, avoir dit enfin quels sont ceux parmi lesquels se trouve la différence des sexes ; il reste à exposer leur génération. Il faut en parler avec ordre : les variétés qu'il y a à cet égard entre les différentes especes d'Animaux sont considérables & nombreuses, & s'il en est qui laissent voir quelque rapport entre elles, il en est d'autres qui n'en offrent aucun. Puisque j'ai commencé par classer les Animaux sous des genres, je vais tâcher de suivre encore la même distribution : mais au lieu que dans l'examen de leurs parties j'ai commencé par le détail des parties du corps humain, ici au contraire je finirai par ce qui regarde l'homme, parce que l'histoire de sa reproduction exige beaucoup plus de détail. C'est donc les testacées qu'il faut prendre d'abord, pour passer aux crustacées, & delà aux autres genres : c'est-à-dire aux mollusques, aux insectes, aux poissons vivipares & ovipares, aux oiseaux, aux Animaux qui marchent sur la surface de la terre, & parmi lesquels il faudra distinguer aussi les vivipares & les ovipares. Les vivipares sont une partie des quadrupedes, & l'homme seul entre les bipedes. I.

La génération des Animaux offre un rapport à observer entre eux & les plantes. Il y a des plantes qui viennent d'une semence produite par d'autres plantes du même genre, & il y en a qui se produisent d'elles mêmes par la réunion de principes analogues à leur nature. Parmi ces dernieres il en est qui tirent leur nourriture de la terre, & il en est qui naissent sur d'autres plantes, comme on peut le voir dans mes observations sur les plantes. De même il y a des Animaux qui sont produits par d'autres Animaux qu'une forme commune place dans le même genre, & il y en a qui naissent d'eux-mêmes sans être produits par des Animaux semblables. Ceux-ci viennent ou de la

τὰ μὲν ἐκ γῆς σηπομένης καὶ φυτῶν, ὥσπερ πολλὰ συμβαίνει τῶν ἐντόμων· τὰ δ' ἐν τοῖς ζώοις αὐτοῖς, καὶ ἐκ τῶν ἐν τοῖς μορίοις περιττωμάτων.

Τῶν δὴ τὴν γένεσιν ἐχόντων ἀπὸ συγγενῶν ζώων, ὅσοις μὲν αὐτῶν ἐστι τὸ θῆλυ καὶ τὸ ἄῤῥεν, ἐκ συνδυασμοῦ γίνεται. Ἐν δὲ τῷ τῶν ἰχθύων γένει ἔνια γίνεται οὔτε θήλεα, οὔτε ἄῤῥενα· τῷ γένει μὲν ὄντα τῶν ἰχθύων ἑτέροις τὰ αὐτὰ, τῷ δὲ εἴδει ἕτερα, ἔνια δὲ καὶ πάμπαν ἴδια· τὰ δὲ θήλεα μέν ἐστιν, ἄῤῥενα δὲ οὐκέτι· ἐξ ὧν γίνεται ὥσπερ ἐν τοῖς ὄρνισι τὰ ὑπηνέμια. Τὰ μὲν οὖν τῶν ὀρνίθων ἄγονα πάντα εἰσὶ ταῦτα· ἀλλὰ μέχρι τοῦ ᾠοῦ γέννησιν δύναται ἡ φύσις αὐτῶν ἐπιτελεῖν, ἐὰν μή τις αὐτοῖς συμβῇ τρόπος ἄλλος τῆς κοινωνίας πρὸς τοὺς ἄῤῥενας· περὶ ὧν ἀκριβέστερον ἔσται δῆλον ἐν τοῖς ὕστερον· τῶν δέ ἰχθύων ἐνίοις, ὅταν αὐτόματα γεννήσωσιν ᾠὰ, συμβαίνει ἐκ τούτων καὶ ζῶα γίνεσθαι· πλὴν τῶν μὲν καθ' αὑτὰ, τῶν δὲ οὐκ ἄνευ ἄῤῥενος· ὃν δὲ τρόπον, καὶ περὶ τούτων ἐν τοῖς ἐχομένοις ἔσται φανερόν· σχεδὸν γὰρ παραπλήσια συμβαίνει καὶ ἐπὶ τῶν ὀρνίθων. Ὅσα δὲ ἀπὸ τοῦ αὐτομάτου γίνεται ἐν τοῖς ζώοις, ἢ ἐν γῇ, ἢ ἐν φυτοῖς, ἢ ἐν τοῖς τούτων μορίοις, ἔχουσι δὲ τὸ ἄῤῥεν καὶ θῆλυ, ἐκ τούτων συνδυαζομένων γίνεται μέν τι· οὐ ταὐτὸ δ' ἐξ οὐθενὸς, ἀλλ' ἀτελές· οἷον ἔκ τε τῶν φθειρῶν ὀχευομένων, αἱ καλούμεναι κονίδες, καὶ ἐκ τῶν μυιῶν σκώληκες, καὶ ἐκ τῶν ψυχῶν σκώληκες ᾠοειδεῖς· ἐξ ὧν οὔτε τὰ γεννήσαντα γίνεται, οὔτε ἄλλο οὐθὲν ζῶον, ἀλλὰ τοιαῦτα μόνον. Πρῶτον μὲν οὖν περὶ τῆς ὀχείας λεκτέον, πόσα ὀχεύεται· εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων ἐφεξῆς, τά τε καθ' ἕκαστα, καὶ τὰ κοινῇ συμβαίνοντα περὶ αὐτῶν.

2. II. Ὀχεύεται μὲν οὖν ταῦτα τῶν ζώων ἐν οἷς ὑπάρχει τὸ θῆλυ καὶ τὸ ἄῤῥεν. Εἰσὶ δὲ αἱ ὀχεῖαι οὔθ' ὅμοιαι πᾶσιν, οὔθ' ὁμοίως ἔχουσαι. Τὰ μὲν γὰρ ζωοτόκα καὶ πεζὰ τῶν ἐναίμων ἔχει μὲν ὄργανα πρὸς τὴν τοιαύτην πρᾶξιν ἅπαντα τὰ ἄῤῥενα τὴν γεννητικήν·

terre putrefiée, ou des plantes, comme la plûpart des insectes : ou bien ils se produisent dans les Animaux même, des superfluités qui peuvent se trouver dans les différentes parties de leur corps.

Les Animaux qui naissent de leurs semblables sont le fruit de l'accouplement du mâle & de la femelle, dans les especes ou les deux sexes se trouvent. Parmi les poissons, il y en a qui ne sont ni mâles ni femelles : pour le genre, ce sont des Animaux de la classe des autres poissons ; pour l'espece, ils sont d'une classe différente, quelques-uns sont même d'une espece toute particuliere. D'autres poissons ont des femelles sans avoir de mâles, & ces femelles produisent des œufs, comme on voit les femelles des oiseaux en produire quelquefois sans le concours du mâle. Il y a cependant une différence : les œufs produits par les femelles des oiseaux seules ne sont pas féconds, la nature, chez elles, ne pouvant former rien de plus qu'un œuf, sans une communication quelconque avec le mâle, selon ce que nous développerons plus loin : au lieu qu'il y a des femelles de poissons qui, d'elles-mêmes & seules, produisent des œufs d'où il vient ensuite un animal, tantôt sans le concours d'aucun autre agent, tantôt avec quelque concours du mâle : & ceci sera également développé ailleurs, car il arrive aussi des choses assez approchantes chez les oiseaux. Les Animaux qui naissent d'eux-mêmes, ou dans d'autres Animaux, ou dans quelques-unes de leurs parties, ou dans la terre, ou dans les plantes, & qui ont mâles & femelles, s'accouplent à la vérité & produisent : mais ce qui en provient est imparfait & ne ressemble en rien aux Animaux qui l'ont produit. Ainsi l'accouplement des pous produit ce qu'on appelle des lendes, celui des mouches produit des vers, & celui des papillons d'autres vers qui ont la forme d'œufs : mais de ces lendes & de ces vers il ne vient rien de plus, ni animal semblable à celui qui les a produits, ni autre animal. Traitons donc d'abord de l'accouplement : disons quels Animaux s'accouplent : puis nous passerons aux autres détails relatifs à la génération, & nous distinguerons ce qui est commun à plusieurs especes de ce qui est particulier à chacune.

L'accouplement a lieu dans les especes qui ont des individus de l'un & 2.
l'autre sexe, mais il n'est pas par-tout le même : il ne se fait pas toujours de II.
la même maniere. Parmi les Animaux qui ont du sang, les mâles de tous ceux qui sont vivipares & qui se meuvent sur la surface de la terre avec des pieds, ont tous un organe destiné à l'œuvre de la génération, mais les

οὐ μὴν ὁμοίως γε πάντα πλησιάζουσιν· ἀλλὰ τὰ μὲν ὀπισθουρητικὰ, συνιόντα πυγηδὸν, οἷον λέοντες, καὶ δασύποδες, καὶ λύγκες· τῶν δασυπόδων δὲ πολλάκις ἡ θήλεια προτέρα ἀναβαίνει ἐπὶ τὸν ἄῤῥενα. Τῶν δ' ἄλλων, τῶν μὲν πλείστων, ὁ αὐτὸς τρόπος· τὸν ἐνδεχόμενον γὰρ ἕνα ποιοῦνται συνδυασμὸν τὰ πλεῖστα τῶν τετραπόδων, ἐπιβαίνοντος ἐπὶ τὸ θῆλυ τοῦ ἄῤῥενος· καὶ τὸ τῶν ὀρνίθων ἅπαν γένος, οὕτω τε καὶ μοναχῶς. Εἰσὶ δὲ διαφοραί τινες καὶ περὶ τοὺς ὄρνιθας. Τὰ μὲν γὰρ συγκαθείσης τῆς θηλείας ἐπὶ τὴν γῆν, ἐπιβαίνει τὸ ἄῤῥεν, ὥσπερ αἱ ὠτίδες καὶ οἱ ἀλεκτρυόνες· τὰ δὲ οὐ συγκαθείσης τῆς θηλείας, οἷον καὶ οἱ γέρανοι· ἐν τούτοις γὰρ ὁ ἄῤῥην ἐπιπηδῶν ὀχεύει τὴν θήλειαν, καὶ συγγίνεται ὥσπερ τὰ στρουθία ὀξέως.

Τῶν δὲ τετραπόδων, αἱ ἄρκτοι, παρακεκλιμέναι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὰ ἄλλα ἐπὶ τῶν ποδῶν ποιούμενα τὴν ὀχείαν, πρὸς τὰ πρανῆ τῶν θηλειῶν τὰ ὕπτια τῶν ἀῤῥένων· οἱ δὲ χερσαῖοι ἐχῖνοι, ὀρθοὶ τὰ ὕπτια πρὸς ἄλληλα ἔχοντες. Τῶν δὲ ζωοτόκων καὶ μέγεθος ἐχόντων, οὔτε τοὺς ἄῤῥενας ἐλάφους αἱ θήλειαι ὑπομένουσιν, εἰ μὴ ὀλιγάκις· οὔτε τοὺς ταύρους αἱ βόες, διὰ τὴν τοῦ αἰδοίου συντονίαν, ἀλλ' ὑπάγοντα τὰ θήλεα δέχονται τὴν γονήν· καὶ γὰρ ἐπὶ τῶν ἐλάφων ὦπται τοῦτο συμβαῖνον, τῶν γε τιθασσῶν. Λύκος δὲ ὀχεύει καὶ ὀχεύεται τὸν αὐτὸν τρόπον ὅνπερ καὶ κύων· οἱ δ' αἴλουροι, οὐχ ὄπισθεν συνιόντες, ἀλλ' ὁ μὲν ὀρθὸς, ἡ δὲ θήλεια ὑποτιθεῖσα ἑαυτήν. Εἰσὶ δὲ τῇ φύσει αἱ θήλειαι ἀφροδισιαστικαὶ, καὶ προσάγονται τοὺς ἄῤῥενας εἰς τὰς ὀχείας, καὶ συνιοῦσαι κράζουσιν. Αἱ δὲ κάμηλοι ὀχεύονται τῆς θηλείας καθημένης· περιβεβηκὼς δὲ ὁ ἄῤῥην ὀχεύει οὐκ ἀντίπυγος, ἀλλὰ καθάπερ καὶ τὰ ἄλλα τετράποδα· καὶ διημερεύει τὸ μὲν ὀχεῦον, τὸ δ' ὀχευόμενον· ἀποχωροῦσι δὲ εἰς ἐρημίαν, ὅταν ποιῶνται τὴν ὀχείαν, καὶ οὐκ ἔστι πλησιάσαι, ἀλλ' ἢ τῷ βόσκοντι. Τὸ δὲ αἰδοῖον ἔχει ὁ κάμηλος νευρῶδες οὕτως, ὥστε καὶ νευρὰν

approches

approches de tous ne ſont pas pour cela ſemblables. Ceux qui jettent leur urine en arriere comme les lions, les daſypodes, & les lynx, s'approchent à reculons & s'accouplent en arriere : entre les daſypodes c'eſt ſouvent la femelle qui ſaute la premiere ſur le mâle. La plûpart des autres Animaux ont une même maniere de s'accoupler qui eſt la plus ſimple, c'eſt celle du plus grand nombre des quadrupedes ; le mâle monte ſur la femelle. Cet accouplement eſt le ſeul qui ait lieu entre les oiſeaux, avec quelque différence néanmoins des uns aux autres. Quelquefois la femelle fléchit les pattes, poſe ſon corps contre terre, & alors le mâle monte ſur elle : c'eſt ainſi que fait le coq & l'outarde. D'autres fois la femelle reſte debout; on en a un exemple dans la grue : le mâle ſaute ſur elle & l'accouplement eſt prompt comme l'eſt celui du paſſereau.

Pour revenir aux quadrupedes, l'ourſe ſe couche par terre, & elle reçoit le mâle ainſi que les autres femelles qui demeurent ſur leurs pieds pendant cette action, c'eſt-à-dire, que le deſſous du corps du mâle eſt ſur le dos de la femelle. Les hériſſons de terre ſe tiennent droits, le devant du corps de l'un contre le devant du corps de l'autre. Chez les Animaux vivipares qui ont une certaine grandeur, les femelles, la biche par exemple & la vache, ne ſouffrent le cerf & le taureau que rarement, à cauſe de la roideur de la verge : elles ne reçoivent la liqueur prolifique qu'en cherchant à ſe ſouſtraire aux efforts du mâle : on en a fait l'obſervation ſur des cerfs privés. Le loup s'accouple comme le chien : les chats ne s'accouplent point à reculons, mais le mâle ſe dreſſe & la femelle ſe place deſſous lui. La chatte eſt naturellement ardente, elle excite le mâle à la ſatisfaire : elle crie pendant l'accouplement. Dans l'accouplement du chameau, la femelle fléchit les jambes de derriere, le mâle la couvre, & leurs croupes ne ſont point oppoſées : la ſituation du mâle eſt telle que dans les autres quadrupedes. Ils demeurent dans cet état des jours entiers, mais ils ſe retirent alors dans des lieux écartés où ils ne ſe laiſſent approcher que par leur pâtre. La verge du chameau eſt ſi

ἐκ τούτου ποιεῖσθαι τοῖς τόξοις. Οἱ δὲ ἐλέφαντες ὀχεύονται μὲν ἐν ταῖς ἐρημίαις, μάλιστα δὲ περὶ τοὺς ποταμοὺς, καὶ οὗ διατρίβειν εἰώθασιν. Ὀχεύεται δὲ ἡ μὲν θήλεια συγκαθιεῖσα καὶ διαβαίνουσα· ὁ δὲ ἄῤῥην ἐπαναβαίνων ὀχεύει. Ὀχεύεται δὲ ἡ φώκη καθάπερ τὰ ὀπισθουρητικὰ τῶν ζώων, καὶ συνέχονται ἐν τῇ ὀχείᾳ πολὺν χρόνον, ὥσπερ καὶ αἱ κύνες· ἔχουσι δὲ τὸ αἰδοῖον μέγα οἱ ἄῤῥενες.

3. III. Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν πεζῶν τὰ τετράποδα καὶ ᾠοτόκα ποιεῖται τὴν ὀχείαν. Τὰ μὲν γὰρ ἐπιβαίνοντα, καθάπερ τὰ ζωοτόκα, οἷον χελώνη καὶ ἡ θαλαττία, καὶ ἡ χερσαία. Ἔχουσι δέ τι εἰς ὃ οἱ πόροι συνάπτουσιν, καὶ ᾧ ἐν τῇ ὀχείᾳ πλησιάζουσιν, οἷον τρυγόνες καὶ βάτραχοι, καὶ πᾶν τὸ τοιοῦτον γένος.

4. IV. Τὰ δὲ ἄποδα καὶ μακρὰ τῶν ζώων, οἷον ὄφις τε καὶ μύραινα, περιπλεκόμενοι τοῖς ὑπτίοις πρὸς τὰ ὕπτια. Οὕτω δὲ σφόδρα οἱ ὄφεις περιελίττονται ἀλλήλοις, ὥστε δοκεῖν ἑνὸς ὄφεως δικεφάλου εἶναι τὸ σῶμα ἅπαν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τῶν σαύρων γένος· ὁμοίαν γὰρ τῇ περιπλοκῇ ποιοῦνται τὴν ὀχείαν.

5. V. Οἱ δὲ ἰχθύες πάντες, ἔξω τῶν πλατέων σελαχῶν, παραπίπτοντες τὰ ὕπτια πρὸς τὰ ὕπτια, ποιοῦνται τὸν συνδυασμόν. Τὰ δὲ πλατέα καὶ κερκοφόρα, οἷον βάτος καὶ τρυγὼν, καὶ τὰ τοιαῦτα, οὐ μόνον παραπίπτοντα, ἀλλὰ καὶ ἐπιπίπτοντα τοῖς ὑπτίοις ἐπὶ τὰ πρανῆ τῶν θηλειῶν, ὅσοις ἂν μὴ ἐμποδίζῃ τὸ οὐραῖον, οὐδὲν ἔχον πάχος. Αἱ δὲ ῥῖναι, καὶ ὅσοις τῶν τοιούτων πολὺ τὸ οὐραῖον, παρατριβόμεναι μόνον ὀχεύονται τὰ ὕπτια πρὸς τὰ ὕπτια. Εἰσὶ δέ τινες οἳ ἑωρακέναι φασὶ καὶ ὄπισθεν συνεχόμενα τῶν σελαχῶν ἔνια, ὥσπερ τοὺς κύνας. Ἔστι δ' ἐν πᾶσι τοῖς σελαχώδεσι μείζων ὁ θῆλυς τοῦ ἄῤῥενος· σχεδὸν δὲ καὶ ἐν τοῖς ἄλλοις ἰχθύσι τὰ θήλεα μείζω τῶν ἀῤῥένων. Σελάχη δέ ἐστι τά τε εἰρημένα, καὶ βοῦς, καὶ λάμια, καὶ αἰετὸς, καὶ νάρκη, καὶ βάτραχος, καὶ πάντα τὰ γαλεώδη. Τὰ μὲν οὖν σελάχη πάντα

nerveuse qu'on en tire des cordes pour les arcs. Les éléphans ne s'accouplent non plus que dans les lieux solitaires : ils choisissent le voisinage des rivieres & les endroits où ils ont coutume de se retirer. La femelle s'abaisse & écarte les jambes, tandis que le mâle monte sur elle. L'accouplement des phoques est le même que celui des Animaux dont le canal urinaire est en arriere ; ils restent attachés pendant long-tems comme les chiens. Le phoque mâle a la verge très-grande.

Ceux des quadrupedes marchant sur la terre qui sont ovipares s'accouplent 3.
comme les vivipares ; le mâle monte sur la femelle, ainsi que le mâle des III.
quadrupedes vivipares. Tel est l'accouplement de la tortue de mer & de celle de terre. Cet accouplement est accompagné d'intromission : on peut le voir dans le quadrupede qui porte le nom de la tourterelle, dans la grenouille & dans tous ceux de ce même genre.

Les Animaux qui, comme le serpent & la murene, n'ont point de pieds & 4.
ont le corps allongé, s'entrelacent dans l'accouplement ventre contre ventre : IV.
l'union des serpens est si intime, qu'ils semblent ne plus former qu'un corps & un seul serpent à deux têtes. Les Animaux du genre des lézards s'accouplent de même : ils s'entrelacent.

L'accouplement de tous les poissons, si l'on excepte les sélaques dont le 5.
corps est large, consiste à se glisser le ventre l'un contre l'autre. Les sélaques V.
larges & qui ont une queue, la raie, par exemple, la pastenaque & autres de ce genre, ne se glissent pas seulement ainsi l'un contre l'autre : le mâle applique son ventre sur le dos de la femelle, à moins que l'épaisseur de la queue n'y forme un obstacle. Ceux qui ont la queue fort grosse, tels que la lime, ne font que se frotter le ventre l'un contre l'autre. On prétend avoir vu des sélaques liés l'un à l'autre par derriere, comme les chiens. Dans toute la classe des sélaques la femelle est plus grosse que le mâle : il en est assez généralement de même chez tous les poissons. La dénomination des sélaques comprend, avec ceux dont on vient de voir les noms, le bœuf, la lamie, l'aigle, la torpille, la grenouille de mer, & les différentes especes de chiens marins. Leur accouplement a été plus facile à observer, on a pu voir qu'il

τεθεώρηται μᾶλλον ὑπὸ πολλῶν τούτους ποιούμενα τοὺς τρόπους τὴν ὀχείαν. Χρονιωτέρα γὰρ ἡ συμπλοκὴ πάντων τῶν ζωοτόκων, ἢ τῶν ὠοτόκων. Καὶ δελφῖνες δὲ, καὶ πάντα τὰ κητώδη, τὸν αὐτὸν τρόπον· παραπίπτοντα γὰρ ὀχεύει παρὰ τῷ θήλει τὸ ἄῤῥεν, καὶ χρόνον οὔτε ὀλίγον, οὔτε λίαν πολύν. Διαφέρουσι δ' ἔνιοι τῶν σελαχοειδῶν ἰχθύων οἱ ἄῤῥενες τῶν θηλειῶν, τῷ τοὺς μὲν ἔχειν ἀποκρεμάμενα ἄττα δύο περὶ τὴν ἔξοδον τῆς περιττώσεως, τὰς δὲ θηλείας ταῦτα μὴ ἔχειν· οἷον ἐν τοῖς γαλεώδεσιν. Επὶ γὰρ τούτων ὑπάρχει πάντων τὸ εἰρημένον.

Ορχεις μὲν οὖν οὔτε ἰχθὺς, οὔτε ἄλλο τῶν ἀπόδων ἔχει οὐθέν. Πόρους δὲ δύο οἱ ὄφεις καὶ οἱ ἰχθύες οἱ ἄῤῥενες ἔχουσιν, οἳ γίνονται θοροῦ πλήρεις περὶ τὴν τῆς ὀχείας ὥραν, καὶ προίενται ὑγρότητα γαλακτώδη πάντες. Οὗτοι δ' οἱ πόροι εἰς ἓν συνάπτουσιν, ὥσπερ καὶ τοῖς ὄρνισιν· οἱ γὰρ ὄρνιθες ἐντὸς ἔχουσι τοὺς ὄρχεις, καὶ τὰ ἄλλα πάντα, ὅσα ὠοτοκεῖ πόδας ἔχοντα. Τοῦτο δὴ συμπεραίνει καὶ ἐπεκτείνεται εἰς τὴν τοῦ θήλεος χώραν καὶ ὑποδοχήν. Εςι δὲ τοῖς μὲν ζωοτόκοις καὶ πεζοῖς ὁ αὐτὸς πόρος τοῦ σπέρματος καὶ τῆς τοῦ ὑγροῦ περιττώσεως ἔξωθεν· ἔσωθεν δὲ ἕτερος πόρος, ὥσπερ ἐλέχθη πρότερον ἐν τῇ διαφορᾷ τῇ τῶν μορίων. Τοῖς δὲ μὴ ἔχουσι κύςιν, ὁ αὐτὸς καὶ τῆς ξηρᾶς περιττώσεως πόρος ἔξωθεν· ἔσωθεν δὲ σύνεγγυς ἀλλήλων. Ομοίως δὲ ταῦτα ἔχει τοῖς θήλεσιν αὐτῶν καὶ τοῖς ἄῤῥεσιν· οὐ γὰρ ἔχουσι κύςιν, πλὴν ἐπὶ χελώνης· τούτων δὲ ἡ θήλεια ἕνα πόρον ἔχει, καίτοι κύςιν ἔχουσα· αἱ χελῶναι δὲ, τῶν ὠοτοκούντων εἰσίν.

Η δὲ τῶν ὠοτοκούντων ἰχθύων ὀχεία ἧττον γίνεται κατάδηλος, διόπερ οἱ πλεῖςοι νομίζουσι πληροῦσθαι τὰ θήλεα τὸν τῶν ἀῤῥένων ἀνακάπτοντα τὸν θορόν· τοῦτο γὰρ πολλάκις ὁρᾶται γινόμενον. Περὶ γὰρ τὴν τῆς ὀχείας ὥραν αἱ θήλειαι τοῖς ἄῤῥεσιν ἑπόμεναι, τοῦτο δρῶσι, καὶ κόπτουσιν ὑπὸ τὴν γαςέρα τοῖς ςόμασιν·

se faisoit de la maniere que je viens de le décrire, parce qu'en général les Animaux vivipares demeurent plus long-tems accouplés que les Animaux ovipares. Le dauphin & tous les cétacées s'accouplent de même : le mâle se frotte contre la femelle. La durée de cet accouplement n'est ni fort longue ni fort courte. Il y a des sélaques chez lesquels on reconnoît le mâle à deux appendices qui lui pendent auprès de l'orifice par lequel sortent les excrémens, appendices que les femelles n'ont point. Il est aisé de voir ces appendices dans les chiens de mer : tous les ont.

Aucun poisson n'a de testicules, non plus que les autres Animaux qui n'ont point de pieds : mais parmi les poissons, comme parmi les serpens, tous les mâles ont deux conduits qui, vers la saison de l'accouplement, se remplissent de sperme & d'où il sort une liqueur ressemblante à du lait. Ces deux conduits se réunissent en un comme dans les oiseaux, chez lesquels, ainsi que chez tous les autres Animaux ovipares qui ont des pieds, les testicules sont en dedans. Le conduit unique formé de la réunion des deux autres, s'allonge & s'introduit dans les parties génitales de la femelle. Les Animaux vivipares qui marchent sur la surface de la terre, n'ont au dehors qu'un seul orifice qui sert en même tems d'issue à la liqueur séminale & à l'urine : dans l'intérieur il y a deux conduits différens, comme je l'ai dit en traitant des parties des Animaux. Ceux de ces Animaux qui n'ont point de vessie, n'ont encore que le même orifice extérieur pour servir d'issue aux excrémens secs : en dedans il y a deux conduits voisins l'un de l'autre. La conformation est à cet égard la même dans le mâle & dans la femelle, puisque ni l'un ni l'autre n'ont de vessie. La tortue fait une exception : dans cette espece, la femelle n'a qu'un orifice extérieur, quoiqu'elle ait une vessie ; mais il faut se rappeller que la tortue est ovipare.

Il est plus difficile de bien voir la maniere dont s'accouplent les poissons ovipares, & c'est ce qui a fait croire à plusieurs personnes que les femelles des poissons se fécondoient en avalant la liqueur que jette le mâle. Il faut convenir d'un fait dont on est assez souvent témoin. Lorsque le tems de l'accouplement est venu la femelle suit le mâle, elle avale la liqueur qu'il jette, & en lui frappant sous le ventre avec la bouche, elle rend la sortie de cette

οἱ δὲ θᾶττον προΐενται, καὶ μᾶλλον. Κατὰ δὲ τὸν τόκον, οἱ ἄῤῥενες τοῖς θήλεσιν, ἀποτικτουσῶν ἀνακάπτουσι τὰ ᾠά· ἐκ δὲ τῶν παραλειπομένων, γίνονται οἱ ἰχθύες. Περὶ δὲ τὴν Φοινίκην, καὶ θήραν ποιοῦνται δι' ἀλλήλων. Ἄῤῥενας μὲν γὰρ ὑπάγοντας κεστρέας, τὰς θηλείας περιβάλλονται συνάγοντες· θηλείας δὲ, τοὺς ἄῤῥενας. Τοῦτο μὲν οὖν, διὰ τὸ πολλάκις ὁρᾶσθαι, τὴν δόξαν ἐποίησε τῆς ὀχείας ταύτης. Ποιεῖ δὲ τοῦτο καὶ τὰ τετράποδα τῶν ζώων. Περὶ γὰρ τὴν ὥραν τῆς ὀχείας, ἀποῤῥαίνουσι καὶ τὰ ἄῤῥενα καὶ τὰ θήλεα, καὶ τῶν ἄρθρων ὀσμῶνται ἀλλήλων. Οἱ δὲ πέρδικες, ἂν κατὰ ἄνεμον στῶσιν αἱ θήλειαι τῶν ἀῤῥένων, ἔγκυοι γίνονται, πολλάκις δὲ καὶ τῆς φωνῆς, ἐὰν ὀργῶσαι τύχωσι· καὶ ὑπερπετομένων, ἐκ τοῦ καταπνεῦσαι τὸν ἄῤῥενα. Χάσκει δὲ καὶ ἡ θήλεια καὶ ὁ ἄῤῥην, καὶ τὴν γλῶτταν ἔξω ἔχουσι περὶ τὴν τῆς ὀχείας ποίησιν. Η δὲ ἀληθινὴ σύνοδος τῶν ᾠοτόκων ἰχθύων ὀλιγάκις ὁρᾶται διὰ τὸ ταχέως ἀπολύεσθαι παραπεσόντας· ἐπεὶ ὦπται καὶ ἡ ἐπὶ τούτων ὀχεία γινομένη τοῦτον τὸν τρόπον.

6. VI. Τὰ δὲ μαλάκια, οἱ πολύποδες, καὶ σηπίαι, καὶ τευθίδες, τὸν αὐτὸν τρόπον πάντα πλησιάζουσιν ἀλλήλοις· κατὰ στόμα γὰρ συμπλέκονται, τὰς πλεκτάνας πρὸς τὰς πλεκτάνας συναρμόττοντες. Ο μὲν οὖν πολύπους, ὅταν τὴν λεγομένην κεφαλὴν ἐρείσῃ πρὸς τὴν γῆν, καὶ διαπετάσῃ τὰς πλεκτάνας, ἅτερος ἐφαρμόττει ἐπὶ τὸ πέτασμα τῶν πλεκτανῶν, καὶ συνεχεῖς ποιοῦνται τὰς κοτυληδόνας πρὸς ἀλλήλας. Φασὶ δέ τινες καὶ τὸν ἄῤῥενα ἔχειν αἰδοιῶδές τι ἐν μιᾷ τῶν πλεκτανῶν, ἐν ᾗ δύο αἱ μέγισται κοτυληδόνες εἰσίν· εἶναι δὲ τὸ τοιοῦτον ὥσπερ νευρῶδες, μέχρι εἰς μέσην τὴν πλεκτάνην προσπεφυκὸς, ὃ πᾶν ἐμπιφράναι εἰς τὸν μυκτῆρα τῆς θηλείας. Αἱ δὲ σηπίαι καὶ αἱ τευθίδες νέουσιν ἅμα συμπεπλεγμέναι, τὰ στόματα καὶ τὰς πλεκτάνας ἐφαρμόττουσαι, καταντικρὺ ἀλλήλαις νέουσαι ἐναντίως. Εναρμόττουσι δὲ καὶ τὸν καλούμενον μυκτῆρα εἰς τὸν μυκτῆρα. Τὴν δὲ νεῦσιν, ἡ μὲν ἐπὶ

liqueur plus prompte & plus abondante : mais après le frai, les mâles ſuivent les femelles à leur tour & avalent leurs œufs : les poiſſons ne naiſſent que de ce qui échappe. Delà eſt venue, ſur les côtes de Phénicie, l'idée de ſe ſervir réciproquement des mâles & des femelles pour les prendre les uns & les autres. On préſente aux muges femelles des muges mâles ; elles ſe raſſemblent autour d'eux & les pêcheurs les enferment. On fait de même pour les muges mâles avec des muges femelles. Ces obſervations ſouvent répétées ont fait naître ſur la fécondation des poiſſons le ſyſtême que j'ai expoſé : mais on auroit du remarquer qu'il n'y a rien là de particulier aux poiſſons. Les quadrupedes mâles & femelles diſtillent dans la ſaiſon de leurs amours quelque choſe de liquide, ils ſe flairent l'un l'autre les parties génitales. Il y a plus, c'eſt aſſez pour rendre une perdrix féconde qu'elle ſe trouve ſous le vent, plus bas que le mâle : ſouvent même il a ſuffi qu'elle eut entendu le chant du mâle dans un tems où elle étoit diſpoſée à concevoir, ou que le mâle eût paſſé en volant au-deſſus d'elle, & qu'elle eut reſpiré l'odeur qu'il exhaloit. Ces oiſeaux, mâle comme femelle, tiennent le bec ouvert pendant leur accouplement, & la langue hors du bec. Dans l'exacte vérité, les poiſſons ſe ſéparent preſque auſſi-tôt qu'ils ſe ſont approchés, & l'on eſt rarement témoin de leur accouplement; mais j'ai rendu compte à cet égard des faits que l'on a vûs.

Les molluſques, polypes, ſeches, calmars, s'accouplent tous de même maniere ; ils ſe joignent bouche contre bouche, & leurs bras ſont entrelacés les uns dans les autres. L'un des deux polypes de ſexe différent appuye ce qu'on appelle ſa tête contre terre, & étend ſes bras : l'autre ſurvient & diſpoſe ſes bras ſur ceux du premier, de ſorte que les cavités qui les terminent s'appliquent les unes ſur les autres. Quelques-uns diſent que celui des bras du polype mâle qui eſt terminé par les deux plus grandes cavités, porte une ſorte de verge qui eſt comme nerveuſe, attachée juſqu'à la moitié du bras, & qu'il la fait entrer de toute ſa longueur dans la trompe de la femelle. Les ſéches & les calmars nagent ainſi unis enſemble, bouche contre bouche, bras ſur bras. Le mouvement commun ſe fait par rapport à chacun d'eux dans des ſens oppoſés. La trompe de l'un eſt ajuſtée à celle de l'autre, & nageant ainſi accouplés, ſi l'un va en avant l'autre va en arriere. Les femelles 6. VI.

τὸ ὄπισθεν, ἡ δὲ ἐπὶ τὸ στόμα ποιεῖται. Εκτίκτει δὲ κατὰ τὸν φυσητῆρα καλέμενον, καθ' ὃν ἔνιοι καὶ ὀχεύεσθαι φασὶν αὐτάς.

7. VII. Τὰ δὲ μαλακόστρακα ὀχεύεται οἷον κάραβοι, καὶ ἀστακοὶ, καὶ καρίδες, καὶ τὰ τοιαῦτα, ὥσπερ καὶ τὰ ὀπισθουρητικὰ τῶν τετραπόδων ὅταν ὁ μὲν ὑπτίαν, ὁ δ' ἐπὶ ταύτης ποιήσῃ τ' κέρκον. Οχεύεται δ' ἀρχομένου πρὸς τῇ γῇ ἔαρος· ἤδη γὰρ ὦπται ἡ ὀχεία πάντων τῶν τοιούτων· ἐνιαχοῦ δὲ καὶ ὅταν τὰ σῦκα ἄρξηται πεπαίνεσθαι. Τὸν αὐτὸν δ' τρόπον καὶ οἱ ἀστακοὶ καὶ αἱ καρίδες ὀχεύονται. Οἱ δὲ καρκίνοι κατὰ τὰ πρόσθια ἀλλήλων συνδυάζονται, τὰ ἐπικαλύμματα τὰ πτυχώδη πρὸς ἄλληλα συμβάλλοντες. Πρῶτον δὲ ὁ καρκίνος ἀναβαίνει ὁ ἐλάττων, ἐκ τῶν ὄπισθεν· ὅταν δὲ ἀναβῇ ὅτος, ὁ μείζων πλαγίως ἐπιστρέφει. Αλλο μὲν οὖν ὀθὲν ἡ θήλεια τῦ ἄρρενος διαφέρει· τὸ δὲ ἐπικάλυμμα μεῖζον καὶ μᾶλλον ἀφεστηκός ἐστι τῆς θηλείας, καὶ συνηρεφέστερον εἰς ὃ ἐκτίκτοσι, καὶ ᾗ τὸ περίττωμα ἐξέρχεται. Μόριον δὲ ὀθὲν προίεται θάτερον εἰς θάτερον.

8. VIII. Τὰ δ' ἔντομα συνέρχεται μὲν ὄπισθεν, εἶτα ἐπιβαίνει τὸ ἔλαττον ἐπὶ τὸ μεῖζον· τῦτο δ' ἐστὶ τὸ ἄρρεν. Αφίησι δὲ τὸν πόρον τὸ κάτωθεν τὸ θῆλυ εἰς τὸν ἄρρενα τὸν ἐπάνω, ἀλλ' οὐ τὸ ἄρρεν εἰς τὸ θῆλυ, ὥσπερ ἐπὶ τῶν ἄλλων. Καὶ τῦτο τὸ μόριον ἐπὶ μὲν ἐνίων φαίνεται μεῖζον ὂν, ἢ κατὰ τὸν λόγον τῦ ὅλου σώματος, καὶ πάνυ μικρῶν ὄντων· ἐπ' ἐνίων δὲ ἧττον. Τῦτο δέ ἐστι φανερὸν, ἐάν τις διαιρῆται τὰς ὀχευομένας μυίας. Απολύονται δ' ἀπ' ἀλλήλων μόλις· πολὺν γὰρ χρόνον ὁ συνδυασμός ἐστι τῶν τοιότων. Δῆλον δὲ ἐπὶ τῶν ἐν ποσὶν, οἷον μυῶν τε καὶ κανθαρίδων. Πάντα δ' τὸν τρόπον τῦτον ὀχεύεται, αἵ τε μυῖαι, καὶ αἱ κανθαρίδες, καὶ αἱ σφονδύλαι, καὶ τὰ φαλάγγια, καὶ εἴ τι ἄλλο τοιῦτόν ἐστι τῶν ὀχευομένων. Ποιῦνται δὲ τὰ φαλάγγια τόνδε τὸν τρόπον τὴν ὀχείαν ὅσα γε ὑφαίνει ἀράχνια· ὅταν ἡ θήλεια σπάσῃ τῶν ἀποτεταμένων ἀραχνίων, πάλιν ὁ ἄρρην

jettent

jettent leurs œufs par ce canal qu'on appelle leur event, & que quelques-uns prétendent être l'organe par lequel le mâle s'unit à elles pour les féconder.

Les crustacées tels que les langoustes, les écrevisses, les squilles & autres semblables, s'accouplent comme ceux des quadrupedes qui jettent leur urine en arriere. L'un des deux releve sa queue & en présente le dessous : l'autre y applique la sienne. La saison de cet accouplement est quand le printems commence à paroître. On voit dès lors ces différens Animaux s'accoupler : quelques-uns s'accouplent encore lorsque les figues commencent à murir. L'accouplement des écrevisses & des squilles n'a rien de différent, mais les cancres s'unissent par leurs parties antérieures, en ajustant les unes sur les autres les tablettes écailleuses qui les enveloppent. Le plus petit des deux monte le premier sur l'autre par derriere, & alors le plus grand se retourne sur le côté. On n'apperçoit ici d'autre différence entre les deux sexes, si ce n'est que la femelle à l'écaille plus grande, plus détachée du corps & plus velue à la partie où elle dépose ses œufs, & par laquelle elle se décharge de ses excrémens. Leur accouplement n'est accompagné de l'intromission d'aucun membre. 7. VII.

Les insectes s'approchent d'abord par derriere, ensuite le plus petit, c'est le mâle, monte sur le plus grand. La femelle étant sous le mâle allonge un canal qui entre dans le mâle monté sur elle, à la différence de ce qui se passe dans les autres Animaux. C'est la femelle qui fait l'intromission, & non le mâle. Il y a des insectes, & même de très-petits, chez lesquels cet organe de la femelle paroît plus grand qu'il ne devroit être à proportion de leur corps : d'autres chez lesquels il paroît trop petit. On l'apperçoit facilement en séparant des mouches accouplées : elles ne se détachent qu'avec peine, parce que dans ces sortes d'Animaux l'accouplement est long, comme on peut s'en convaincre par l'examen des insectes que nous avons journellement sous les yeux, les mouches & les cantharides. Mouches, cantharides, sphondyles, phalanges, & tout ce qui est de cette même classe parmi les Animaux qui s'accouplent, s'accouple généralement de cette même maniere. Il en est autrement des phalanges qui font des toiles. La femelle tire un des fils tendus, après elle le mâle le tire de son côté, & cette manœuvre 8. VIII.

ἀντισπᾷ· τοῦτο δὲ ποιήσαντα πολλάκις, οὕτω συνέρχεται καὶ συμπλέκεται ἀντίπυγα· διὰ γὰρ τὴν περιφέρειαν τῆς κοιλίας οὗτος ἁρμόττει ὁ συνδυασμὸς αὐτοῖς.

9. Η μὲν οὖν ὀχεία τῶν ζώων τοῦτον γίνεται τὸν τρόπον πάντων. Ὧραι δὲ καὶ ἡλικίαι ἑκάστης τῆς ὀχείας εἰσὶν ὡρισμέναι τῶν ζώων. Βούλεται μὲν οὖν ἡ φύσις τῶν πλείστων περὶ τὸν αὐτὸν χρόνον ποιεῖσθαι τὴν ὁμιλίαν ταύτην, ὅταν ἐκ τοῦ χειμῶνος μεταβάλλῃ πρὸς τὸ θέρος. Αὕτη δέ ἐστιν ἡ τοῦ ἔαρος ὥρα, ἐν ᾗ τὰ πλεῖστα, καὶ πτηνὰ, καὶ πεζὰ, καὶ πλωτὰ, ὁρμᾷ πρὸς τὸν συνδυασμόν. Ποιεῖται δὲ ἔνια τὴν ὀχείαν καὶ τὸν τόκον, καὶ μετοπώρου καὶ χειμῶνος, οἷον τῶν τε ἐνύδρων ἄττα γένη, καὶ τῶν πτηνῶν· ἄνθρωπος δὲ μάλιστα πᾶσαν ὥραν, καὶ τῶν συνανθρωπευομένων ζώων πολλὰ, διὰ τὴν ἀλέαν καὶ εὐτροφίαν, ὅσων αἱ κυήσεις ὀλιγοχρόνιαί εἰσιν, οἷον ὑὸς καὶ κυνὸς, καὶ τῶν πτηνῶν ὅσα πλεονάκις ποιοῦνται τοὺς τόκους. Πολλὰ δὲ καὶ πρὸς τὰς ἐκτροφὰς τῶν τέκνων στοχαζόμενα, ποιοῦνται τὸν συνδυασμὸν ἐν τῇ ἀπαρτιζούσῃ ὥρᾳ. Οργᾷ δὲ πρὸς τὴν ὁμιλίαν καὶ τῶν ἀνθρώπων τὸ μὲν ἄῤῥεν ἐν τῷ χειμῶνι μᾶλλον, τὸ δὲ θῆλυ ἐν τῷ θέρει.

Τὸ δὲ τῶν ὀρνίθων γένος, ὥσπερ εἴρηται, τὸ πλεῖστον περὶ τὸ ἔαρ ποιεῖται καὶ τοῦ θέρους ἀρχομένου τὴν ὀχείαν, καὶ τοὺς τόκους, πλὴν ἁλκυόνος· ἡ δὲ ἁλκυὼν τίκτει περὶ τροπὰς τὰς χειμερινάς. Διὸ καὶ καλοῦνται, ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαὶ, ἁλκυόνειοι ἡμέραι, ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ μετὰ τροπάς· καθάπερ καὶ Σιμωνίδες ἐποίησεν·

Ὡς ὁπόταν χειμέριον κατὰ μῆνα
Πινύσκῃ Ζεὺς ἤματα τεσσαρακαίδεκα,
Λανθάνεμόν τέ μιν ὥραν
Καλέουσιν ἐπιχθόνιοι ἱερὰν
Παιδοτρόφον ποικίλας ἁλκυόνος.

Γίνονται δὲ εὐδιειναὶ, ὅταν συμβῇ νοτίους γίνεσθαι τὰς

ayant été répétée plusieurs fois ils s'approchent & s'unissent par leurs parties postérieures. La rondeur de leur ventre leur rend cette maniere de s'accoupler la plus commode.

On vient de voir comment les Animaux s'accouplent : il faut ajouter que leur accouplement a dans chaque espece un âge & des saisons marquées. Le tems que la nature a indiqué à la plûpart pour se reproduire est celui où l'hiver fait place à l'été ; je veux dire le printems. Dans cette saison, la plûpart des Animaux qui habitent l'air, la terre, & les eaux, sont pressés du besoin de s'unir : cependant quelques especes d'Animaux aîlés & d'Animaux aquatiques s'accouplent & mettent bas en automne & en hyver. L'homme à cet égard est plus indépendant des saisons qu'aucun autre animal. Plusieurs Animaux qui, vivant avec lui, jouissent d'une température d'air plus chaude & d'une nourriture plus abondante, en sont moins dépendans aussi, pourvu que d'ailleurs le tems de leur gestation ne soit pas trop long. Le porc, le chien, & ces volailles dont la ponte se répéte souvent en sont la preuve. Beaucoup d'Animaux semblent songer d'avance aux besoins de leurs petits & s'accouplent précisément dans le tems le plus favorable pour qu'en naissant ils trouvent leur nourriture. Dans l'espece humaine on remarque que l'homme a plus d'ardeur en hyver, la femme en été. 9.

Les oiseaux s'accouplent & pondent la plupart au printems & au commencement de l'été, ainsi que je l'ai déja fait observer. Il faut excepter l'halcyon qui retarde jusqu'au solstice d'hyver. Delà vient que quand les jours sont sereins alors, on dit que ce sont les jours des halcyons. On en compte quatorze, les sept qui précédent le solstice, & les sept qui le suivent : comme le disent ces expressions de Simonide : » Ainsi lorsque Jupiter pendant le regne » des frimats jette dans un mois glacé quatorze jours d'une chaleur douce, » ce calme heureux est nommé par les mortels le nourricier divin de l'halcyon » au plumage varié ».

La température de l'air est sereine au solstice, lorsque le vent du Nord

τροπὰς, τῆς πλειάδος βορείου γενομένης. Λέγεται δὲ ἐν ἑπτὰ μὲν ἡμέραις ποιεῖσθαι τὴν νεοττίαν· ἐν δὲ ταῖς λοιπαῖς ἑπτὰ ἡμέραις, τίκτειν καὶ ἐκτρέφειν τὰ νεόττια. Περὶ μὲν οὖν τοὺς ἐνταῦθα τόπους οὐκ αἰεὶ συμβαίνει γίνεσθαι ἀλκυονίδας ἡμέρας περὶ τροπάς· ἐν δὲ τῷ Σικελικῷ πελάγει, σχεδὸν αἰεί. Τίκτει δὲ ἡ ἀλκυὼν περὶ πέντε ᾠά.

IX. Η δὲ αἴθυια καὶ οἱ λάροι τίκτουσι μὲν ἐν ταῖς περὶ τὴν θάλασσαν πέτραις· τὸ δὲ πλῆθος δύο ἢ τρία· ἀλλ' ὁ μὲν λάρος, τοῦ θέρους· ἡ δὲ αἴθυια, ἀρχομένου τοῦ ἔαρος εὐθὺς ἐκ τροπῶν, καὶ ἐπικαθεύδει, ὥσπερ αἱ ἄλλαι ὄρνιθες· οὐδέτερον δὲ φωλεύει τούτων τῶν ὀρνέων. Πάντων δὲ σπανιώτατον ἰδεῖν ἀλκυόνας ἐστί· σχεδὸν γὰρ περὶ πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις, ὅσον περιπταμένη περὶ τὸ πλοῖον, ἀφανίζεται εὐθύς· διὸ καὶ Στησίχορος τοῦτον τὸν τρόπον ἐμνήσθη περὶ αὐτῆς.

Τίκτει δὲ καὶ ἡ ἀηδὼν τοῦ θέρους ἀρχομένου· τίκτει δὲ καὶ πέντε καὶ ἓξ ᾠά· φωλεύει δὲ ἀπὸ τοῦ μετοπώρου μέχρι τοῦ ἔαρος.

10. Τὰ δὲ ἔντομα, καὶ τοῦ χειμῶνος ὀχεύεται, καὶ γίνεται ὅταν εὐημερίαι γένωνται καὶ νότιαι, ὅσα μὴ φωλεύει αὐτῶν, οἷον μυῖαι, καὶ μύρμηκες.

11. Τίκτει δ' ἅπαξ τοῦ ἐνιαυτοῦ τὰ πολλὰ τῶν ἀγρίων, ὅσα μὴ ἐπικυΐσκεται, οἷον δασύποδες. Ὁμοίως δὲ καὶ τῶν ἰχθύων οἱ πλεῖστοι ἅπαξ, οἷον οἱ χυτοί. Καλοῦνται δὲ οἱ χυτοὶ, οἱ τῷ δικτύῳ περιεχόμενοι, θύννος, πηλαμὶς, κεστρεὺς, χαλκίδες, κολίαι, χρομὶς, ψῆτται, καὶ τὰ τοιαῦτα, πλὴν ὁ λάβραξ· οὗτος δὲ δὶς τούτων μόνος· γίνεται δ' αὐτῷ ὁ τόκος ὁ ὕστερος, ἀσθενέστερος· καὶ ὁ τριχίας δὲ, καὶ τὰ πετραῖα, δίς· τρίγλα μόνη, τρίς. Τεκμαίρονται δὲ ἐκ τοῦ γόνου· τρὶς γὰρ φαίνεται ὁ γόνος περί τινας τόπους. Ὁ δὲ σκορπίος τίκτει δίς· τίκτει δὲ καὶ ὁ σάργος δὶς, ἔαρος καὶ μετοπώρου· ἡ δὲ σάλπη, μετοπώρου ἅπαξ. Η δὲ θυννὶς ἅπαξ τίκτει, ἀλλὰ διὰ τὸ τὰ μὲν πρώιμα,

ayant regné au coucher des Pleïades, c'est le vent du midi qui souffle au solstice. L'halcyon employe, dit-on, les sept premiers jours à faire son nid, & les sept jours suivans à pondre & à élever ses petits. Dans notre Grece nous n'avons pas tous les ans ces beaux jours des halcyons : mais il est bien rare qu'ils manquent dans la mer de Sicile. La ponte de l'halcyon est communément de cinq œufs.

Le plongeon & le goiland déposent leurs œufs dans les trous des rochers IX. le long de la mer : ils n'en ont pas plus de deux ou trois. La ponte du goiland se fait en été, celle du plongeon au commencement du printems, & dès les premiers jours. Cet oiseau couve comme les autres. Ni le plongeon ni le goiland ne se cachent en aucune saison de l'année; pour l'halcyon, c'est la chose la plus rare que de le voir, on ne l'apperçoit gueres que vers le coucher des Pleïades & le solstice d'hiver. Quand il se montre dans nos ports, il ne fait que voler autour d'un vaisseau & disparoît. C'est ainsi que Stésichore en parle.

Le rossignol est du nombre de ceux qui pondent au commencement de l'été. Il fait cinq ou six œufs. Il demeure caché depuis l'automne jusqu'au printems.

Ceux des insectes qui ne se tiennent pas dans leurs retraites l'hiver entier, 10. comme font les mouches & les fourmis, s'accouplent jusques dans cette saison. Leurs œufs éclosent quand il fait de beaux jours avec un vent de midi.

La plupart des Animaux sauvages, non sujets à la superfétation comme 11. l'est le dasypode, ne mettent bas qu'une fois l'année. Il en est de même de la plupart des poissons : de ceux par exemple qu'on appelle poissons de bandes, parce qu'on les enferme par troupes dans les filets, & qui sont le thon, la pelamide, le muge, le *chalcis*, le *colias*, le *chromis*, la plie & autres de ce genre. Le loup est à excepter ; il est le seul de cette classe qui fraie deux fois, mais les petits qui viennent de la seconde fois sont plus foibles. Le *trichias* & les poissons saxatiles fraient aussi deux fois. Le surmulet seul fraie trois fois : du moins on le conjecture sur ce que dans certains lieux on voit de petits surmulets en trois tems différents. Le scorpion de mer fraie deux fois ; le sarge fraie aussi deux fois, au printems & à l'automne. La saupe une seule fois, en automne. Le thon ne produit non plus qu'une fois, mais à cause de l'intervalle qu'il y a entre les premiers & les derniers œufs

τὰ δ' ὄψιμα ποιεῖσθαι, δὶς δοκεῖ τίκτειν. Ἐστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν Ποσειδεῶνα πρὸ τροπῶν· ὁ δὲ ὕστερος, τοῦ ἔαρος. Διαφέρει δὲ ὁ θύννος ὁ ἄῤῥην τοῦ θήλεος, ὅτι ἡ μὲν ἔχει, ὁ δ' οὐκ ἔχει ὑπὸ τῇ γαστρὶ πτερύγιον, ὃ καλοῦσιν ἀφαρέα.

X. Τῶν δὲ σελαχῶν ἡ ῥίνη μόνη τίκτει δίς· τίκτει γὰρ καὶ ἀρχομένου τοῦ φθινοπώρου, καὶ περὶ πλειάδος δύσιν· εὐημερεῖ δὲ ἐν τῷ φθινοπώρῳ μᾶλλον. Ο δὲ εἷς τόκος γίνεται περὶ ἑπτὰ ἢ ὀκτώ. Δοκοῦσι δ' ἔνιοι τῶν γαλεῶν, οἷον οἱ ἀστερίαι, δὶς τοῦ μηνὸς τίκτειν· τοῦτο δὲ συμβαίνει ὅτι οὐχ ἅμα πάντα λαμβάνει τελείωσιν τὰ ὠά. Ενια δὲ τίκτει πᾶσαν ὥραν, οἷον ἡ μύραινα. Τίκτει δὲ αὐτὴ ὠὰ πολλὰ καὶ ἐκ μικροῦ ταχεῖαν τὴν αὔξησιν λαμβάνουσι τὰ γενόμενα, ὥσπερ καὶ τὰ τοῦ ἱππούρου· καὶ γὰρ ταῦτα ἐξ ἐλαχίστου μέγιστα γίνεται τάχιστα· πλὴν ἡ μὲν σμύραινα πᾶσαν ὥραν τίκτει· ὁ δὲ ἵππουρος ἔαρος. Διαφέρει δὲ ὁ σμύρος καὶ ἡ σμύραινα. Η μὲν γὰρ σμύραινα, ποικίλον καὶ ἀσθενέστερον· ὁ δὲ σμύρος ὁμόχρους καὶ ἰσχυρὸς, καὶ τὸ χρῶμα ὅμοιον ἔχει τῇ πίτυι, καὶ ὀδόντας ἔχει καὶ ἔσωθεν καὶ ἔξωθεν. Φασὶ δὲ, ὥσπερ καὶ τὰ ἄλλα, τὸν μὲν ἄῤῥενα, τὸν δὲ θήλειαν εἶναι. Εξέρχεται δὲ ταῦτα εἰς τὴν ξηρὰν, καὶ λαμβάνονται πολλάκις.

Συμβαίνει μὲν οὖν σχεδὸν πᾶσι ταχεῖαν γίνεσθαι τὴν αὔξησιν τοῖς ἰχθύσιν, οὐχ ἥκιστα δὲ κορακίνῳ τῶν μικρῶν. Τίκτει δὲ πρὸς τῇ γῇ, καὶ πρὸς τοῖς βρυώδεσι καὶ δασέσι. Ταχὺ δὲ καὶ ὁ ὀρφὸς ἐκ μικροῦ γίνεται μέγας. Αἱ δὲ πηλαμίδες καὶ οἱ θύννοι τίκτουσιν ἐν τῷ Πόντῳ, ἄλλοθι δὲ οὔ· οἱ δὲ κεστρεῖς, καὶ οἱ χρυσόφρυες, καὶ οἱ λάβρακες, μάλιστα οὗ ἂν ποτε ποταμοὶ ῥέωσιν. Οἱ δὲ ὀρκύνες καὶ σκορπίδες, καὶ ἄλλα πολλὰ γένη, ἐν τῷ πελάγει.

XI. Τίκτουσι δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν τρισὶ μησὶ, Μουνυχιῶνι, Θαργηλιῶνι, Σκιῤῥοφοριῶνι· μετοπώρου δὲ ὀλίγοι, οἷον σάλπη, καὶ σαργῖνος, καὶ ὅσα ἄλλα τοιαῦτα, μικρὸν πρὸ ἰσημερίας

qu'il jette, on croiroit qu'il fraie deux fois. Il commence à jetter en Décembre avant le solstice, & il finit au printems. La femelle du thon est distinguée du mâle par une nageoire qu'elle a sous le ventre ; on appelle cette nageoire *aphareus*. Le mâle ne l'a point.

Entre les sélaques, la lime seule produit deux fois, au commencement de l'automne & vers le coucher des Pleïades : mais les petits qui viennent en automne sont ceux qui réussissent le mieux ; elle en a sept ou huit à chaque portée. Quelques especes de chiens de mer, les étoilés par exemple, paroissent produire deux fois le mois. Cela vient de ce que tous leurs œufs n'acquierent pas leur perfection en même tems. Il est réellement quelques poissons qui produisent dans toutes les saisons de l'année : telle est la murene, elle jette une grande quantité d'œufs, & les murenes qui en naissent prennent leur accroissement très-vite : de même que les hippures qui en fort peu de tems deviennent très-grands de très-petits qu'ils étoient. La différence qu'il y a c'est que la murene fraie, comme je viens de le dire, en toute saison, au lieu que l'hippure ne fraie qu'au printems. On ne doit pas confondre le mure & la murene : celle-ci a le corps tacheté & est plus foible, au lieu que le mure est fort & d'une seule couleur qui ressemble à celle de la resine. Il a d'ailleurs des dents en dedans comme en dehors. On prétend que le mure & la murene sont le male & la femelle d'une même espece, & qu'il en est de même de plusieurs autres poissons qui paroissent différens. Ils viennent l'un & l'autre à terre : il n'est pas rare de les y prendre. X.

Assez généralement les poissons croissent très-vite, & entre les petits poissons cette propriété appartient singulierement au coracin ; il fraie auprès de la terre dans des lieux couverts d'herbes & de plantes. L'*orphus* est encore de ceux qui grandissent promptement. Les pelamides & les thons ne se multiplient que dans la mer du Pont & non ailleurs. Les muges, les dorades & le loup cherchent pour déposer leur frai l'embouchure des fleuves. Les *orcyns*, les *scorpides* & une multitude d'autres le jettent en haute mer.

Les trois mois de Mars, Avril & Mai, sont le tems du frai pour le plus XI.
grand nombre des poissons. Quelques-uns, mais en petit nombre, frayent en automne, la saupe par exemple, le *sargin* & autres de ce genre : ils frayent

τῆς φθινοπωρινῆς, καὶ νάρκη καὶ ῥίνη. Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους, ὥσπερ ἐλέχθη πρότερον. Οἷον χειμῶνος μὲν, λάβραξ, κεστρεὺς, βελόνη· θέρους δὲ, περὶ τὸν Εκατομβαιῶνα, θυννὶς, περὶ τροπάς· τίκτει δὲ θυλακοειδὲς, ἐν ᾧ μικρὰ γίνεται καὶ πολλὰ ᾠά. Καὶ οἱ ῥυάδες τοῦ θέρους τίκτουσιν. Αρχονται δὲ κύειν τῶν κεστρέων, οἱ μὲν χέλωνες, τοῦ Ποσειδεῶνος, καὶ ὁ σαργὸς, καὶ ὁ μύξων καλούμενος, καὶ ὁ κέφαλος· κύουσι δὲ, τριάκοντα ἡμέρας. Ενιοι δὲ τῶν κεστρέων οὐ γίνονται ἐκ συνδυασμοῦ, ἀλλὰ φύονται ἐκ τῆς ἰλύος καὶ τῆς ψάμμου. Ως μὲν οὖν ἐπιτοπολὺ τοῦ ἔαρος τὰ πλεῖστα κυΐσκεται, οὐ μὴν ἀλλὰ, καθὼς εἴρηται, καὶ θέρους ἔνια, καὶ φθινοπώρου, καὶ χειμῶνος· ἀλλ' οὔτε ἅπασιν ὁμοίως τοῦτο συμβαίνει, οὔτε ἁπλῶς, οὔτε καθ' ἕκαστον γένος, ὥσπερ τοῖς πλείστοις τοῦ ἔαρος, οὐδὲ δὴ κύουσι πολλὰ κυήματα ὁμοίως ἐν τοῖς ἄλλοις χρόνοις. Ολως δὲ δεῖ μὴ λεληθέναι, ὅτι ὥσπερ καὶ τῶν φυομένων καὶ τῶν ζώων τῶν τετραπόδων πολλὴν αἱ χῶραι ποιοῦσι διαφορὰν, οὐ μόνον πρὸς τὴν ἄλλην τοῦ σώματος εὐημερίαν, ἀλλὰ καὶ πρὸς τὸ πλεονάκις ὀχεύεσθαι καὶ γεννᾷν· οὕτω καὶ περὶ τοὺς ἰχθῦς πολλὴν ποιοῦσι τὴν διαφορὰν αὐτοῖς οἱ τόποι, οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν, ἀλλὰ καὶ κατὰ τοὺς τόκους καὶ τὰς ὀχείας, τοῦ ἔνθα μὲν πλεονάκις, ἔνθα δὲ ἐλαττονάκις γεννᾷν τὰ αὐτά.

XII. Τίκτει δὲ καὶ τὰ μαλάκια τοῦ ἔαρος, καὶ ἐν τοῖς πρώτοις τίκτει τῶν θαλαττίων· ἡ δὲ σηπία, τίκτει πᾶσαν ὥραν, ἀποτίκτει δὲ ἐν ἡμέραις δεκαπέντε. Οταν δὲ ἐπίτεκῃ τὰ ᾠὰ, ὁ ἄῤῥην παρακολουθῶν καταφυσᾷ τὸν θορὸν, καὶ γίνεται στιφρά· βαδίζουσι δὲ κατὰ ζυγά. Εστι δὲ ὁ ἄῤῥην τῆς θηλείας ποικιλώτερος καὶ μελάντερος τὰ νῶτα. Ο δὲ πολύπους ὀχεύεται τοῦ χειμῶνος, τίκτει δὲ τοῦ ἔαρος, καὶ φωλεύει περὶ δύο μῆνας. Τίκτει δὲ τὸ ᾠὸν καθάπερ βοστρύχιον, ὅμοιον τῷ τῆς λεύκης καρπῷ. Εστι δὲ πολύγονον τὸ ζῶον· ἐκ γὰρ τοῦ ἀποτικτομένου, ἄπειρον γίνεται τὸ πλῆθος.

un peu avant l'équinoxe d'automne, de même que la torpille & la lime. Quelques-uns aussi frayent, comme je l'ai dit, en hyver & en été. Le loup, le muge, l'aiguille, frayent en hyver : le thon fraye en été vers le mois de Juin aux environs du solstice. Ses œufs sont renfermés dans une espece de sac ; ils sont petits mais en grand nombre. L'été est encore le tems du frai des poissons qui vont par bandes. Les premiers muges qui ont des œufs sont les *grosses-levres :* ils en ont dès le mois de Décembre ; puis le sarge, celui qu'on appelle le morveux & le capiton : ils portent trente jours. Il y a d'autres muges qui ne sont point le fruit de l'accouplement & qui naissent du limon & du sable. On peut donc dire en général que le printems est la saison du frai pour les poissons, quoiqu'il y en ait quelques-uns, comme je l'ai déja remarqué, qui frayent en été, en automne, & même en hiver. Mais ceux qui frayent dans ces trois dernieres saisons ne le font ni tous en même tems, ni en une seule fois, ni uniformément pour toutes les especes du même genre, comme le fait au printems la multitude des autres poissons ; & de plus leurs œufs ne sont pas en aussi grand nombre. Au reste il faut savoir que, comme la diversité des climats met beaucoup de différence entre les plantes & les quadrupedes d'une même espece, soit pour la bonne habitude de l'individu, soit pour son plus ou moins de fécondité, de même les poissons ne sont pas seulement plus grands & mieux nourris dans certains lieux que dans d'autres, mais aussi là ils frayent & produisent plus souvent, ici plus rarement.

Les mollusques frayent, comme les poissons, au printems. Ils sont même XII.
des premiers à frayer parmi les Animaux qui habitent la mer. La séche se reproduit en toute saison : elle est quinze jours à jetter ses œufs. Lorsqu'elle les a jettés, le male qui la suit y repand sa liqueur séminale, ce qui les rend fermes. Le male & la femelle vont alors par paire : on reconnoît le male à son dos plus bariolé & plus noir que celui de la femelle. Le polype s'accouple en hyver, il jette ses œufs au printems & demeure caché deux mois. Ses œufs forment comme une touffe : ils ressemblent aux fruits du peuplier blanc. C'est un animal très-fecond : son frai produit une multitude innombrable

Διαφέρει δὲ ὁ ἄῤῥην τῆς θηλείας, τῷ τε τὴν κεφαλὴν ἔχειν προμηκεστέραν, καὶ τὸ καλούμενον ὑπὸ τῶν ἁλιέων αἰδοῖον, ἐν τῇ πλεκτάνῃ, λευκόν. Επωάζει δὲ ὅταν τέκῃ· διὸ καὶ χείριστοι γίνονται· οὐ γὰρ νέμονται κατὰ τοῦτον τὸν χρόνον.

Γίνονται δὲ καὶ αἱ πορφύραι περὶ τὸ ἔαρ, καὶ οἱ κήρυκες λήγοντος τοῦ χειμῶνος, καὶ ὅλως τὰ ὀστρακόδερμα ἔν τε τῷ ἔαρι φαίνεται τὰ καλούμενα ᾠὰ ἔχοντα, καὶ ἐν τῷ μετοπώρῳ, πλὴν τῶν ἐχίνων τῶν ἐδωδίμων. Οὗτοι δὲ μάλιστα μὲν ταύταις ταῖς ὥραις, οὐ μὲν ἀλλὰ καὶ ἀεὶ ἔχουσι, καὶ μάλιστα ταῖς πανσελήνοις, καὶ ταῖς ἀλεειναῖς ἡμέραις, πλὴν τῶν ἐν τῷ εὐρίπῳ τῶν Πυῤῥαίων. Εκεῖνοι δὲ ἀμείνους τοῦ χειμῶνος. Εἰσὶ δὲ μικροὶ μὲν, πλήρεις δὲ τῶν ᾠῶν. Κύοντες δὲ φαίνονται καὶ οἱ κοχλίαι πάντες ὁμοίως τὴν αὐτὴν ὥραν.

12. XIII. Τῶν δὲ ὀρνίθων τὰ μὲν ἄγρια, ὥσπερ εἴρηται, ἅπαξ ὀχεύεται καὶ τίκτει τὰ πλεῖστα. Χελιδὼν δὲ δὶς τίκτει, καὶ κόττυφος. Τὰ μὲν οὖν πρῶτα τοῦ κοττύφου, ὑπὸ χειμῶνος ἀπόλλυται· πρώτιστα γὰρ τίκτει τῶν ὀρνέων πάντων· τὸν δὲ ὕστερον τόκον εἰς τέλος ἐκτρέφει. Οσα δὲ ἥμερα, ἢ ἡμεροῦσθαι δύναται, ταῦτα δὲ πλεονάκις· οἷον αἱ περιστεραὶ, καθ' ἅπαν τὸ θέρος, καὶ τὸ τῶν ἀλεκτορίδων γένος. Οχεύουσι γὰρ οἱ ἄῤῥενες καὶ ὀχεύονται αἱ θήλειαι τῶν ἀλεκτορίδων, καὶ τίκτουσιν αἰεὶ, πλὴν τῶν ἐν τῷ χειμῶνι τροπικῶν ἡμερῶν. Τῶν δὲ περιστεροειδῶν τυγχάνει πλείω ὄντα τὰ γένη. Εστι γὰρ ἕτερον πελειὰς καὶ περιστερά. Ελάττων μὲν οὖν ἡ πελειὰς, τιθασσὸν δὲ γίνεται μᾶλλον ἡ περιστερά. Η δὲ πελειὰς, καὶ μέλαν, καὶ μικρὸν, καὶ ἐρυθρόπουν, καὶ τραχύπουν· διὸ καὶ οὐδεὶς τρέφει. Μέγιστον μὲν οὖν τῶν τοιούτων, ἡ φάττα ἐστί· δεύτερον δὲ, ἡ οἰνάς· αὕτη δὲ μικρῷ μείζων ἐστὶ τῆς περιστερᾶς· ἐλάχιστον δὲ τῶν τοιούτων, ἡ τρυγών. Τίκτουσι δὲ αἱ περιστεραὶ πᾶσαν ὥραν καὶ ἐκτρέφουσιν, ἐὰν τόπον ἔχωσιν ἀλεεινὸν καὶ τὰ ἐπιτήδεια· εἰ δὲ μὴ, τοῦ θέρους μόνον. Τὰ δὲ ἔκγονα βέλτιστα τοῦ ἔαρος, ἢ τοῦ φθινοπώρου· τὰ δὲ τοῦ θέρους, καὶ ἐν ταῖς θερμημερίαις, χείριστα.

de polypes. Le mâle est caractérisé par sa tête plus allongée, & par cette partie que les pêcheurs nomment sa verge, dont la couleur est blanche, & qui est placée a un de ses bras. Le polype couve & il maigrit alors, parce qu'il ne mange point pendant qu'il couve.

Les pourpres viennent vers le printems, les buccins à la fin de l'hiver. En général c'est au printems & dans l'automne qu'on trouve des œufs dans les testacées; il faut excepter ceux des hérissons de mer qui sont bons à manger. Les œufs de ceux-ci sont véritablement en plus grande quantité dans ces deux saisons, mais ils en ont aussi dans les autres tems, sur-tout dans les pleines lunes & lorsqu'il fait chaud. L'hyver est au contraire le tems propre pour manger les hérissons du détroit des Pyrrhéens : c'est alors que ceux-ci sont meilleurs. Ils sont petits, mais pleins d'œufs. C'est l'hyver aussi que les limaçons, de quelque espece qu'ils soient, se trouvent remplis d'œufs.

12. XIII.

La plupart des oiseaux sauvages ne font qu'une seule ponte : je l'ai déja remarqué. L'hirondelle & le merle en font deux, mais la premiere portée du merle périt à cause du froid : car cet oiseau pond avant tous les autres : c'est la seconde couvée qui réussit. Les oiseaux domestiques, ou ceux qui peuvent le devenir, font plusieurs pontes : les pigeons, par exemple, pondent tout l'été, aussi bien que les poules : & même dans ce dernier genre d'oiseaux le mâle couvre sa femelle, & celle-ci le reçoit en tout tems. La poule n'interrompt sa ponte que pendant quelques jours vers le solstice d'hyver. Par rapport au pigeon, il faut en distinguer différentes especes. Le pigeon proprement dit n'est pas le même que le biset. Celui-ci est moins gros, moins facile à apprivoiser, noir & petit. Ses pieds sont rouges & rudes au toucher : aussi personne n'éleve de pigeon de cette espece. Le plus grand de tous les pigeons est le ramier, ensuite le pigeon vineux qui est un peu plus grand que le pigeon proprement dit. Le plus petit de tous est la tourterelle. C'est le pigeon proprement dit qui pond en toute saison, & sa couvée réussit s'il est dans un lieu chaud, où rien ne lui manque : autrement il n'a de petits qu'en été. Les pigeonneaux du printems sont meilleurs que ceux de l'automne : ceux qui viennent l'été & dans les grandes chaleurs sont les moins bons.

13. XIV. Διαφέρουσι δὲ καὶ κατὰ τὴν ἡλικίαν τὰ ζῷα πρὸς τὴν ὀχείαν. Πρῶτον μὲν οὖν οὐχ ἅμα τοῖς πολλοῖς ἄρχεται τό τε σπέρμα ἐκκρίνεσθαι, καὶ γεννᾷν δύνασθαι, ἀλλ' ὕστερον. Τὸ γὰρ τῶν νέων, ἐν πᾶσι τοῖς ζώοις, τὸ μὲν πρῶτον ἄγονον· γονίμων δὲ ὄντων, ἀσθενέστερα καὶ ἐλάττω τὰ ἔκγονα. Τοῦτο δὲ μάλιστα δῆλον ἐπί τε τῶν ἀνθρώπων καὶ τῶν ζωοτόκων τετραπόδων, καὶ ἐπὶ τῶν ὀρνίθων. Τῶν μὲν γὰρ τὰ ἔκγονα ἐλάττω, τῶν δὲ τὰ ᾠά. Αἱ δὲ ἡλικίαι τοῖς ὀχεύουσιν, αὐτοῖς μὲν πρὸς αὑτοὺς τοῖς γένεσι τοῖς πλείστοις σχεδὸν κατὰ τὸν αὐτὸν γίνονται χρόνον, ἐὰν μή τι προτερῇ, ἢ διά τι τερατῶδες πρᾶγμα, ἢ διὰ βλάβην τῆς φύσεως. Τοῖς μὲν οὖν ἀνθρώποις ἐπισημαίνει κατά τε τὴν τῆς φωνῆς μεταβολὴν, καὶ τῶν αἰδοίων, οὐ μόνον μεγέθει ἀλλὰ καὶ εἴδει, καὶ ἐπὶ τῶν μαστῶν ὡσαύτως, μάλιστα δὲ τῇ τριχώσει τῆς ἥβης. Ἄρχεται δὲ φέρειν τὸ σπέρμα περὶ τὰ δὶς ἑπτὰ ἔτη· γεννητικὸς δὲ περὶ τὰ τρὶς ἑπτά. Τοῖς δ' ἄλλοις ζώοις ἥβη μὲν οὐ γίνεται. Τὰ μὲν γὰρ ὅλως οὐκ ἔχει τρίχας, τὰ δὲ οὐκ ἔχει ἐν τοῖς ὑπτίοις, ἢ ἐλάττους τῶν ἐν τοῖς πρανέσιν. Η δὲ φωνὴ μεταβάλλουσα ἐνίοις ἔνδηλός ἐστι· τοῖς δ' ἕτερα τοῦ σώματος μόρια ἐπισημαίνει τήν τε ἀρχὴν τοῦ σπέρμα ἔχειν, καὶ τὸ γόνιμον.

Τὴν δὲ φωνὴν ἔχει τὸ θῆλυ ἐν τοῖς πλείστοις ὀξυτέραν, καὶ τὰ νεώτερα τῶν πρεσβυτέρων· ἐπεὶ καὶ οἱ ἔλαφοι οἱ ἄρρενες τῶν θηλειῶν φθέγγονται βαρύτερον. Φθέγγονται δὲ, οἱ μὲν ἄρρενες ὅταν ἡ ὥρα τῆς ὀχείας ᾖ, αἱ δὲ θήλειαι, ὅταν φοβηθῶσιν· ἔστι δὲ ἡ μὲν τῆς θηλείας φωνὴ βραχεῖα, ἡ δὲ τοῦ ἄρρενος ἔχει μῆκος. Καὶ ἡ τῶν κυνῶν γηρασκόντων γίνεται βαρυτέρα φωνή.

Καὶ τῶν ἵππων δὲ διαφέρουσιν αἱ φωναί. Εὐθὺς μὲν γὰρ γεννώμεναι ἀφιᾶσι φωνὴν λεπτὴν καὶ μικρὰν αἱ θήλειαι· οἱ δ' ἄρρενες μικρὰν μὲν, μείζω μέντοι γε καὶ βαρυτέραν τῆς θηλείας· τοῦ δὲ χρόνου προϊόντος, μείζονα. Διετὴς δὲ ἐπειδὰν γένηται, καὶ τῆς ὀχείας ἄρξηται, φωνὴν ἀφίησι μὲν ὁ ἄρρην μεγάλην καὶ

L'âge met aussi des différences entre les Animaux relativement à la faculté de se reproduire. Dans la plupart, la sécrétion de la liqueur séminale & la puissance d'engendrer ne commencent pas l'une & l'autre en même tems, la puissance d'engendrer est plus tardive. Les premieres émissions du mâle encore jeune ne sont point fécondes, ou, si elles le sont, ses productions sont foibles & chétives. C'est une observation générale dont la verité se remarque principalement à l'égard de l'homme, des quadrupedes vivipares & des oiseaux. L'expérience la rend sensible : à cet âge, les uns produisent des enfans ou des petits plus foibles, les autres des œufs plus petits. Ordinairement & dans la plupart des divers genres, c'est au même âge que tous les individus du même genre deviennent capables de se reproduire, à moins que cette regle ne soit dérangée ou par quelque prodige, ou par un vice particulier de constitution. Dans l'homme la faculté de se reproduire s'annonce par le changement de la voix, par celui qui se fait dans la grandeur & la forme même des parties génitales, ainsi que dans les mamelles, mais sur-tout par le poil qui naît auprès des parties de la génération. L'homme ne commence à avoir du sperme qu'après deux fois sept ans, ou environ : & ce sperme est fécond après un nouvel intervalle de sept années, ou à peu près. L'indice tiré de la production des poils, n'a point lieu à l'égard des autres Animaux, puisque les uns n'ont point de poil du tout, & que les autres ou n'en ont point sous le ventre, ou l'y ont en moindre quantité que sur le dos : mais dans quelques-uns on reconnoît clairement le changement de la voix : dans d'autres, l'inspection des différentes parties de leur corps fait connoître quand il ont du sperme & quand il est fécond. 13. XIV.

Les femelles & les jeunes Animaux ont ordinairement la voix plus aigue que ne l'ont les mâles & les Animaux plus âgés. La voix du cerf est elle-même plus grave que celle de la biche : le cerf se fait entendre dans le tems du rut : la biche, lorsqu'elle a peur. Sa voix est entrecoupée : celle du mâle est allongée. La voix du chien devient plus grave à mesure qu'il vieillit.

On remarque aussi des différences dans la voix des chevaux. La jument naissante a la voix grêle & petite : le cheval l'a petite aussi, quoique plus forte & plus grave. Elle augmente avec l'âge. A deux ans, qui est l'époque où le cheval commence à pouvoir saillir, sa voix est pleine & grave. La jument l'a, au même âge, plus pleine qu'auparavant, mais toujours plus

βαρεῖαν· ἡ δὲ θήλεια, μείζω καὶ λαμπροτέραν ἢ τέως, ἄχρι ἐτῶν εἴκοσιν ὡς ἐπιτοπολύ. Μετὰ μέντοι τὸν χρόνον τοῦτον, ἀσθενεστέραν ἀφιᾶσι καὶ οἱ ἄῤῥενες καὶ αἱ θήλειαι.

Ὡς μὲν δὴ ἐπιτοπολὺ, καθάπερ εἴπομεν, διαφέρει ἡ φωνὴ τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν, ἐν τῷ βαρύτερον φθέγγεσθαι τὰ ἄῤῥενα τῶν θηλειῶν, ὅσων ἐστὶν ἀπότασις τῆς φωνῆς. Οὐ μὴν ἐν πᾶσί γε τοῖς ζώοις· ἀλλ' ἐνίοις τοὐναντίον, οἷον ἐπὶ τῶν βοῶν. Επὶ γὰρ τούτων τὸ θῆλυ τοῦ ἄῤῥενος βαρύτερον φθέγγεται, καὶ οἱ μόσχοι τῶν τελείων. Διὸ καὶ τὰς φωνὰς τὰ ἐκτεμνόμενα μεταβάλλουσιν ἐναντίως· εἰς τὸ θῆλυ γὰρ μεταβάλλουσι τὰ ἐκτεμνόμενα.

Οἱ δὲ χρόνοι τῆς ὀχείας κατὰ τὴν ἡλικίαν ἔχουσιν ὧδε τοῖς ζώοις. Πρόβατον μὲν καὶ αἲξ αὐτοετὲς ὀχεύεται καὶ κύει· μᾶλλον δὲ ἡ αἴξ. Καὶ οἱ ἄῤῥενες δὲ ὀχεύουσιν ὡσαύτως. Τὰ δὲ ἔκγονα τῶν ἀῤῥένων διαφέρει ἐπὶ τούτων καὶ τῶν ἄλλων· οἱ γὰρ ἄῤῥενες βελτίους γίνονται τῷ ὕστερον ἔτει, ἢ ὅταν γηράσκωσιν.

Υς δὲ ὀχεύει μὲν καὶ ὀχεύεται πρῶτον ὀκτάμηνος· τίκτει δὲ θήλεια μὲν ἐνιαυσία· οὕτω γὰρ συμβαίνει ὁ χρόνος τῆς κυήσεως· ὁ δ' ἄῤῥην γεννᾷ μὲν ὀκτάμηνος, φαῦλα μέντοι, πρὶν γενέσθαι ἐνιαύσιος. Οὐ πανταχοῦ δὲ, ὥσπερ εἴρηται, ὁμοίως συμβαίνουσιν αἱ ἡλικίαι. Ενιαχοῦ γὰρ ὕες ὀχεύονται μὲν καὶ ὀχεύουσι τετράμηνοι· ὥστε δὲ γεννᾶν καὶ ἐκτρέφειν, ἑξάμηνοι· ἐνιαχοῦ δὲ οἱ κάπροι δεκάμηνοι ἄρχονται ὀχεύειν, ἀγαθοὶ δὲ μέχρι τριετίας.

Κύων δὲ, ὡς ἐπὶ τὸ πολὺ μὲν, ὀχεύεται ἐνιαυσία, καὶ ὀχεύει ἐνιαύσιος· ἐνίοτε δὲ συμβαίνει ταῦτα καὶ ὀκταμήνοις· μᾶλλον δὲ ταῦτα γίνεται ἐπὶ τῶν θηλειῶν ἢ τῶν ἀῤῥένων. Κύει δὲ ἑξήκοντα καὶ μίαν, ἢ δύο, ἢ τρεῖς ἡμέρας, τὸ μακρόταλον· ἔλαττον δὲ οὐ φέρει τῶν ἑξήκοντα ἡμερῶν· ἀλλ' ἄν τι γένηται, οὐκ ἐκτρέφεται εἰς τέλος. Τεκοῦσα δὲ, πάλιν ὀχεύεται ἕκτῳ μηνὶ, καὶ οὐ πρότερον.

claire que celle du cheval. Elle demeure ordinairement la même dans le cheval & la jument jusqu'à leur vingtieme année, ensuite elle s'affoiblit.

Chez presque tous les Animaux dont la voix a quelque étendue, on retrouve la même différence, & le mâle a généralement la voix plus grave que la femelle. Mais on ne peut pas le dire de tous absolument. Dans quelques-uns c'est tout le contraire. La vache, par exemple, a la voix plus grave que le taureau ; le veau a la voix plus grave qu'il ne l'aura dans un âge plus avancé. Delà vient que le changement qu'éprouvent dans la voix ces Animaux lorsqu'on les coupe, se fait dans un sens tout opposé a ce qui arrive dans le même cas aux individus des autres especes, parce que l'effet de la castration est de rapprocher l'animal de l'état de femelle.

Voici l'âge auquel les différens Animaux peuvent s'accoupler. La brebis, & plus encore la chevre, peuvent souffrir le mâle & concevoir dès leur premiere année. Le mâle est également capable de les saillir dans la même année ; mais il n'en est pas de la fécondité des mâles dans cette espece comme dans les autres. Le tems où ils sont le plus propres à engendrer est leur seconde année : ils valent mieux alors que quand ils vieillissent.

A huit mois le porc commence à saillir : sa femelle peut le recevoir au même âge, de sorte qu'elle met bas à un an, l'intervalle de huit mois à un an étant le terme de sa gestation : mais les petits qui viennent d'un mâle de huit mois sont chétifs ; il faut attendre qu'il ait un an. Au reste on ne doit pas oublier ce que j'ai dit, que les observations sur l'âge auquel les Animaux peuvent s'accoupler ne sont pas également exactes par tout : il y a des pays où les porcs s'accouplent dès quatre mois, à six ils penvent engendrer & élever leurs petits. Dans certains endroits les sangliers commencent à saillir à dix mois : ils sont bons pour produire jusqu'à leur troisieme année.

La chienne peut ordinairement être couverte à un an, & le chien la couvrir aussi à un an : quelquefois ils commencent dès huit mois, mais ce sont les chiennes qui s'accouplent à cet âge plutôt que les chiens. Elles portent soixante-un, soixante-deux, ou soixante-trois jours au plus : jamais moins de soixante jours. Les petits qui viendroient avant ce terme ne s'éleveroient pas. Il faut ensuite six mois d'intervalle pour qu'une chienne se laisse couvrir de nouveau.

Ἵππος δὲ ὀχεύειν ἄρχεται διετὴς, καὶ ὀχεύεσθαι, ὥστε καὶ γεννᾷν· τὰ μέντοι ἔκγονα τὰ κατὰ τούτους τοὺς χρόνους ἐλάττω καὶ ἀσθενικώτερα. Ὡς δ᾽ ἐπὶ πλεῖστον τριετὴς ὀχεύει καὶ ὀχεύεται, καὶ ἐπιδίδωσι δὲ ἀεὶ ἐπὶ τὸ βελτιώτατον τὰ ἔκγονα γεννᾷν μέχρις ἐτῶν εἴκοσιν. Ὀχεύει δὲ ὁ ἵππος ὁ ἄῤῥην μέχρις ἐτῶν τριάκοντα καὶ τριῶν· ἡ δὲ θήλεια ὀχεύεται ἄχρις ἐτῶν τεσσαράκοντα· ὥστε συμβαίνει σχεδὸν διὰ βίου γίνεσθαι τὴν ὀχείαν. Ζῇ γὰρ, ὡς ἐπὶ τὸ πολὺ, ὁ μὲν ἄῤῥην περὶ τριάκοντα πέντε ἔτη· ἡ δὲ θήλεια πλείω τῶν τεσσαράκοντα. Ἤδη δέ τις ἐβίωσεν ἵππος καὶ ἑβδομήκοντα πέντε ἔτη.

Ὄνος δὲ τριακοντάμηνος ὀχεύει καὶ ὀχεύεται· οὐ μέντοι γεννῶσί γε, ὡς ἐπὶ τὸ πολύ· ἀλλ᾽, ἢ τριετὴς, ἢ τριετὴς καὶ ἑξάμηνος· ἤδη δὲ καὶ ἐνιαυσία ἐκύησεν, ὥστε καὶ ἐκτραφῆναι· καὶ βοῦς ἐνιαυσία ἔτεκεν, ὥστε καὶ ἐκτραφῆναι, καὶ τῷ μεγέθει ηὐξήθη ὅσον ἔμελλε.

Αἱ μὲν οὖν ἀρχαὶ τοῖς ζώοις τούτοις τῆς γεννήσεως τοῦτον ἔχουσι τὸν τρόπον. Γεννᾷ δὲ ἄνθρωπος τὸ ἔσχατον μέχρις ἑβδομήκοντα ἐτῶν ὁ ἄῤῥην· γυνὴ δὲ μέχρι πεντήκοντα. Ἀλλὰ τοῦτο μὲν σπάνιον γίνεται· ὀλίγοις γὰρ γεγέννηται ἐν ταύταις ταῖς ἡλικίαις τέκνα· ὡς δ᾽ ἐπὶ τὸ πολὺ τοῖς μὲν πέντε καὶ ἑξήκοντα ὅρος, ταῖς δὲ πέντε καὶ τεσσαράκοντα.

Πρόβατον δὲ τίκτει μέχρι ἐτῶν ὀκτώ· ἐὰν δὲ θεραπεύηται καλῶς, καὶ μέχρις ἕνδεκα· σχεδὸν δὲ διὰ βίου συμβαίνει ὀχεύειν καὶ ὀχεύεσθαι ἀμφοτέροις. Οἱ δὲ τράγοι πίονες ὄντες, ἧττον γόνιμοί εἰσιν· ἀφ᾽ ὧν καὶ τὰς ἀμπέλους, ὅταν μὴ φέρωσι, τραγᾷν καλοῦσιν· ἀλλὰ παρισχναινόμενοι δύνανται ὀχεύοντες γεννᾷν. Ὀχεύουσι δὲ οἱ κριοὶ ταῖς πρεσβυτάταις πρῶτον, τὰς δὲ νέας διώκουσι· τίκτουσι δὲ, ὥσπερ εἴρηται ἐν τοῖς πρότερον, αἱ νέαι ἐλάττω τὰ ἔκγονα τῶν πρεσβυτέρων.

Κάπρος δὲ ἀγαθὸς μὲν ὀχεύειν μέχρι ἐπὶ τριετοῦς. Τῶν δὲ

Les

Les chevaux peuvent s'accoupler, & même les jumens concevoir à deux ans, mais à cet âge leurs poulains sont petits & foibles : plus ordinairement ils ne s'accouplent qu'à trois ans, & ils produisent des poulains toujours plus vigoureux jusqu'à leur vingtiéme année : néanmoins cet âge même passé, le cheval peut encore monter jusqu'à trente trois ans, & la femelle le recevoir jusqu'à quarante. La faculté de s'accoupler a donc dans ces Animaux à peu près la même durée que leur vie, dont le terme est de trente cinq ans pour le cheval, & de plus de quarante pour la jument. On a l'exemple d'un cheval qui a vecu soixante & quinze ans.

Trente mois est l'âge auquel les ânes peuvent s'aceoupler, mais rarement produisent-ils si jeunes. Il faut qu'ils ayent trois ans, ou trois ans & demi au moins. On a vu une ânesse concevoir à un an, & son ânon s'élever. La même chose est arrivée à une vache, & son veau est parvenu à la grandeur ordinaire.

Tel est l'âge auquel les Animaux que je viens de nommer commencent à être capables de propager leur espece ; à l'égard de l'âge auquel cette faculté cesse, soixante & dix ans en est le terme pour l'homme, cinquante ans pour la femme : rarement même se conserve-t-elle aussi long-tems, & peu de personnes ont des enfans à cet âge là. Le plus ordinaire est que l'homme cesse de pouvoir engender à soixante-cinq ans, & la femme de concevoir à quarante-cinq.

Les brebis rapportent jusqu'à leur huitiéme année, & même jusqu'à la onziéme étant bien soignées. Ces Animaux conservent ainsi, dans l'un & l'autre sexe, la faculté de se reproduire presque dans tout le cours de leur vie. Elle devient moindre dans le bouc quand il engraisse, & c'est delà qu'est tirée l'expression dont nous nous servons pour dire qu'une vigne ne porte que des feuilles sans fruit. Si le bouc maigrit, il recouvre la faculté qu'il avoit perdue. Les béliers choisissent de préférence les vieilles brebis : ils ne courent point après les jeunes. J'ai observé ailleurs que les agneaux de celles-ci étoient plus petits que ceux qui viennent d'une mere plus âgée.

Le sanglier est bon pour produire jusqu'à trois ans. Après qu'il a passé

πρεσβυτέρων, χείρω τὰ ἔκγονα. Οὐ γὰρ ἔτι γίνεται αὐτῷ ἐπίδοσις, οὐδὲ ῥώμη. Οχεύειν δὲ εἴωθε χορτασθεὶς καὶ μὴ προβιβάσας ἄλλην· εἰ δὲ μὴ, ὀλιγοχρονιωτέρα ἡ ὀχεία γίνεται, καὶ μικρότερα τὰ ἔκγονα. Τίκτει δὲ ἐλάχιστα μὲν ὗς ὅταν πρωτότοκος ᾖ· δευτερότοκος δὲ οὖσα ἀκμάζει· γηράσκουσα δὲ τίκτει μὲν ὁμοίως, ὀχεύεται δὲ βραδύτερον· ὅταν δὲ πεντεκαιδεκαετεῖς ὦσιν, οὐκετι γεννῶσιν, ἀλλὰ ἀγριαίνονται· ἐὰν δὲ εὐτραφὴς ᾖ, θᾶττον ὁρμᾷ πρὸς τὰς ὀχείας, καὶ νέα καὶ γηράσκουσα· ἔγκυος δὲ οὖσα, ἐὰν πιαίνηται σφόδρα, ἔλαττον ἔχει τὸ γάλα μετὰ τὸν τόκον. Τὰ δ' ἔκγονα, κατὰ μὲν τὴν ἡλικίαν, βέλτιστα ἐν ἀκμῇ· κατὰ δὲ τὰς ὥρας, ὅσα τοῦ χειμῶνος ἀρχομένου γίνεται· χείριστα δὲ τὰ θερινὰ, καὶ γὰρ μικρὰ, καὶ λεπτὰ, καὶ ὑγρά. Ο δὲ ἄῤῥην, ἐὰν μὲν εὐτραφὴς ᾖ, πᾶσαν ὥραν ὀχεύειν δύναται, καὶ μετ' ἡμέραν καὶ νύκτωρ· εἰ δὲ μὴ, μάλιστα τὸ ἕωθεν. Καὶ γηράσκων, ἧττον αἰεὶ, ὥσπερ εἴρηται καὶ πρότερον. Πολλάκις δὲ οἱ ἀδύνατοι διὰ τὴν ἡλικίαν ἢ ἀσθένειαν, οὐ δυνάμενοι ταχέως ὀχεύειν, καταχλινομένης τῆς θηλείας, διὰ τὸ κάμνειν τῇ στάσει, συγκατακλιθέντες πλησιάζουσι· κυίσκεται δὲ μάλιστα ἡ ὗς, ἐπειδὰν θυῶσα καταβάλλῃ τὰ ὦτα· εἰ δὲ μὴ οὐ, ἀλλ' ἀναθυᾷ πάλιν.

Αἱ δὲ κύνες ὀχεύονται οὐ διὰ βίου, ἀλλὰ μέχρι ἀκμῆς τινος· ὡς μὲν ἐπὶ τὸ πολὺ, μέχρι ἐτῶν δώδεκα αἵτ' ὀχεῖαι συμβαίνουσι καὶ αἱ κυήσεις αὐτῶν. Οὐ μὴν ἀλλ' ἤδη τισὶ καὶ ὀκτωκαίδεκα ἔτη γεγονόσι, καὶ εἴκοσι, συνέβη καὶ θελείαις ὀχευθῆναι, καὶ ἄῤῥεσι γεννῆσαι. Αφαιρεῖται δὲ καὶ τὸ γῆρας, ὥστε μὴ γεννᾷν, μηδὲ τίκτειν, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων.

Η δὲ κάμηλος, ἔστι μὲν ὀπισθουρητικὸν, καὶ ὀχεύεται ὥσπερ εἴρηται πρότερον· τῆς δ' ὀχείας ὁ χρόνος, ἐν τῇ Αραβίᾳ κατὰ τὸν Μαιμακτηριῶνα μῆνα. Κύει δὲ δώδεκα μῆνας, τίκτει δὲ ἕν· ἔστι γὰρ μονοτόκον. Αρχεται δὲ τῆς ὀχείας ἡ θήλεια

cet âge, ses petits viennent moins forts, parce que le sanglier cesse lui-même de profiter ; il n'acquiert plus de forces nouvelles. C'est lorsqu'il s'est bien repû que le sanglier a coutume de couvrir sa femelle : il faut qu'il n'en ait point couvert d'autre depuis peu, autrement l'accouplement n'est pas assez long, & ce qui en vient est chétif. La premiere portée de la truie est foible : c'est à sa seconde qu'elle est en plein rapport : elle continue en vieillissant à produire de même ; seulement elle est plus paresseuse à recevoir le mâle. Ces Animaux ne sont plus féconds passé quinze ans, à cet âge ils deviennent furieux. L'abondance de nourriture rend la truie plus ardente, soit dans sa vieillesse, soit dans sa jeunesse, mais trop de graisse acquise pendant qu'elle est pleine fait qu'elle a peu de lait après avoir mis bas. Quant à l'influence que l'âge de la truie peut avoir sur ses petits, les plus forts sont ceux qui viennent lorsque la mere est dans la vigueur de l'âge. Les saisons y mettent aussi des différences. Les meilleurs sont ceux qui naissent au commencement de l'hiver; en été ils ne valent rien, sont petits, foibles & d'une chair molle. Un porc bien nourri couvrira sa femelle en tout tems, la nuit comme le jour : autrement c'est plutôt le matin qu'il la couvre. J'ai dit plus haut que ses facultés à cet égard alloient toujours en diminuant avec l'âge. Lorsque la vieillesse ou la foiblesse empêche ces Animaux de s'accoupler facilement, la femelle qui ne pourroit plus porter le mâle se couche, & ils s'accouplent ainsi l'un & l'autre à terre. Le signe le plus ordinaire que la truie a conçu, c'est lorsque dans l'accouplement elle a baissé les oreilles : si elle ne les baisse pas, elle n'a pas conçu, & elle revient bientôt en chaleur.

La fécondité des chiens n'a pas autant de durée que leur vie : ils cessent ordinairement, soit d'engendrer, soit de concevoir, à leur douzieme année qui est le tems où l'on peut dire qu'ils vieillissent; & quoiqu'on ait vu des chiens engendrer & des chiennes concevoir à dix-huit & vingt ans, la vieillesse les prive de ces facultés aussi-bien que les autres Animaux.

J'ai déja exposé comment se faisoit l'accouplement du chameau, animal du nombre de ceux qui jettent leur urine en arriere. La saison de cet accouplement en Arabie est vers le mois de Septembre : le tems de la gestation est de douze mois, & chaque portée n'est que d'un seul petit : car le chameau est de la classe des Animaux qui n'ont qu'un petit à la fois. La femelle

τριετὴς οὖσα, καὶ ὁ ἄῤῥην τριετὴς ὤν. Μετὰ δὲ τὸν τόκον, ἓν ἔτος διαλιποῦσα, ὀχεύεται ἡ θήλεια.

Ο δὲ ἐλέφας ἄρχεται μὲν βαίνεσθαι, ὁ μὲν νεώτατος δέκα ἐτῶν· ὁ δὲ πρεσβύτατος πεντεκαίδεκα· ὁ δὲ ἄῤῥην βαίνει πέντε ἐτῶν ἢ ἓξ ὤν. Χρόνος δὲ τῆς ὀχείας τὸ ἔαρ. Πάλιν δὲ βαίνει μετὰ τὴν ὀχείαν διὰ τρίτου ἔτους· ὃν δ' ἂν ἐγκύμονα ποιήσῃ, τούτου πάλιν οὐχ ἅπτεται. Κύει δὲ ἔτη δύο, τίκτει δὲ ἕν· ἔστι γὰρ μονοτόκον· τὸ δὲ ἔμβρυον γίνεται ὅσον μόσχος δίμηνος ἢ τρίμηνος.

14. XV. Περὶ μὲν οὖν τῆς ὀχείας τῶν ζώων τῶν ὀχευομένων, τοῦτον ἔχει τὸν τρόπον. Περὶ δὲ τῆς γενέσεως τῶν ὀχευομένων καὶ τῶν ἀνοχεύτων λεκτέον, καὶ πρῶτον περὶ τῶν ὀστρακοδέρμων. Τοῦτο γάρ ἐστιν ἀνόχευτον μόνον, ὡς εἰπεῖν, ὅλον τὸ γένος. Αἱ μὲν οὖν πορφύραι, τοῦ ἔαρος συναθροιζόμεναι εἰς ταυτὸ, ποιοῦσι τὴν καλουμένην μελίκηραν. Τοῦτο δ' ἐστὶν οἷον κηρίον, πλὴν οὐχ οὕτω γλαφυρὸν, ἀλλ' ὥσπερ ἂν εἰ ἐκ λεπυρίων ἐρεβινθίνων λευκῶν πολλὰ συμπλακείεν. Οὐκ ἔχει δὲ ἀνεῳγμένον πόρον οὐδὲν τούτων· οὐδὲ γίνονται ἐκ τούτων αἱ πορφύραι, ἀλλὰ φύονται καὶ αὐτὰ καὶ τὰ ἄλλα ἐκ τῆς σήψεως καὶ ἰλύος ὀστρακόδερμα. Τοῦτο δὲ συμβαίνει ὥσπερ ἀποκάθαρμα, καὶ ταύταις καὶ τοῖς κήρυξι· κηριάζουσι γὰρ καὶ οἱ κήρυκες. Γίνονται μὲν οὖν καὶ τὰ κηριάζοντα τῶν ὀστρακοδέρμων τὸν αὐτὸν τρόπον τοῖς ἄλλοις ὀστρακοδέρμοις· οὐ μὴν ἀλλὰ μᾶλλον, ὅταν προυπάρχῃ τὰ ὁμοιογενῆ. Αφιᾶσι γὰρ ἀρχόμεναι κηριάζειν γλισχρότητα μυξώδη, ἐξ ὧν τὰ λεπυριώδη συνίσταται. Ταῦτα μὲν οὖν ἅπαντα διαχεῖται, ἀφίησι δὲ ὃ εἶχεν εἰς τὴν γῆν, καὶ ἐν τούτῳ γίνεται ἐν τῇ γῇ συστάντα πορφύρια μικρὰ, ἃ ἔχουσαι ἁλίσκονται αἱ πορφύραι, αὐτῶν ἔνια δ' οὔπω διηκριβωμένα τὴν μορφήν. Εὰν δὲ πρὶν ἐκτεκεῖν ἁλῶσιν, ἐνίοτε ἐν ταῖς φορμίσιν οὐχ ὅπου ἔτυχεν ἐκτίκτουσιν, ἀλλ' εἰς ταυτὸ ἰοῦσαι, ὥσπερ ἐν τῇ θαλάττῃ καὶ διὰ τὴν στενοχωρίαν γίνονται οἱονεὶ βότρυς.

peut recevoir le mâle & celui-ci la monter à trois ans. Il y a un an d'intervalle, lorsque la femelle a mis bas, avant qu'elle retourne au mâle.

Dans l'espece de l'éléphant, la femelle est en état d'être couverte pour le plutôt à dix ans, pour le plus tard à quinze : le mâle monte à cinq ou six ans. C'est au printems qu'ils s'accouplent, & leur accouplement ne se réitere qu'au bout de trois ans : dès que la femelle est pleine, l'éléphant ne la touche plus. Elle porte deux ans, & comme ces Animaux sont aussi de la classe de ceux qui n'ont qu'un petit à la fois, elle met bas un seul éléphant qui naît de la grosseur d'un veau de deux ou trois mois.

Tout ce qui vient d'être dit regarde la géneration des Animaux dont l'es- 14.
pece se multiplie par la voie de l'accouplement : passons au détail de la gé- XV.
nération tant de ces mêmes Animaux, que de ceux qui se multiplient sans accouplement. Les testacées se présentent les premiers : c'est, pour ainsi-dire, le seul genre entre tous les individus duquel il n'y ait aucun accouplement. Les pourpres donc se rassemblent au printems dans le même endroit, elles y font ce qu'on appelle leur cire. Cette production ressemble aux gateaux qui contiennent le miel, si ce n'est qu'elle n'est point aussi lisse : il semble que ce soit une multitude d'écosses de pois blancs unies ensemble. On n'y apperçoit jamais d'ouverture, & ce n'est point là ce qui forme les pourpres : elles viennent d'elles-mêmes, ainsi que les autres testacées, d'une bourbe putrefiée. La cire n'est en quelque maniere que l'excrément, tant des pourpres que des buccins, car les buccins font aussi leur cire ; & ceux des testacées qui en font ne se forment pas autrement que ceux qui n'en font point : seulement leur multiplication devient plus facile étant préparée par la réunion de principes homogenes. Lorsque les testacées commencent à faire leur cire, ils distillent une mucosité gluante qui lie ces especes d'écosses dont j'ai parlé. Tous ceux qui se sont rassemblés jettent au fonds de l'eau chacun ce qu'il a de cette liqueur : c'est dans cette masse réunie que naissent les petites pourpres dont la substance vient de la terre & que l'on trouve attachées, quelquefois encore informes, à la coquille des grandes pourpres qu'on pêche. Si on prend les pourpres avant qu'elles ayent jetté, elles le font dans les paniers où elles se trouvent, non par tout indistinctement, mais en se réunissant comme dans la mer. L'espace étroit où elles sont renfermées donne seulement une autre forme à la masse de leur cire, elle ressemble à une grappe de raisin.

Εἰσὶ δὲ τῶν πορφυρῶν γένη πολλά· καὶ ἔνιαι μὲν μεγάλαι, οἷον αἱ περὶ τὸ Σίγειον καὶ Λεκτόν· αἱ δὲ μικραὶ, οἷον ἐν τῷ Εὐρίπῳ, καὶ περὶ τὴν Καρίαν. Καὶ αἱ μὲν ἐν τοῖς κόλποις μεγάλαι καὶ τραχεῖαι, καὶ τὸ ἄνθος αὐτῶν, αἱ μὲν πλεῖσται μέλαν ἔχουσι, ἔνιαι δ' ἐρυθρὸν καὶ μικρόν· γίνονται δ' ἔνιαι τῶν μεγάλων καὶ μναῖαι. Αἱ δ' ἐν τοῖς αἰγιαλοῖς καὶ περὶ τὰς ἀκτὰς, τὸ μὲν μέγεθος γίνονται μικραὶ, τὸ δὲ ἄνθος ἐρυθρὸν ἔχουσιν. Ετι δὲ ἐν μὲν τοῖς πρὸς βορείοις μέλαιναι, ἐν δὲ τοῖς νοτίοις ἐρυθραὶ, ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν. Αλίσκονται δὲ τοῦ ἔαρος, ὅταν κηριάζωσιν· ὑπὸ κύνα δὲ οὐχ ἁλίσκονται, οὐ γὰρ νέμονται, ἀλλὰ κρύπτουσιν ἑαυτὰς, καὶ φωλεύουσι. Τὸ δὲ ἄνθος ἔχουσιν ἀνὰ μέσον τῆς μήκωνος καὶ τοῦ τραχήλου. Τούτων δέ ἐστιν ἡ σύμφυσις πυκνή· τὸ χρῶμα δὲ ἰδεῖν ὥσπερ ὑμὴν λευκὸς, ὃν ἂν ἀφαιρῶσι. Θλιβόμενος δὲ βάπτει καὶ ἀνθίζει τὴν χεῖρα· διατείνει δ' αὐτην οἷα φλέψ. Τοῦτο δὲ δοκεῖ εἶναι τὸ ἄνθος, ἡ δὲ ἄλλη σύμφυσις οἷον στυπτηρίας. Οταν δὲ ἀκηριάζωσιν αἱ πορφύραι, τότε χείριστον ἔχουσι τὸ ἄνθος. Τὰς μὲν οὖν μικρὰς μετὰ τῶν ὀστράκων κόπτουσιν· οὐ γὰρ ῥάδιον ἀφελεῖν· τῶν δὲ μειζόνων περιελόντες τὸ ὄστρακον, ἀφαιροῦσι τὸ ἄνθος, διὸ καὶ χωρίζεται ὁ τράχηλος καὶ ἡ μήκων· μεταξὺ γὰρ τούτων τὸ ἄνθος, ἐπάνω τῆς καλουμένης κοιλίας. Αφαιρεθέντος οὖν, ἀνάγκη διῃρῆσθαι. Σπουδάζουσι δὲ ζώσας κόπτειν, ἐὰν γὰρ πρὶν κόπτειν πρότερον ἀποθάνῃ, συνεξεμεῖ τὸ ἄνθος· διὸ φυλάττουσιν ἐν τοῖς κύρτοις, ἕως ἂν ἀθροισθῶσι καὶ σχολάσωσιν. Οἱ μὲν οὖν ἀρχαῖοι πρὸς τοῖς δελεάσιν οὐ καθίεσαν οὐδὲ προσῆπτον τοὺς κύρτους, ὥστε συμβαίνειν ἀνεσπασμένην ἤδη πολλάκις ἀποπίπτειν· οἱ δὲ νῦν προσάπτουσιν, ὅπως ἐὰν ἀποπέσῃ μὴ ἀπολύηται. Μάλιστα δὲ ἀποπίπτει ἐὰν πλήρης ᾖ· κενῆς δὲ οὔσης, καὶ ἀποσπᾶσθαι χαλεπόν. Ταῦτα μὲν οὖν τὰ συμβαίνοντα ἴδια περὶ τῆς πορφύρας ἐστί.

Les pourpres se divisent en plusieurs especes. Il y en a de grandes comme celles des promontoires de Sigée & de Lecte : de petites comme celles de l'Euripe & des côtes de Carie. Les pourpres qui se pêchent dans les golfes sont grandes & d'une surface inégale. Leur fleur est le plus souvent noire, quelquefois rouge & en petite quantité. Il en est de grandes dont le poids va jusqu'à une mine. Sur les rivages & autour des promontoires, elles sont petites & ont la fleur rouge. Dans les lieux exposés au nord elles sont noires : rouges dans ceux qui sont exposés au midi : du moins pour l'ordinaire. On les pêche au printems lorsqu'elles font leur cire : dans la canicule on n'en prend point, parce qu'elles se cachent alors, ne paroissant pas même pour manger. Leur fleur est entre le cou & le mêcon. Ce qui unit ces deux parties est compact, & ressemble pour l'extérieur à une membrane blanche : c'est là ce qu'on détache, & qui étant écrasé teint & colore la main. Cette partie a la forme d'une veine, & c'est ce qu'elle renferme qui paroît être la fleur ; le surplus de ce qui unit le cou & le mêcon ressemble à de l'alun. La fleur n'est jamais moins bonne que lorsque les pourpres ont cessé de jetter leur cire. On concasse les petites pourpres avec leur coquille, à cause de la difficulté qu'il y auroit de les en séparer, mais pour les grosses on enleve la coquille, afin de prendre leur fleur, ce qui détache le cou du mêcon, car la fleur étant entre les deux, au-dessus de ce qu'on nomme le ventre, il faut bien qu'en l'enlevant ces deux parties se séparent. On fait son possible pour les concasser vivantes, parce que si elles mouroient d'elles-mêmes elles jetteroient leur fleur en expirant. On les laisse dans les nasses où on les prend, jusqu'à ce qu'on en ait une quantité & qu'on puisse les employer. Autrefois l'usage n'étoit point de mettre des nasses au-dessous ni autour de l'appas avec lequel on prenoit les pourpres, de sorte que souvent elles retomboient dans l'eau après en avoir été tirées. Aujourd'hui les pêcheurs joignent une nasse à l'appas ; par ce moyen, si la pourpre tombe, elle n'est point perdue. Elle est sujette à se détacher ainsi de l'appas lorsqu'elle est rassasiée : quand elle est affamée il est difficile même de l'en arracher. Voilà ce qu'on peut remarquer de particulier sur les pourpres.

Τὸν αὐτὸν δὲ τρόπον ἐγγίνονται ταῖς πορφύραις καὶ οἱ κήρυκες, καὶ τὴν αὐτὴν ὥραν. Ἔχουσι δὲ καὶ τὰ ἐπικαλύμματα κατὰ ταὐτὰ ἀμφότερα, καὶ τὰ ἄλλα τὰ στρομβώδη, ἐκ γενετῆς πάντα· νέμονται δὲ ἐξαίροντα τὴν καλουμένην γλῶτταν ὑπὸ τὸ κάλυμμα. Τὸ δὲ μέγεθος τῆς γλώττης ἔχει ἡ πορφύρα μεῖζον δακτύλου, ᾧ νέμεται, καὶ διατρυπᾷ τὰ κογχύλια καὶ τὸ αὐτῆς ὄστρακον. Ἔστι δὲ καὶ ἡ πορφύρα καὶ ὁ κήρυξ ἀμφότερα μακρόβια· ζῇ γὰρ ἡ πορφύρα περὶ ἔτη ἕξ, καὶ καθ' ἕκαστον ἐνιαυτὸν φανερά ἐστιν ἡ αὔξησις τοῖς διαστήμασι, τοῖς ἐν τῷ ὀστράκῳ τῆς ἕλικος.

Κηριάζουσι δὲ καὶ οἱ μύες. Τὰ δὲ λιμνόστρεα καλούμενα, ὅπου ἂν βόρβορος ᾖ, ἐνταῦθα συνίσταται πρῶτον αὐτῶν ἡ ἀρχή. Αἱ δὲ κόγχαι, καὶ χῆμαι, καὶ σωλῆνες, καὶ κτένες, ἐν τοῖς ἀμμώδεσι λαμβάνουσι τὴν σύστασιν. Αἱ δὲ πίνναι ὀρθαὶ φύονται ἐκ τοῦ βυσσοῦ ἐν τοῖς ἀμμώδεσι καὶ βορβορώδεσιν· ἔχουσι δὲ ἐν αὑταῖς πιννοφύλακα, αἱ μὲν καρίδιον, αἱ δὲ καρκίνιον, οὗ στερισκόμεναι διαφθείρονται θᾶττον. Ὅλως δὲ πάντα τὰ ὀστρακώδη γίνεται αὐτόματα ἐν τῇ ἰλύϊ, κατὰ τὴν διαφορὰν τῆς ἰλύος ἕτερα· ἐν μὲν τῇ βορβορώδει τὰ ὄστρεα, ἐν δὲ τῇ ἀμμώδει κόγχαι καὶ τὰ εἰρημένα· περὶ δὲ τὰς σήραγγας τῶν πετριδίων, τήθυα καὶ βάλανοι, καὶ τὰ ἐπιπολάζοντα, οἷον αἱ λεπάδες, καὶ οἱ νηρῖται. Ἅπαντα μὲν οὖν τὰ τοιαῦτα τὴν αὔξησιν ἔχει ταχεῖαν, μάλιστα δὲ αἵ τε πορφύραι καὶ οἱ κτένες· ταῦτα γὰρ ἐν ἐνιαυτῷ γίνεται τέλεια. Ἐμφύονται δὲ ἐν ἐνίοις τῶν ὀστρακοδέρμων καρκίνοι λευκοὶ, τὸ μέγεθος πάμπαν μικροί· πλεῖστοι μὲν ἐν τοῖς μυσὶ τοῖς πυελώδεσιν· ἔπειτα καὶ ἐν ταῖς πίνναις οἱ καλούμενοι πιννοτῆραι. Γίνονται δὲ καὶ ἐν ταῖς κτένεσι καὶ ἐν τοῖς λιμνοστρέοις· αὔξησιν δὲ οὐδεμίαν οὗτοι ἐπίδηλον λαμβάνουσι. Φασὶ δὲ αὐτοὺς οἱ ἁλιεῖς ἅμα συγγίνεσθαι γινομένοις. Ἀφανίζονται δέ τινα χρόνον ἐν τῇ ἄμμῳ οἱ κτένες, ὥσπερ καὶ αἱ πορφύραι.

Les buccins se forment de la même maniere que les pourpres & dans la même saison. Ils ont tous, les uns & les autres, ainsi que le reste des coquillages turbinés, dès l'instant de leur formation, la coquille qui les couvre, & ils se nourrissent en allongeant sous leur coquille ce qu'on appelle leur langue : celle de la pourpre est plus longue que le doigt, elle lui sert à prendre sa nourriture, & elle perce les coquillages, ceux mêmes des autres pourpres. La pourpre & le buccin vivent long-tems, la pourpre vit environ six ans : l'accroissement de chaque année est marqué par le nombre de spires qu'on voit à sa coquille.

Les moules sont du nombre des testacées qui font une cire. Pour les huîtres proprement dites, les principes qui servent à les former se rassemblent dans les lieux où le fonds est vaseux ; les conques, les *chames*, les *solenes* & les petoncles se forment dans les fonds de sable. Les pinnes naissent droites du fond de la mer dans les endroits vaseux comme dans les endroits sablonneux : elles ont dans leur coquille l'animal appellé le gardien de la pinne : c'est où une petite squille ou un petit cancre qu'elles ne peuvent perdre sans périr bientôt elles-mêmes. Tous les testacées en général, se forment d'eux-mêmes de la matiere qui est au fonds de la mer, & ils sont différens selon la différence du fond. Est-il bourbeux ? il produit des huîtres. Est-il sablonneux ? il produit des conques & les autres coquillages que j'ai nommés. Les téthyes, les glands & les coquillages qu'on trouve à fleur d'eau, tels que les *lepas* & les nérites se forment auprès des creux des rochers. Tous ces coquillages croissent promptement : sur-tout les pourpres & les petoncles ; ils ont toute leur perfection dans l'année. Il naît dans quelques testacées des cancres blancs & fort petits : le plus grand nombre se trouve dans les especes de moules dont la coquille est renflée : après vient la pinne, son cancre se nomme le pinnotere. Il s'en trouve aussi dans les petoncles & les huîtres. Ces petits cancres ne prennent aucun accroissement sensible, & les pêcheurs prétendent qu'ils se forment en même tems que l'animal avec lequel ils habitent. Les petoncles disparoissent pendant quelque tems sous le sable, comme les pourpres.

Φύεται μὲν οὖν τὰ ὄστρεα, καθάπερ εἴρηται. Φύεται δ᾽ αὐτῶν τὰ μὲν ἐν τοῖς τενάγεσι, τὰ δ᾽ ἐν τοῖς αἰγιαλοῖς, τὰ δ᾽ ἐν τοῖς πηλώδεσι τόποις· ἔνια δ᾽ ἐν τοῖς σκληροῖς καὶ τραχώδεσι· τὰ δ᾽ ἐν τοῖς ἀμμώδεσι. Καὶ τὰ μὲν μεταβάλλει τοὺς τόπους, τὰ δ᾽ οὔ. Τῶν δὲ μὴ μεταβαλλόντων, αἱ μὲν πίνναι ἐῤῥίζωνται· οἱ δὲ σωλῆνες καὶ αἱ κόγχαι ἀῤῥίζωτοι διαμένουσιν· ὅταν δ᾽ ἀνασπασθῶσιν, οὐκέτι δύνανται ζῆν. Ὁ δ᾽ καλούμενος ἀστὴρ, οὕτω θερμός ἐστι τὴν φύσιν, ὥσθ᾽ ὅ τι ἂν λάβῃ παραχρῆμα ἐξαιρούμενον δίεφθον εἶναι. Φασὶ δὲ καὶ σίνος τι τοῦτο τῷ εὐρίπῳ τῶν Πυῤῥαίων μέγιστον εἶναι· τὴν δὲ μορφὴν ὅμοιόν ἐστι τοῖς γραφομένοις. Γίνονται δὲ καὶ οἱ καλούμενοι πνεύμονες αὐτόματοι. Ὧ δ᾽ οἱ γραφεῖς ὀστρέῳ χρῶνται, πάχει τε πολὺ ὑπερβάλλει, καὶ ἔξωθεν τοῦ ὀστράκου τὸ ἄνθος ἐπιγίνεται· εἰσὶ δ᾽ τὰ τοιαῦτα μάλιστα περὶ τοὺς τόπους τοὺς περὶ Καρίαν. Τὸ δὲ καρκίνιον γίνεται μὲν τὴν ἀρχὴν ἐκ τῆς γῆς καὶ ἰλύος· εἶτα εἰς τὰ κενὰ τῶν ὀστράκων εἰσδύεται. Καὶ αὐξανόμενον μετεισδύνει πάλιν εἰς ἄλλο μεῖζον ὄστρακον, οἷον εἴς τε τὸ τοῦ νηρίτου, καὶ τὸ τοῦ στρόμβου, καὶ τὸ τῶν ἄλλων τῶν τοιούτων· πολλάκις δὲ καὶ εἰς τοὺς κήρυκας τοὺς μικρούς. Ὅταν δ᾽ εἰσδύῃ, συμπεριφέρει τοῦτο, καὶ ἐν τούτῳ τρέφεται πάλιν· καὶ αὐξανόμενον πάλιν, εἰς ἄλλο μετεισδύνει μεῖζον.

15. XVI. Τὸν αὐτὸν δὲ τρόπον γίνονται τοῖς ὀστρακοδέρμοις καὶ τὰ μὴ ἔχοντα ὄστρακα, οἷον αἵ τε κνίδαι καὶ οἱ σπόγγοι, ἐν ταῖς σήραγξι τῶν πετρῶν. Ἔστι δὲ τῶν κνιδῶν δύο γένη· αἱ μὲν οὖν ἐν τοῖς κοίλοις οὐκ ἀπολύονται τῶν πετρῶν, αἱ δ᾽ ἐπὶ τοῖς λείοις καὶ ἐπὶ τοῖς πλαταμώδεσιν ἀπολυόμεναι μεταχωροῦσι. Τῶν δὲ σπόγγων ἐν ταῖς θαλάμαις γίνονται πιννοφύλακες· ἔστι δὲ οἷον ἀράχνιον ἐπὶ τῶν θαλάμων, ἃ διοίγοντες καὶ συνάγοντες θηρεύουσι τὰ ἰχθύδια τὰ μικρά· πρὶν μὲν εἰσελθεῖν διοίγοντες αὐτά, ὅταν δὲ εἰσέλθῃ συνάγοντες. Ἔστι δὲ τῶν σπόγγων τρία

J'ai exposé de quelle maniere les coquillages se forment : il reste à remarquer qu'ils viennent ou dans les bas fonds, ou près des côtes, où dans des fonds de bourbe, ou sur un fond de roche & plein d'inégalités, ou dans des endroits sablonneux. Les uns changent de place, les autres non : &, entre ces derniers, il en est, comme les pinnes, qui sont fixés par des especes de racines. Les *solenes* & les conques restent au même lieu sans ces sortes de racines qui les y assurent : ils ne peuvent vivre si on les détache. Le testacée qu'on nomme l'étoile, & dont la figure ressemble à celle sous laquelle on représente les étoiles, est d'une nature si chaude que tout ce qu'il saisit un instant se trouve comme cuit & consommé lorsqu'il le quitte. Ce testacée destructeur est, dit-on, d'une espece bien plus terrible dans le détroit des Pyrrhéens. Le poumon de mer, c'est le nom d'un autre testacée, vient aussi de lui-même. La coquille dont se servent les Peintres est de beaucoup plus épaisse que les autres, elle a la fleur en dehors : c'est sur les côtes de la Carie qu'on la trouve plus communément. Le petit cancre se forme originairement de la terre & de la vase : il se revêt ensuite d'une coquille vuide. Devenu plus gros il change de coquille & passe dans une plus grande, telle que celle du nérite, de la trompe, ou autre semblable ; souvent il se loge dans les petits buccins. Il porte avec lui sa nouvelle coquille, & il s'y nourrit jusqu'à ce que le volume de son corps augmenté l'oblige à passer une seconde fois dans une coquille plus vaste.

Les orties de mer, les éponges & autres productions semblables qui n'ont point de coquille, se forment dans les trous des pierres, de la même maniere que les testacées. On distingue deux genres d'orties : les unes se logent dans des creux de rochers d'où elles ne se détachent point : les autres habitent sur des surfaces larges & unies. Celles-ci se détachent & changent de place. A l'égard des éponges, il se forme dans leurs cavités de petits cancres semblables au gardien de la pinne. Ils y sont comme l'araignée dans sa retraite, & en ouvrant ou fermant ces cavités à propos ils y prennent les petits poissons ; ils les tiennent ouvertes pour y faire entrer la proie, & ils les ferment aussi-tôt qu'elle est entrée. On distingue trois sortes d'éponges : les 15. XVI.

γένη· ὁ μὲν μανὸς, ὁ δὲ πυκνὸς, τρίτος δὲ ὃν καλοῦσιν Αχίλλειον, λεπτότατος καὶ πυκνότατος καὶ ἰσχυρότατος· ὃν ὑπὸ τὰ κράνη καὶ τὰς κνημίδας ὑποτιθέασι, καὶ ἧττον ἡ πληγὴ ποιεῖ ψόφον· σπανιώτατος δὲ γίνεται ἔτος. Τῶν δὲ πυκνῶν οἱ σκληροὶ σφόδρα καὶ τραχεῖς, τράγοι καλοῦνται. Φύονται δὲ ἢ πρὸς πέτραν πάντες, ἢ πρὸς ταῖς θισί. Τρέφονται δὲ ἐν τῇ ἰλύι. Σημεῖον δὲ, ὅταν γὰρ ληφθῶσι φαίνονται μεστοὶ ἰλύος· ὅπερ σημαίνει καὶ τοῖς ἄλλοις τοῖς φυομένοις ἀπὸ τῆς προσφύσεως εἶναι ἡ τροφή. Ασθενέστεροι δέ εἰσιν οἱ πυκνοὶ τῶν μανῶν, διὰ τὸ τὴν πρόσφυσιν εἶναι κατ᾽ ἔλαττον.

Εχει δὲ καὶ αἴσθησιν ὥς φασι. Σημεῖον δὲ, ἐὰν γὰρ μέλλοντος ἀποσπᾶν αἴσθηται, συνάγεται καὶ χαλεπὸν ἀφελεῖν ἐστι. Ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ὅταν ᾖ πνεῦμα πολὺ καὶ κλύδων, πρὸς τὸ μὴ ἀποπίπτειν. Εἰσὶ δέ τινες οἳ περὶ τούτου ἀμφισβητοῦσιν, ὥσπερ οἱ ἐν Τορώνῃ. Φασὶ γὰρ τρέφειν ἐν ἑαυτῷ ζῶα, ἕλμινθάς τε καὶ ἕτερα τοιαῦτα· ἃ ὅταν ἀποσπασθῇ, τὰ ἰχθύδια τὰ πετραῖα κατεσθίει, καὶ τὰς ῥίζας τὰς ὑπολοίπους, ἐὰν δὲ ἀπορραγῇ, φύεται πάλιν ἐκ τοῦ καταλοίπου, καὶ ἀναπληροῦται.

Μέγιστοι μὲν οὖν οἱ μανοὶ, καὶ πλεῖστοι περὶ τὴν Λυκίαν· μαλακώτατοι δὲ οἱ πυκνοί· οἱ γὰρ Αχίλλειοι στιφρότεροι τούτων εἰσίν. Ολως δὲ οἱ ἐν τοῖς βαθέσι καὶ εὐδιεινοῖς μαλακώτατοί εἰσι, τὸ γὰρ πνεῦμα καὶ ὁ χειμὼν σκληρύνει, καθάπερ καὶ τὰ ἄλλα τὰ φυόμενα, καὶ ἀφαιρεῖται τὴν αὔξησιν· διὸ καὶ οἱ ἐν Ελλησπόντῳ τραχεῖς εἰσι καὶ πυκνοὶ, καὶ ὅλως οἵ τε ἐπέκεινα Μαλέας, καὶ οἱ ἐντὸς, διαφέρουσι μαλακότητι καὶ σκληρότητι. Δεῖ δὲ μηδ᾽ ἀλέαν εἶναι σφόδρα, σήπεται γὰρ, ὥσπερ καὶ τὰ φυόμενα. Διὸ οἱ πρὸς ταῖς ἀκταῖς εἰσι κάλλιστοι, ἂν ὦσιν ἀγχιβαθεῖς· εὖ γὰρ κέκρανται πρὸς ἄμφω, διὰ τὸ βάθος. Απλυτοι δὲ ὄντες καὶ ζῶντες, εἰσὶ μέλανες. Η δὲ πρόσφυσίς ἐστιν οὔτε καθ᾽ ἓν, οὔτε κατὰ πᾶν· μεταξὺ γάρ εἰσι πόροι κενοὶ, περιτέταται

premieres sont d'une substance lâche, les secondes d'un tissu serré ; on appelle les troisiemes, éponges d'Achille. Ces dernieres sont plus fines, plus compactes, plus fortes que les autres : on en met des morceaux sous les casques & sous les bottes pour amortir l'effet des coups : elles sont les plus rares. Entre les éponges dont la sustance est serrée on en distingue qui sont encore plus dures & plus rudes que les autres, & on donne à celles-ci le nom de *bouquins*. Toutes les éponges naissent ou sur les roches ou sur les bords de la mer : la vase est leur aliment. Celles qu'on prend sont pleines de vase ; & ce fait prouve ici, de même que pour les autres corps qui naissent de la terre, que c'est ce à quoi ils sont attachés qui les nourrit. Les éponges dont le tissu est serré sont plus foibles que les autres, parce que leur adhérence à l'objet auquel elles tiennent est moins considérable.

On prétend que les éponges ont du sentiment ; on le conclut de ce que, si elles s'apperçoivent qu'on veut les prendre, elles se retirent en elles-mêmes & il devient difficile de les détacher. Elles font la même chose dans les grandes tempêtes pour éviter d'être emportées par le vent & l'agitation des flots. Il y a cependant des lieux où l'on conteste aux éponges la faculté de sentir : à Torone, par exemple. Ce sont, disent ceux de cette ville, des vers & d'autres Animaux de ce genre qui habitent dans l'éponge ; quand elle est arrachée ils deviennent la proie des petits poissons saxatiles qui dévorent aussi ce qui est resté de ses racines. Si l'éponge n'est que coupée, elle renaît de ce qui reste attaché à la terre, & se remplit de nouveau.

Les plus grosses éponges sont celles dont la substance est lâche : elles se trouvent en quantité sur les côtes de Lycie : les plus douces sont celles dont le tissu est serré : les éponges d'Achille sont les plus compactes. En général, les éponges ont beaucoup de souplesse dans les lieux où l'eau est profonde, & la température douce ; le vent & le froid les durcissent & les empêchent de profiter, de même que les autres corps qui naissent de la terre : delà vient que les éponges de l'Hellespont sont rudes & serrées, & que celles qu'on trouve au-delà du promontoire Malée sont généralement rudes, tandis que celles qu'on trouve en-deçà sont fines. Au reste il ne faut pas non plus que la chaleur soit excessive : elle feroit flétrir l'éponge, comme les plantes. Les meilleures éponges sont donc celles qui se trouvent auprès des rivages dans des lieux où la mer est haute, parce que la profondeur de l'eau les établit alors dans une température modérée. Les éponges sont noires lorsqu'elles vivent encore, & avant d'avoir été lavées. Leur adhérence au rocher n'est ni par un seul point, ni

δὲ ὥσπερ ὑμὴν περὶ τὰ κάτω· κατὰ πλείω δέ ἐστιν ἡ πρόσφυσις. Ανωθεν δ᾽ οἱ μὲν ἄλλοι πόροι συγκεκλεισμένοι· φανεροὶ δέ εἰσι τέσσαρες, ἢ πέντε, διό φασιν ἔνιοι τούτους εἶναι καθ᾽ οὓς δέχεται τὴν τροφήν.

Εστι δ᾽ ἄλλο γένος ὃ καλοῦσιν ἀπλυσίας, διὰ τὸ μὴ δύνασθαι πλύνεσθαι. Τοῦτο δ᾽ τοὺς μὲν μεγάλους πόρους ἔχει, τὸ δὲ ἄλλο πυκνόν ἐστι πᾶν· διατμηθὲν δὲ πυκνότερον καὶ γλισχρότερόν ἐστι τοῦ σπόγγου, καὶ τὸ σύνολον πνευμονῶδες. Ομολογεῖται δ᾽ μάλιστα παρὰ πάντων τοῦτο τὸ γένος αἴσθησιν ἔχειν καὶ πολυχρόνιον εἶναι. Διάδηλοι δέ εἰσιν ἐν τῇ θαλάττῃ πρὸς τοὺς σπόγγους, τῷ τοὺς μὲν σπόγγους εἶναι λευκοὺς, ὑφιζούσης τῆς ἰλύος· τούτους δὲ ἀεὶ μέλανας.

16. XVII. Τὰ μὲν οὖν περὶ τοὺς σπόγγους καὶ τὴν τῶν ὀστρακοδέρμων γένεσιν, τοῦτον ἔχει τὸν τρόπον. Τῶν δὲ μαλακοστράκων οἱ κάραβοι μετὰ τὴν ὀχείαν κύουσι, καὶ ἴσχουσι τὰ ὠὰ περὶ τρεῖς μῆνας, Σκιῤῥοφοριῶνα, καὶ Εκατομβαιῶνα, καὶ Μεταγειτνιῶνα· μετὰ δὲ ταῦτα προεκτίκτουσιν ὑπὸ τὴν κοιλίαν εἰς τὰς πτύχας, καὶ αὐξάνεται αὐτῶν τὰ ὠὰ, ὥσπερ οἱ σκώληκες. Τὸ δ᾽ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν μαλακίων ἐστὶ καὶ τῶν ἰχθύων ὅσοι ᾠοτοκοῦσιν· αὐξάνεται γὰρ πάντων τὸ ᾠόν. Τὸ μὲν οὖν ᾠὸν γίνεται ψαθυρὸν τῶν καράβων, διῃρημένον εἰς ὀκτὼ μοίρας. Καθ᾽ ἕκαστον γὰρ τῶν ἐπικαλυμμάτων τῶν ἐκ τοῦ πλαγίου πεφυκότων ἔστι χονδρῶδές τι, πρὸς ὃ περιφύεται, καὶ τὸ ὅλον γίνεται ὥσπερ βότρυς· σχίζεται γὰρ ἕκαστον εἰς πλείω τῶν χονδρωδῶν. Ταῦτα δὲ διαστέλλοντι μὲν γίνεται φανερά· προσβλέποντι δὲ, συνεστηκός τι φαίνεται· γίνεται δὲ μέγιστα οὐ τὰ πρὸς τῷ πόρῳ, ἀλλὰ τὰ κατὰ μέσον· ἐλάχιστα δὲ τὰ ἔσχατα· τὸ δὲ μέγεθος τῶν μικρῶν ᾠῶν ἐστὶν ἡλίκον κεγχραμίς· οὐκ εὐθὺς δ᾽ ἐστὶν ἐχόμενα τοῦ πόρου, ἀλλὰ κατὰ μέσον. Εκατέρωθεν γὰρ, ἀπὸ τῆς κέρκου καὶ ἀπὸ τοῦ θώρακος, δύο διαστήματα μάλιστα ἀπέχει· οὕτω γὰρ καὶ

par toute leur surface : les canaux dont elles sont percées & qui sont vuides forment des intervalles qui interrompent la continuité de leur attache. Leur partie inférieure est recouverte d'une espece de membrane, & l'éponge est adhérente dans la majeure partie de sa masse. La partie supérieure est percée d'autres canaux fermés : on en voit aisément quatre ou cinq, & c'est ce qui fait dire à quelques personnes que ces canaux sont les ouvertures par lesquelles l'éponge se nourrit.

Il est un dernier genre d'éponges qui ne peuvent pas se nétoyer & que par cette raison l'on nomme *illavables* : les canaux dont elles sont percées sont larges, mais le reste de leur substance est compact. En les ouvrant, on trouve que leur tissu est plus serré & leur substance plus visqueuse que celle des autres éponges ; au total, leur substance ressemble à celle du poumon. C'est de ce genre d'éponge qu'on s'accorde le plus universellement à dire qu'elle est douée de sentiment : on convient aussi qu'elle subsiste plus long-tems que les autres. Il est facile de la distinguer des autres éponges même dans la mer. Celles-ci blanchissent lorsque la vase baisse, au lieu que celle-là demeure toujours noire.

Après avoir traité ce qui regarde les éponges & la formation des testacées, 16. passons aux crustacées. Les langoustes femelles conçoivent par la voie de l'accouplement, & elles portent leurs œufs pendant les trois mois de Mai, Juin & Juillet. Après ce tems elles font une espece de premiere ponte : leurs œufs passent dans des poches plissées qu'elles ont sous le ventre, où ils croissent de même que croissent les vers. Cet accroissement de l'œuf est une chose commune à tous les œufs des mollusques, & aux œufs des poissons qui se reproduisent par cette voie. L'œuf de la langouste est friable, on y distingue huit portions : chacune des enveloppes qui recouvre l'œuf sur le côté a une sorte de cartilage auquel elle est attachée, & chacune de ces parties cartilagineuses se divise en plusieurs branches, de sorte que le total des œufs forme comme une grappe : mais pour bien voir cette organisation il faut séparer les différentes parties de la grappe ; le tout, au premier aspect, ne paroissant qu'une seule masse. Les œufs qui grossissent davantage ne sont pas les plus voisins de l'orifice par lequel ils sont sortis, ce sont ceux du milieu : les plus éloignés du même orifice sont les plus petits, ils sont de la grosseur d'un grain de millet. La masse des œufs réunis ne touche point à l'orifice qui leur sert d'issue, elle est isolée de chaque côté, & soit en descendant vers la queue, soit en remontant vers le thorax, il y a deux intervalles vuides marqués par

τὰ ἐπικαλύμματα πέφυκεν. Αὐτὰ μὲν οὖν τὰ ἐκ τοῦ πλαγίου οὐ δύναται συμπεριλαμβάνειν, τοῦ δ' ἄκρου προσεπιτιθέντος καλύπτει πάντα, καὶ γίνεται αὐτοῖς οἷον πῶμα. Ἔοικε δὲ τὰ ᾠὰ τίκτουσα προάγειν πρὸς τὰ χονδρώδη τῆς κέρκου προσαναπτύσσόμενα, καὶ συμπιέσασα δὲ εὐθὺς καὶ κεκαμμένη ἀποτίκτειν. Τὰ δὲ χονδρώδη κατὰ τοὺς καιροὺς τούτους αὐξάνει, καὶ δεκτικὰ γίνεται τῶν ᾠῶν· πρὸς τὰ χονδρώδη γὰρ ἀποτίκτουσι, καθάπερ αἱ σηπίαι πρὸς τὰ κλήματα καὶ τὸν φορυτόν. Ἀποτίκτει μὲν οὖν τοῦτον τὸν τρόπον. Συμπέψασα δ' ἐνταῦθα μάλιστα ἐν εἴκοσιν ἡμέραις, ἀποβάλλει συνεστηκὸς καὶ ἀθρόον, ὥσπερ φαίνεται καὶ ἐκτός· εἶτ' ἐκ τούτων γίνονται οἱ κάραβοι, ἐν ἡμέραις μάλιστα πεντεκαίδεκα, καὶ λαμβάνονται πολλάκις ἐλάττους ἢ δακτυλιαῖοι. Προεκτίκτει μὲν οὖν πρὸ ἀρκτούρου, μετὰ δὲ ἀρκτοῦρον ἀποβάλλει τὰ ᾠά.

Τῶν δὲ κύφων καρίδων, ἡ κύησίς ἐστι περὶ τέσσαρας μῆνας. γίνονται δὲ οἱ μὲν κάραβοι ἐν τοῖς τραχώδεσι καὶ πετρώδεσιν· οἱ δὲ ἀστακοὶ ἐν τοῖς λείοις· ἐν δὲ τοῖς πηλώδεσιν οὐδέτεροι· διὸ καὶ ἐν Ἑλλησπόντῳ μὲν, καὶ περὶ Θάσον, ἀστακοὶ γίνονται· περὶ δὲ τὸ Σίγειον καὶ τὸν Ἄθω, κάραβοι. Διασημαίνονται δὲ τοὺς τόπους οἱ ἁλιεῖς, τούς τε τραχεῖς καὶ τοὺς πηλώδεις, ταῖς τε ἀκταῖς, καὶ ἄλλοις τοιούτοις σημείοις, ὅταν βούλωνται ἐν τῷ πελάγει ποιεῖσθαι τὴν θήραν. Γίνονται δὲ ἐν μὲν τῷ ἔαρι καὶ τῷ χειμῶνι πρὸς τῇ γῇ μᾶλλον· τοῦ δὲ θέρους ἐν τῷ πελάγει· διώκοντα ὅτε μὲν τὴν ἀλέαν, ὅτε δὲ τὸ ψῦχος. Τοῖς δὲ χρόνοις παραπλησίως καὶ αἱ καλούμεναι ἄρκτοι τίκτουσι τοῖς καράβοις. Διὸ καὶ τοῦ χειμῶνος, καὶ πρὶν ἐκτεκεῖν, τοῦ ἔαρος, ἄρισταί εἰσιν· ὅταν δ' ἐκτέκωσι χείρισται. Ἐκδύνουσι δὲ τὸ κέλυφος τοῦ ἔαρος, ὥσπερ οἱ ὄφεις τὸ καλούμενον γῆρας, καὶ εὐθὺς γινόμενοι καὶ ὕστερον, καὶ οἱ κάραβοι καὶ οἱ καρκίνοι. Εἰσὶ δὲ οἱ κάραβοι μακρόβιοι πάντες.

la diſpoſition même de l'écaille que porte la langouſte. Les parties de cette écaille qui deſcendent ſur le côté ne pourroient pas par elles-mêmes recouvrir entierement les œufs : mais la langouſte en ramenant l'extrémité de ſa queue en fait une ſorte de couvercle qui les renferme tous. Le moyen que la langouſte employe dans cette premiere ponte préliminaire pour pouſſer ſes œufs vers les cartilages où ils doivent reſter en dépôt, c'eſt de replier la partie large de ſa queue pour les comprimer au moment qu'ils paroiſſent, & de pondre, le corps ainſi courbé. Les cartilages, vers le tems où ils doivent recevoir les œufs, s'allongent pour être en état de les retenir : la langouſte les y dépoſe, comme la ſeche dépoſe les ſiens auprès des plantes & autres corps qui ſe rencontrent dans la mer. Les œufs ſortis du corps de la langouſte ſe mûriſſent, pour ainſi dire, ſous la queue, ordinairement dans l'eſpace de vingt jours, puis elle les rejette abſolument, mais tous enſemble, unis & ſerrés; on en trouve ſous cette forme qui ſont détachés du corps de la langouſte. Ils écloſent enſuite, communément dans le terme de quinze jours; il n'eſt pas rare de prendre alors des langouſtes plus petites que le doigt. Le tems où les œufs de la langouſte paſſent ſous ſa queue eſt avant le lever de l'arcture; c'eſt après le coucher de cette étoile qu'ils s'en détachent.

Les ſquilles boſſues portent environ quatre mois. Les langouſtes viennent dans les fonds inégaux & pierreux, les écréviſſes dans les fonds unis : les unes & les autres fuient les fonds bourbeux. C'eſt cette différence de fonds qui fait qu'on trouve des écreviſſes dans l'Helleſpont & auprès de l'Iſle de Thaſe; des langouſtes aux promontoires de Sigée & d'Athos. Les pêcheurs connoiſſent par la nature du rivage, & par d'autres indices, dans quels endroits de la haute mer ils auront un fonds bourbeux, ou un fonds inégal. Les langouſtes & les écreviſſes fréquentent les côtes au printems & en hyver : en été elles gagnent la haute mer. Dans un tems elles cherchent le chaud : dans l'autre le frais. Le cruſtacée qu'on nomme l'ourſe jette ſes œufs à-peu-près dans le même tems que la langouſte : auſſi eſt-il meilleur l'hyver & le printems avant d'avoir pondu, il ne vaut plus rien après. Les langouſtes & les cancres, tant ceux de l'année que les anciens, ſe dépouillent de leur écaille au printems, de même que les ſerpens ſe dépouillent de ce qu'on appelle leur vieilleſſe. Les langouſtes ſont toutes d'une longue vie.

17. XVIII. Τὰ δὲ μαλάκια ἐκ τοῦ συνδυασμοῦ καὶ τῆς ὀχείας ὠὸν ἴσχει λευκόν. Τοῦτο δὲ γίνεται τῷ χρόνῳ, ὥσπερ τὰ τῶν σκληροδέρμων, ψαθυρόν, καὶ ἀποτίκτει ὁ μὲν πολύπους, ἢ εἰς τὰς θαλάμας, ἢ εἰς κεράμιον, ἢ τι ἄλλο κοῖλον, ὅμοιον βοτρυχίοις οἰνάνθης, καὶ λεύκης καρπῷ, καθάπερ εἴρηται πρότερον. Ἐκκρεμάννυνται μὲν περὶ τὴν θαλάμην τὰ ὠά, ὅταν ἐκτέκῃ· τὸ δὲ πλῆθος ἔχει τοσαῦτα ὠά, ὥστε ἐξαιρεθέντων ἐμπίπλαται ἀγγεῖον πολλῷ μεῖζον τῆς κεφαλῆς ἐν ᾗ ἔχει τὰ ὠά. Τὰ μὲν οὖν τῶν πολυπόδων, μεθ' ἡμέρας μάλιστα πεντήκοντα γίνεται ἀπὸ τῶν ἀποῤῥαγέντων πολυπόδια, καὶ ἐξέρπει ὥσπερ τὰ φαλάγγια πολλὰ τὸ πλῆθος· ὧν ἡ μὲν καθ' ἕκαστα φύσις τῶν μελῶν οὔπω διάδηλος, ἡ δὲ ὅλη μορφὴ φανερά. Διὰ δὲ τὴν σμικρότητα καὶ τὴν ἀσθένειαν, φθείρεται τὸ πλῆθος αὐτῶν. Ἤδη δὲ ὦπται καὶ οὕτω πάμπαν μικρά, ὥστ' ἀδιάρθρωτα μὲν εἶναι, ἁπτομένων δὲ κινεῖσθαι.

Αἱ δὲ σηπίαι ἀποτίκτουσι, καὶ γίνεται ὅμοια μύρτοις μεγάλοις καὶ μέλασιν· ἐπαφίησι γὰρ τὸν θολόν· καὶ ἀλλήλων ἐχόμενά ἐστιν, οἷον βότρυς, τὸ πᾶν περιπεπλεγμένα ἑνί τινι, καὶ οὐκ εὐαπόσπαστα ἀλλήλων. Ἀφίησι γὰρ ὁ ἄῤῥην ὑγρότητά τινα μυξώδη οὗ τῇ γλισχρότητι παρέπεται καὶ αὐξάνεται δὲ ταύτῃ τὰ ὠά· καὶ εὐθὺς μὲν ἐστι λευκά, ὅταν δὲ ἀφῇ τὸν θολόν, καὶ μείζω καὶ μέλανα. Ὅταν δὲ σηπίδιον γένηται, ὅλον ἐκ τοῦ λευκοῦ γενόμενον ἔσω, τούτου περιῤῥαγέντος ἐξέρχεται. Γίνεται δὲ τὸ ἔσω πρῶτον, ὅταν ἀποῤῥάνῃ ἡ θήλεια, οἷον ἡ χάλαζα. Ἐκ γὰρ τούτου τὸ σηπίδιον φύεται ἐπὶ κεφαλήν, ὥσπερ οἱ ὄρνιθες, κατὰ τὴν κοιλίαν προσηρτημένοι· ποία δέ τίς ἐστιν ἡ πρόσφυσις ἡ ὀμφαλώδης, οὔπω ὦπται, πλὴν ὅτι αὐξανομένου τοῦ σηπιδίου αἰεὶ ἔλαττον γίνεται τὸ λευκόν· καὶ τέλος, ὥσπερ τὸ ὠχρὸν τοῖς ὄρνισι, τούτοις τὸ λευκὸν ἀφανίζεται. Μέγιστοι δὲ φαίνονται πρῶτον, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις, καὶ ἐν τούτοις οἱ ὀφθαλμοί.

L'accouplement des mollusques est suivi de la production d'un œuf dont 17.
la couleur est blanche. Il devient avec le tems, friable comme celui des crus- XVIII.
tacées. Le polype cherche un lieu commode pour y déposer ses œufs : ce sera, par exemple, l'intérieur d'un coquillage, le fonds d'un vase, ou quelque autre creux. La masse que ces œufs forment ressemble aux touffes de la vigne sauvage, ou comme je l'ai dit ailleurs, aux fruits du peuplier blanc. Elle est suspendue aux parois du lieu où le polype l'a déposée. La quantité des œufs est considérable : ils empliroient un vaisseau beaucoup plus grand que la tête du polype, qui est la partie où ils étoient contenus. Il faut ordinairement cinquante jours pour que les petits polypes rompent l'enveloppe de leurs œufs & en sortent. C'est comme une infinité de petites araignées qui rampent. Leurs membres ne sont pas encore bien marqués, on reconnoît cependant l'ensemble de leur figure. Leur petitesse & leur foiblesse sont cause qu'il en périt un grand nombre. On a vu des polypes si petits qu'ils n'avoient aucune forme distincte, quoiqu'en les touchant on les fit mouvoir.

Les seches pondent aussi & leurs œufs ressemblent à des baies de myrthe grosses & noires, car la seche les arrose de son encre. Ils tiennent les uns aux autres en forme de grappe, étant tous unis par une certaine substance qui ne permet de les séparer que difficilement. C'est une liqueur muqueuse que le mâle fait couler dessus, qui, par sa viscosité, les colle, & qui en même tems les fait croître. Leur premiere couleur est blanche, mais, après que la seche les a arrosés de son encre, ils grossissent & deviennent noirs. Le blanc entier de l'œuf sert à la formation de la petite seche ; sa formation étant achevée en dedans de l'œuf, elle rompt ses enveloppes & sort. L'intérieur de l'œuf est d'abord, au moment où la seche le dépose, comme un grain de grêle : la petite seche sort de l'œuf la tête la premiere, ainsi que les oiseaux ; elle y est attachée, de même qu'eux, par le ventre : mais on ne connoît pas encore la nature de cette adhésion ombilicale ; on sait seulement qu'à mesure que la petite seche croît, le blanc diminue, & qu'il disparoît

οἷον ἐφ' ᾧ τὸ Α, τὸ ᾠόν· οἱ ὀφθαλμοὶ, ἐφ' ᾧ τὸ Β Γ· τὸ σηπίδιον αὐτὸ ἐφ' ᾧ τὸ Δ. Κύει δὲ τοῦ ἔαρος· ἀποτίκτει δ' ἐν ἡμέραις πεντεκαίδεκα· ὅταν δὲ ἀποτέκῃ τὰ ᾠὰ, γίνεται ἐν ἄλλαις πεντεκαίδεκα ἡμέραις οἷον ῥάγες βότρυος ἐλάσσους· ὧν περιρραγέντων, ἐκδύεται ἔσωθεν τὰ σηπίδια. Ἐὰν δέ τις περιχίσῃ πρότερον ἤδη τετελειωμένων, προΐενται κόπρον τὰ σηπίδια, καὶ τὸ χρῶμα μεταβάλλει ἐρυθρότερον γινόμενον ἐκ λευκοῦ, διὰ τὸν φόβον.

Τὰ μὲν οὖν μαλακόστρακα αὐτὰ ὑφ' αὑτὰ θέμενα τὰ ᾠὰ, ἐπῳάζει· ὁ δὲ πολύπους καὶ ἡ σηπία, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, ἐκτεκόντα, οὗ ἂν τὰ κυήματα αὐτῶν ᾖ. Μάλιστα δὲ ἡ σηπία· πολλάκις γὰρ ὑπερφαίνεται πρὸς τῇ γῇ τὸ κύτος αὐτῆς. Ὁ δὲ πολύπους ὁ θῆλυς, ὁτὲ μὲν ἐπὶ τοῖς ᾠοῖς, ὁτὲ δ' ἐπὶ τῷ στόματι προσκάθηται τῆς θαλάμης, τὴν πλεκτάνην ἐπέχων· ἡ δὲ σηπία πρὸς τὴν γῆν ἐκτίκτει, περὶ τὰ φυκία καὶ τὰ καλαμώδη, κἄν τι ᾖ τοιοῦτον ἐκβεβλημένον, οἷον ὕλη, κλήματα, ἢ λίθοι. Καὶ οἱ ἁλιεῖς δὲ κληματίδας τιθέασιν ἐπίτηδες· καὶ πρὸς ταῦτα ἐκτίκτει μακρὸν καὶ συνεχὲς ἐκ τῶν ᾠῶν, οἷον τὸ τῶν βοστρύχων. Ἀποτίκτει δὲ καὶ ἀποῤῥαίνει ἐξ ἀναγωγῆς, ὡς μετὰ πόνου γινομένης τῆς προέσεως. Αἱ δὲ τευθίδες, ἐν πελάγει ἀποτίκτουσι· τὸ δὲ ᾠὸν, ὥσπερ ἡ σηπία, ἀποτίκτει συνεχές.

Ἔστι δὲ καὶ ὁ τευθὸς καὶ ἡ σηπία βραχύβιον, οὐ γὰρ διετίζουσιν, εἰ μή τινες ὀλίγαι αὐτῶν· ὁμοίως δὲ καὶ οἱ πολύποδες. Γίνεται δὲ ἐξ ἑνὸς ᾠοῦ ἓν σηπίδιον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν τευθίδων ἔχει. Διαφέρει δὲ ὁ ἄῤῥην τευθὸς τῆς θηλείας· ἔχει γὰρ ἡ θήλεια, ἐάν τις διαστείλας θεωρῇ τὴν κοιλίαν εἴσω, ἐρυθρὰ δύο οἷον μαστούς· ὁ δὲ ἄῤῥην οὐκ ἔχει. Ἡ δὲ σηπία, τοῦτό τ' ἔχει διάφορον, καὶ ὅτι ποικιλώτερός ἐστιν ὁ ἄῤῥην τῆς θηλείας, καθάπερ εἴρηται πρότερον.

à la fin, de même que le jaune disparoît dans les œufs des oiseaux. Ici, comme chez les autres Animaux, les yeux paroissent d'abord très-grands. Soit l'œuf représenté par A : B & C seront les yeux, la petite seche D. Les seches sont pleines au printems : elles pondent au bout de quinze jours; après quinze autres jours leurs œufs sont comme de petits grains de raisin : l'animal qu'ils renferment déchire son enveloppe & se montre. Si on ouvre l'œuf avant que la petite seche soit absolument formée, elle laisse couler des excrémens, & la peur la fait devenir rouge de blanche qu'elle étoit.

Les crustacées couvent leurs œufs attachés sous eux-mêmes : le polype, la seche & les autres du même genre, ne couvent qu'après s'être totalement débarrassés de leurs œufs : ils les couvent sur le lieu où ils les ont déposés. Cela est sensible sur-tout par rapport à la seche; on la voit souvent le corps posé contre terre, sur ses œufs. La femelle du polype quelquefois se met sur ses œufs : quelquefois elle se place à l'entrée du trou dans lequel elle les a jettés, & ramene ses bras pour le mieux couvrir. La seche jette ses œufs près de terre parmi l'algue, les roseaux, de petits branchages ou autres corps pareils qui s'y rencontrent, des morceaux de bois, des baguettes, des pierres. Les pêcheurs y jettent même exprès des baguettes où les seches déposent cette longue suite d'œufs qui se tiennent & qui ressemblent à une boucle de cheveux. La femelle ne jette ses œufs & ne fait couler la liqueur dont elle les arrose qu'à plusieurs reprises, comme si cette opération lui étoit douloureuse. Les calmars pondent en haute mer, leurs œufs sont liés, ainsi que ceux de la seche.

Les calmars & les seches vivent peu : ils parviennent rarement à leur seconde année. De même les polypes. Chaque œuf de seche produit une petite seche, & chaque œuf de calmar un petit calmar. Le mâle se distingue de la femelle dans les calmars, à ce qu'en ouvrant la femelle on lui trouve dans le ventre deux corps rouges, ressemblans à des mammellons, que le mâle n'a point. La même différence a lieu dans les seches : & de plus la seche mâle, comme je l'ai déja dit ailleurs, est plus bariolée que la femelle.

18. XIX. Τὰ δ' ἔντομα τῶν ζώων, ὅτι μὲν ἐλάττω ἐστὶ τὰ ἄρρενα τῶν θηλειῶν, καὶ ἐπιβαίνει ἄνωθεν, καὶ πῶς ποιεῖται τὴν ὀχείαν, καὶ ὅτι διαλύεται μόλις, εἴρηται πρότερον· ὅταν δὲ ὀχευθῇ ταχέως προΐεται πλεῖστα τὸν τόκον ὅσα ὀχεύεται. Τίκτει δὲ πάντα σκώληκα, πλὴν γένος τι ψυχῶν· αὗται δὲ σκληρὸν ὅμοιον κνίκου σπέρματι, ἔσω δ' ἔγχυμα. Ἐκ δὲ τῶν σκωλήκων οὐκ ἐκ μέρους τινὸς γίνεται ζῶον, ὥσπερ ἐκ τῶν ᾠῶν· ἀλλ' ὅλον αὐξάνεται, καὶ διαρθρούμενον γίνεται ζῶον. Γίνεται δὲ αὐτῶν, τὰ μὲν ἐκ ζώων τῶν συγγενῶν· οἷον φαλάγγια καὶ ἀράχνια, ἐκ φαλαγγίων καὶ ἀραχνίων, καὶ ἀττέλαβοι, καὶ ἀκρίδες, καὶ τέττιγες· τὰ δὲ οὐκ ἐκ ζώων, ἀλλ' αὐτόματα· τὰ μὲν ἐκ τῆς δρόσου τῆς ἐπὶ τοῖς φύλλοις ἐπιπιπτούσης, κατὰ φύσιν μὲν τῷ ἔαρι, πολλάκις δὲ καὶ τοῦ χειμῶνος, ὅταν εὐδία καὶ νοτία γένηται πλείω χρόνον· τὰ δ' ἐν βορβόρῳ καὶ κόπρῳ σηπομένοις· τὰ δ' ἐν ξύλοις, τὰ μὲν φυτῶν, τὰ δ' ἐν αὔοις ἤδη· τὰ δ' ἐν θριξὶ ζώων· τὰ δ' ἐν σαρκὶ τῶν ζώων· τὰ δ' ἐν τοῖς περιττώμασι· καὶ τούτων, τὰ μὲν ἐκκεχωρισμένων, τὰ δ' ἔτι ὄντων ἐν τοῖς ζώοις, οἷον αἱ καλούμεναι ἕλμινθες. Ἐστι δὲ αὐτῶν γένη τρία· αἵ τε ὀνομαζόμεναι πλατεῖαι, καὶ αἱ στρογγύλαι, καὶ τρίται αἱ ἀσκαρίδες. Ἐκ μὲν οὖν τούτων ἕτερον οὐθὲν γίνεται, ἡ δὲ πλατεία προσπέφυκέ τε μόνη τῷ ἐντέρῳ, καὶ ἀποτίκτει οἷον σικύου σπέρμα· ᾧ γινώσκουσι σημείῳ οἱ ἰατροὶ τοὺς ἔχοντας αὐτήν.

Γίνονται δὲ αἱ μὲν καλούμεναι ψυχαὶ ἐκ τῶν καμπῶν· αἱ δὲ γίνονται ἐκ τῶν φύλλων τῶν χλωρῶν, καὶ μάλιστα ἐπὶ τῆς ῥαφάνου ἣν καλοῦσί τινες κράμβην· πρῶτον μὲν ἔλαττον κέγχρου· εἶτα μικροὶ σκώληκες, καὶ αὐξανόμενοι ἔπειτα ἐν τρισὶν ἡμέραις κάμπαι μικραί· μετὰ δὲ ταῦτα αὐξηθεῖσαι ἀκινητίζουσι, καὶ μεταβάλλουσι τὴν μορφὴν, καὶ καλοῦνται χρυσαλλίδες, καὶ σκληρὸν ἔχουσι τὸ κέλυφος· ἁπτομένου δὲ κινοῦνται. Περιέχονται δὲ πόροις ἀραχνιώδεσιν, οὔτε δὲ στόμα ἔχουσιν, οὔτε ἄλλο τῶν

Chez les insectes le mâle est plus petit que la femelle ; lors de l'accouplement il monte sur elle : ce sont des observations rapportées plus haut, avec ce qui regarde la maniere dont ces Animaux s'accouplent & la peine qu'on a pour les séparer. Ils produisent peu de tems après l'accouplement. Tous se reproduisent par le moyen d'un ver : excepté un papillon qui produit un corps dur, semblable à un grain de cartame dont le dedans est liquide. Il n'en est pas du ver comme de l'œuf, & ce n'est pas seulement une portion de son tout qui sert à la formation de l'animal : le ver entier s'accroît, il acquiert des membres, & devient un animal. Il y a des insectes qui naissent d'Animaux de leur même espece : ainsi les phalanges & les araignées sont produits par d'autres phalanges & d'autres araignées ; je dis la même chose des attelabes, des criquets & des cigales. Il en est d'autres qui ne sont point produits par des Animaux, mais qui naissent d'eux-mêmes. Les uns viennent de la rosée qui tombe sur les feuilles : ils paroissent naturellement au printems : souvent aussi en hyver, lorsque le vent du midi regne pendant un certain tems & qu'il fait des jours sereins. D'autres viennent dans la boue & dans le fumier qui se corrompent : il s'en produit dans le bois, ou sur pied, ou déja sec ; dans les poils des Animaux, dans leurs chairs, dans leurs excrémens, soit après que l'animal s'en est déchargé, soit tandis qu'ils sont encore dans ses intestins. De ce dernier genre sont ce qu'on nomme les vers, dont il y a trois sortes : ceux qu'on appelle plats, les ronds, & les ascarides. Ces dernieres especes ne produisent rien ; mais les vers plats qui s'attachent aux intestins où ils sont solitaires, produisent comme une graine de concombre. Cet indice sert aux médecins à connoître quand on en est attaqué. 18. XIX.

Les papillons viennent de chenilles, & les chenilles de feuilles vertes ; principalement de cette espece de raifort auquel quelques-uns donnent le nom de chou. D'abord c'est moins qu'un grain de millet, ensuite un petit ver qui grossit, & qui au bout de trois jours est une petite chenille. Quand ces chenilles ont pris leur croissance, elles perdent le mouvement & changent de forme. On les appelle alors chrysalides : elles sont enveloppées d'un étui ferme, cependant si on les touche elles remuent. Les chrysalides sont enfermées dans des cavités faites d'une matiere qui ressemble aux fils d'araignées ; elles n'ont point de bouche, ni aucune autre partie distincte. Peu de tems

μορίων διάδηλον ȣθέν. Χρόνȣ δὲ ȣ̓ πολλȣ̃ διελθόντος, περιῤῥήγνυται τὸ κέλυφος, καὶ ἐκπέτονται ἐξ αὐτῶν πτερωτὰ ζῶα, ἃς καλȣ̃μεν ψυχάς. Τὸ μὲν ȣ̃ν πρῶτον, ὅταν ὦσι κάμπαι, τρέφονται καὶ περίττωμα ἀφιᾶσιν· ὅταν δὲ γένωνται χρυσαλλίδες, οὐδὲν οὔτε γεύονται, οὔτε προίενται περίττωμα. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ ἄλλα ὅσα γίνεται ἐκ σκωλήκων, καὶ ὅσοι ἐκ συνδυασμȣ̃ γίνονται ζώων σκώληκες, καὶ ὅσοι ἄνευ ὀχείας. Καὶ γὰρ οἱ τῶν μελιττῶν καὶ ἀνθρηνῶν καὶ σφηκῶν, ὅταν μὲν νέοι σκώληκες ὦσι, τρέφονταί τε καὶ κόπρον ἔχονθες φαίνονται· ὅταν δ' ἐκ τῶν σκωλήκων εἰς τὴν διατύπωσιν ἔλθωσι, καλȣ̃νται μὲν νύμφαι τότε, ȣ̓ λαμβάνουσι δὲ τροφὴν, ȣ̓δὲ κόπρον ἔχουσιν· ἀλλὰ περιειργμέναι ἀκινητίζουσι μέχρις ἂν αὐξηθῶσι· τότε δὲ ἐξέρχονται διακόψασαι ᾧ καταλέλειπται ὁ κύτταρος.

Γίνονται δὲ καὶ τὰ πηνία καὶ τὰ ὕπερα ἔκ τινων καμπῶν τοιȣ́των, αἳ κυμαίνȣσι τῇ πορείᾳ καὶ προσβᾶσαι τῷ ἑτέρῳ κάμψασαι ἐπιβαίνȣσιν· ἕκαστον δὲ τῶν γενῶν τὸ οἰκεῖον χρῶμα λαμβάνει ἀπὸ τῆς κάμπης.

Εκ δέ τινος σκώληκος μεγάλου, ὃς ἔχει οἷον κέρατα, καὶ διαφέρει τῶν ἄλλων, γίνεται δὲ πρῶτον μὲν, μεταβαλόντος τȣ̃ σκώληκος, κάμπη, ἔπειτα βομβύλιος, ἐκ δὲ τȣ́τȣ, νεκύδαλος· ἐν ἓξ δὲ μησὶ μεταβάλλει ταύτας τὰς μορφὰς πάσας. Εκ δὲ τȣ́τȣ τȣ̃ ζώȣ καὶ τὰ βομβύκια ἀναλύȣσι τῶν γυναικῶν τινες ἀναπηνιζόμεναι, κἄπειτα ὑφαίνȣσι. Πρώτη δὲ λέγεται ὑφᾶναι ἐν Κῷ, Παμφίλη Λατῷȣ θυγάτηρ.

Εκ δὲ τῶν σκωλήκων τῶν ἐν τοῖς ξύλοις τοῖς αὔοις οἱ κάραβοι γίνονται τὸν αὐτὸν τρόπον. Πρῶτον μὲν ὑμήν τις ἀκινητισάντων τῶν σκωλήκων· εἶτα, περιῤῥαγέντος τȣ̃ κελύφους, ἐξέρχονται οἱ κάραβοι. Εκ δὲ τῶν σίμβλων γίνονται αἱ πρασοκȣρίδες, ἔχουσι δὲ πτερὰ καὶ αὐταί. Εκ δὲ τῶν ἐν τοῖς ποταμοῖς πλατέων ζωδαρίων τῶν ἐπιθεόντων, οἱ οἶστροι· διὸ καὶ οἱ πλεῖστοι περὶ

après l'étui se rompt & il en sort un de ces Animaux volans que nous nommons papillons. Dans leur premier état, celui de chenille, ils mangent & rendent des excrémens, devenus chrysalides ils ne prennent ni ne rendent rien. Il en est de même de tous les autres Animaux qui viennent de vers : soit que ces vers proviennent, ou non, d'un accouplement qui ait précédé. Les abeilles, les frelons, les guêpes, mangent dans leur état de ver, & on on leur voit des excrémens : lorsqu'ils passent d'une forme à l'autre & dans l'état où on les appelle nymphes, ils ne prennent point de nourriture, & ne rendent point d'excrémens. Ils sont comme emprisonnés & sans mouvement, jusqu'à ce qu'ils ayent achevé de prendre leur croissance. Alors ils déchirent ce qui formoit leur étui & ils en sortent.

Les *penies* & les *hyperes* viennent de même de ces chenilles qui marchent par ondulation, en avançant d'abord une partie de leur corps, & courbant ensuite le reste pour le ramener en avant. Chaque espece de ces Animaux a une couleur qui lui est propre selon la chenille dont l'animal sort.

Il existe un certain grand ver qui a comme des cornes & qui est différent des autres. Sa premiere métamorphose produit une chenille qui devient *bombyle*, & se change ensuite en *nécydale*. Il subit ces différentes métamorphoses dans l'espace de six mois. Quelques femmes en tirent une soie qu'elles développent en la dévidant, & dont on fait ensuite des étoffes. On attribue cette invention à Pamphyle fille de Latoüs, habitant de l'isle de Cos.

Les vers qui viennent dans le bois sec donnent une sorte de scarabée : ils se forment comme les autres Animaux dont nous venons de parler. D'abord une membrane renferme les vers devenus immobiles ; l'enveloppe se rompt & le scarabée sort. Les mittes qui mangent le porreau se forment dans les ruches : ce sont encore des Animaux aîlés. De petits Animaux plats qui nagent sur la surface des rivieres produisent les mouches asiles : c'est ce qui fait

τὰ ὕδαλα γίνονlαι· ὃ τὰ τοιαῦτά ἐςι ζῶα. Ἐκ δὲ μελαινῶν τινῶν ϗ δασειῶν ὁ μεγάλων καμπῶν, πρῶτον γίνονlαι πυγολαμπίδες, οὐχ αἱ πελόμϑυαι. Αὗται δὲ πάλιν μελαβάλλουσι, καὶ γίνονlαι πlερωτὰ ζῶα ἐξ αὐτῶν, οἱ καλούμϑυοι βόςρυχοι.

Αἱ δ᾽ ἐμπίδες γίνονlαι ἐκ τῶν ἀσκαρίδων· αἱ δὲ ἀσκαρίδες γίνονlαι ἔν τε τῇ ἰλύϊ τῶν φρεάτων, καὶ ὅπου ἂν σύῤῥευσις γένηlαι ὕδαlος, γεώδη ἔχουσα ὑπόςασιν. Τὸ μὲν οὖν πρῶτον αὐτὴ ἡ ἰλὺς σηπομένη χρῶμα λαμβάνει λευκὸν, εἶτα μέλαν, τελευτῶσα δὲ αἱματῶδες. Οταν ἢ τοιαύτη γένηlαι, φύεται ἐξ αὐτῆς ὥσπερ τὰ φυκία, μικρὰ σφόδρα καὶ ἐρυθρά. Ταῦτα δὲ χρόνον μέν τινα κινεῖται πεφυκότα· ἔπειτα ἀποῤῥαγέντα φέρεται καlὰ τὸ ὕδωρ αἱ καλούμϑυαι ἀσκαρίδες. Μεθ᾽ ἡμέρας ἢ ὀλίγας ἵςανlαι ὀρθαὶ ἐπὶ τοῦ ὕδατος ἀκινητίζουσαι καὶ σκληραί. Ἔπειτα, περιῤῥαγέντος τοῦ κελύφους, ἡ ἐμπὶς ἄνω ἐπικάθηται, ἕως ἂν ἥλιος ἢ πνεῦμα κινήσῃ· τότε δὴ πέτεlαι. Πᾶσι ἢ ϗ τοῖς ἄλλοις σκώληξι, καὶ τοῖς ζώοις τοῖς ἐκ τῶν σκωλήκων περιῤῥηγνυμένοις, ἡ ἀρχὴ φαίνεlαι γίνεσθαι τῆς γενέσεως, ἢ ὑφ᾽ ἡλίου, ἢ ὑπὸ πνεύμαlος. Μᾶλλον δὲ ϗ θᾶτlον γίνονlαι αἱ ἀσκαρίδες ἐν τοῖς ἔχουσι παντοδαπὴν ὑπόςασιν, οἷον Μεγαροῖ γίνεlαι ἐν τοῖς ἔργοις· σήπεlαι γὰρ τὰ τοιαῦτα θᾶτlον. Τοῦ μεlοπώρου δὲ γίνονlαι μᾶλλον, τότε γὰρ ὑγρὸν συμβαίνει εἶναι ἔλαττlον.

Οἱ δὲ κρότωνες γίνονlαι ἐκ τῆς ἀγρώςεως· αἱ ἢ μηλολόνθαι ἐκ τῶν σκωλήκων τῶν ἐν τοῖς βολίτοις, ϗ τῶν ὀνίδων. Οἱ δὲ κάνθαροι, ἣν κυλίουσι κόπρον, ἐν ταύτῃ φωλεύουσί τε τὸν χειμῶνα, καὶ ἐντίκlουσι σκώληκας, ἐξ ὧν γίνονlαι κάνθαροι. Γίνονται δὲ καὶ ἐκ τῶν σκωλήκων τῶν ἐν τοῖς ὀσπρίοις πlερωτὰ ζῶα ὁμοίως τοῖς εἰρημένοις. Αἱ δὲ μυῖαι, ἐκ τῶν σκωλήκων τῶν ἐν τῇ κόπρῳ τῇ χωριζομένῃ κατὰ μέρος· διὸ καὶ οἱ περὶ ταύτην τὴν ἐργασίαν ὄντες μάχονlαι χωρίζειν τὴν ἄλλην τὴν μεμιγμένην, ϗ λέγουσι κατεργάσασθαι τότε τὴν κόπρον. Η ἢ ἀρχὴ

qu'on en voit beaucoup près des rivieres où il se trouve de ces Animaux. Certaines chenilles noires, velues, qui ne sont pas fort grandes donnent naissance au cu-luisant, j'entends celui qui n'a point d'aîles : une seconde métamorphose leur donne des aîles. On les appelle alors boucles de cheveux.

L'empis est le produit d'ascarides : celles-ci se forment dans le limon des puits, & en général dans les amas d'eaux où il se dépose des terres. Le limon prend d'abord, en se corrompant, une couleur blanche, puis il devient noir, & enfin couleur de sang. Dans cet état il se forme du limon même, comme des brins d'algue, rouges & fort petits. Ces corps restent pendant quelque tems attachés au limon, quoiqu'ils remuent déja ; ils se détachent ensuite, & sont portés sur l'eau ; c'est ce qu'on appelle ascarides. Peu de jours après on voit les ascarides droites sur la surface de l'eau, elles sont dures & immobiles. L'enveloppe venant à se rompre, l'empis reste porté sur ses débris, jusqu'à ce que le soleil ou le vent le mettent en mouvement. Il vole alors. On peut remarquer en général que tous les autres vers, ou Animaux qui viennent de vers dont ils déchirent l'enveloppe, paroissent recevoir, ou du soleil, ou du vent, la source de leur existence. Il se forme plus d'ascarides & plus promptement dans les lieux où les terres que l'eau dépose rassemblent plusieurs substances, comme a Mégare dans les champs cultivés. La putréfaction est plus prompte alors à s'opérer. Les ascarides sont aussi plus abondantes en Automne, parce que l'humidité est moindre.

Les tiques viennent du *gramen*, les scarabées de vers qui se forment dans les excrémens du boeuf & de l'âne. Le pillulaire passe l'hiver dans les boules de fiente qu'il a faites & roulées, & il y dépose des vers qui le reproduisent. Les vers qui sont dans les légumes donnent aussi des Animaux aîlés qui se forment de même. Les mouches sont le produit de vers qui viennent dans les excrémens séparés de la litiere : ceux qui s'occupent de ces sortes de soins séparent les différentes parties du fumier, & ils disent que la production des vers indique quand il est bon à employer. Dans leur origine, ces vers sont

τῶν σκωληκίων μικρά· πρῶτον μὲν γὰρ καὶ ἐνταῦθα ἐρυθραίνεται, καὶ ἐξ ἀκινησίας λαμβάνει κίνησιν οἷον πεφυκότα· εἶτα σκωλήκιον ἀποβαίνει ἀκίνητον· εἶτα κινηθὲν, ὕστερον γίνεται ἀκίνητον πάλιν. Ἐκ δὲ τούτου μυῖα ἀποτελεῖται, καὶ κινεῖται πνεύματος ἢ ἡλίου γενομένου.

Οἱ δὲ μύωπες γίνονται ἐκ τῶν ξύλων. Αἱ δὲ ὀρσοδάκναι, ἐκ τῶν σκωλήκων μεταβαλλόντων· τὰ δὲ σκωλήκια ταῦτα γίνεται ἐν τοῖς καυλοῖς τῆς κράμβης. Αἱ δὲ κανθαρίδες, ἐκ τῶν πρὸς ταῖς συκαῖς καμπῶν, καὶ ταῖς ἀπίοις, καὶ ταῖς πεύκαις· πρὸς πᾶσι γὰρ τούτοις γίνονται σκώληκες· καὶ ἐκ τῶν ἐν τῇ κυνακάνθῃ. Ὁρμῶσι δὲ καὶ πρὸς τὰ δυσώδη, διὰ τὸ ἐκ τοιαύτης γεγονέναι ὕλης. Οἱ δὲ κώνωπες ἐκ σκωλήκων, οἳ γίνονται ἐκ τῆς περὶ τὸ ὄξος ἰλύος· καὶ γὰρ ἐν τοῖς δοκοῦσιν ἀσηπτοτάτοις, ἐγγίνεται ζῶα, οἷον ἐν χιόνι τῇ παλαιᾷ σκώληκες. Γίνεται δὲ ἡ παλαιὰ ἐρυθροτέρα· διὸ καὶ οἱ σκώληκες τοιοῦτοι, καὶ δασεῖς. Οἱ δὲ ἐκ τῆς ἐν Μηδίᾳ χιόνος, μεγάλοι καὶ λευκοί· δυσκίνητοι δὲ πάντες.

Ἐν δὲ Κύπρῳ οὗ ἡ χαλκῖτις λίθος καίεται, ἐπὶ πολλὰς ἡμέρας ἐμβαλλόντων, ἐνταῦθα γίνεται θηρία ἐν τῷ πυρὶ, τῶν μεγάλων μυῶν μικρόν τι μείζονα, ὑπόπτερα, ἃ κατὰ τοῦ πυρὸς βαδίζει καὶ πηδᾷ. Ἀποθνήσκουσι δὲ καὶ σκώληκες, καὶ ταῦτα, χωριζόμενα, τὰ μὲν τοῦ πυρὸς, οἱ δὲ τῆς χιόνος. Ὅτι δ' ἐνδέχεται μὴ καίεσθαι συστάσεις τινῶν ζώων, ἡ σαλαμάνδρα ποιεῖ φανερόν. Αὕτη γὰρ, ὥς φασι, διὰ τοῦ πυρὸς βαδίζουσα, κατασβέννυσι τὸ πῦρ.

Περὶ δὲ τὸν Ὑπάνην ποταμὸν, τὸν περὶ Βόσπορον τὸν Κιμμερικὸν, ὑπὸ τροπὰς θερινὰς, καταφέρονται ἐπὶ τοῦ ποταμοῦ οἷον θύλακοι, μείζους ῥαγῶν, ἐξ ὧν ῥηγνυμένων, ἐξέρχεται ζῶον πτερωτὸν, τετράπουν. Ζῇ δὲ καὶ πέτεται μέχρι δείλης· καταφερομένου δὲ τοῦ ἡλίου, ἀπομαραίνεται, καὶ ἅμα δυομένου ἀποθνήσκει,

petits : ce ne sont que des points qui rougissent ; immobiles d'abord, ils acquierent ensuite du mouvement, mais un mouvement semblable à celui d'une plante. Bientôt c'est un ver détaché, mais sans mouvement : ce ver reprend du mouvement & le perd une seconde fois, enfin il en sort une mouche parfaite, qui s'agite dès que le soleil paroît où que le vent souffle.

Le taon vient du bois : la mordelle de vers qui se métamorphosent après s'être formés dans la tige du chou. La canthatide, de la chenille du figuier, du poirier & du pin : car tous ces arbres produisent des vers. Elle vient encore de la chenille qui est sur l'églantier. Les cantharides aiment les odeurs fortes, parce que c'est de matieres de cette nature qu'elles viennent. Les *conops* sont produits par les vers de la lie du vinaigre : car il se forme des Animaux dans les substances qui semblent le moins corruptibles. La neige produit elle-même des vers en vieillissant. Comme le tems la rend rouge, ces vers sont rouges aussi : ils sont velus. En Médie ils sont blancs & grands. Les vers de la neige sont tous paresseux à se mouvoir.

En Chypre, dans les fours où l'on calcine le colcothar, & où l'on entretient le feu pendant plusieurs jours de suite, il se forme des Animaux dans le feu même. Leur grosseur excéde un peu celle des grosses mouches, ils volent bas, marchent & sautent le long du feu. Quand ils n'ont plus de feu, ils meurent ; les vers de la neige meurent également si on les en sépare. La salamandre est une preuve qu'il y a des Animaux que le feu ne fait pas périr. Elle marche, dit-on, à travers le feu & l'éteint sur son passage.

On voit vers le solstice d'été, sur les eaux de l'Hypanis, fleuve qui est près du Bosphore Cimmerien, des especes de coques plus grosses que des grains de raisin, qui s'ouvrent & d'où il sort un animal aîlé, à quatre pieds, qui vit & vole jusqu'au soir. Il vieillit à mesure que le soleil baisse, & meurt dès que cet astre est couché. Sa vie est d'un jour : delà vient le nom

βιοῦν ἡμέραν μίαν· διὸ καὶ καλεῖται ἐφήμερον. Τὰ πλεῖστα δὲ τῶν γινομένων ἐκ τῶν καμπῶν καὶ ἐκ τῶν σκωλήκων ὑπὸ ἀραχνίων περιέχεται τὸ πρῶτον.

XX. Ταῦτα μὲν οὖν γίνεται τοῦτον τὸν τρόπον. Οἱ δὲ σφῆκες οἱ ἰχνεύμονες καλούμενοι, εἰσὶ δὲ ἐλάττους τῶν ἑτέρων, τὰ φαλάγγια ἀποκτείναντες φέρουσι πρὸς τειχίον, ἤ τι τοιοῦτον τρώγλην ἔχον· καὶ πηλῷ καταχρίσαντες ἐντίκτουσιν ἐνταῦθα, καὶ γίνονται ἐξ αὐτῶν οἱ σφῆκες οἱ ἰχνεύμονες. Ενια δὲ τῶν κολεοπτέρων, καὶ μικρῶν, καὶ ἀνωνύμων ζώων, τοῦ πηλοῦ τρώγλας ποιοῦνται μικράς, ἢ πρὸς τάφοις, ἢ τειχίοις, καὶ ἐνταῦθα τὰ σκωλήκια ἐκτίκτουσιν. Ο δὲ χρόνος τῆς γενέσεως, ἀπὸ μὲν τῆς ἀρχῆς μέχρι τέλους, σχεδὸν τοῖς πλείστοις ἑπτάσι μετρεῖται τρισὶν ἢ τέτταρσι. Τοῖς μὲν οὖν σκώληξι καὶ τοῖς σκωληκοειδέσι τοῖς πλείστοις τρεῖς γίνονται ἑπτάδες· τοῖς δὲ ᾠοτοκοῦσι τέτταρες, ὡς ἐπιτοπολύ. Τούτων δὲ ἀπὸ μὲν τῆς ὀχείας ἐν ταῖς ἑπτὰ, ἡ σύστασις γίνεται, ἐν δὲ ταῖς λοιπαῖς τρισὶν ἐπωάζουσι καὶ ἐκλέπουσιν ὅσα γόνῳ τίκτεται, οἷον ὑπὸ ἀράχνου, ἢ ἄλλου τοιούτου τινός. Αἱ δὲ μεταβολαὶ γίνονται τοῖς πλείστοις κατὰ τριήμερον ἢ τετραήμερον, ὥσπερ καὶ αἱ τῶν νόσων συμβαίνουσι κρίσεις.

Τῶν μὲν οὖν ἐντόμων οὗτος ὁ τρόπος ἐστὶ τῆς γενέσεως· φθείρονται δ' ἐρρικνωμένων τῶν μορίων, ὥσπερ γήρᾳ τὰ μείζω τῶν ζώων. Οσα δὲ πτερωτὰ, καὶ τῶν πτερῶν συσπωμένων περὶ τὸ μετόπωρον· οἱ δὲ μύωπες, καὶ τῶν ὀμμάτων ἐξυδρωπιώντων.

XXI. Περὶ δὲ τὴν γένεσιν τῶν μελιττῶν οὐ τὸν αὐτὸν τρόπον πάντες
19. ὑπολαμβάνουσιν. Οἱ μὲν γάρ φασιν οὐ τίκτειν οὐδὲ ὀχεύεσθαι τὰς μελίττας, ἀλλὰ φέρειν τὸν γόνον· καὶ φέρειν, οἱ μὲν ἀπὸ τοῦ ἄνθους τοῦ καλλύντρου· οἱ δὲ ἀπὸ τοῦ ἄνθους τοῦ καλάμου· ἄλλοι δὲ ἀπὸ τοῦ ἄνθους τῆς ἐλαίας· καὶ σημεῖον λέγουσιν, ὅτι ἂν ἐλαιῶν φορὰ γένηται, τότε καὶ ἑσμοὶ ἀφίενται πλεῖστοι. Οἱ δέ φασι τὸν μὲν τῶν κηφήνων φέρειν αὐτὰς γόνον, ἀπό τινος ὕλης τῶν εἰρημένων,

d'éphemere qu'on lui donne. La plûpart des Animaux qui viennent ou de chenilles, ou de vers, s'enferment avant leur métamorphose dans des fils semblables à ceux de l'araignée.

C'est assez sur les insectes dont nous venons d'expliquer la génération : passons aux guêpes qu'on appelle ichneumons. Ce sont des guêpes plus petites que les autres, elles tuent les petites phalanges & les portent dans le trou d'un mur, ou dans quelque autre trou : elles les enduisent de boue, & y déposent leurs œufs d'où viennent d'autres guêpes semblables. Quelques petits insectes coleopteres qui n'ont point de nom particulier, déposent des vers dans de petits nids qu'ils se font avec de la boue, & qu'ils appliquent contre les murs & les tombeaux. Dans la plûpart de ces especes, le tems nécessaire pour leur production, à compter depuis le commencement jusqu'à la fin, est à-peu-près de trois ou de quatre semaines. Il est de trois semaines pour les vers & pour le plus grand nombre de ceux qui ont la forme de vers, & ordinairement de quatre pour ceux qui se reproduisent par la voie des œufs. La premiere semaine après l'accouplement est employée à la formation de l'œuf, pendant les trois autres ils couvent & on voit éclore de chaque espece d'œufs ce qui en doit sortir : par exemple des œufs d'araignée, de petites araignées toutes formées & ainsi des autres semblables. Dans la plûpart des especes, les métamorphoses s'operent en trois jours, ou en quatre : c'est ce même intervalle de tems qui amene les crises dans les maladies. XX.

Voilà de quelle maniere les insectes se produisent. Comme les grands Animaux meurent de vieillesse, les insectes périssent lorsque leurs membres sont retirés & ridés. Dans les insectes aîlés, les aîles se retirent aussi vers l'automne. Les taons, lorsqu'ils sont près de leur fin, ont outre cela les yeux pleins d'eau.

Par rapport à la génération des abeilles, les sentimens sont partagés. Il y en a qui prétendent que les abeilles ne s'accouplent point & ne font point de petits, mais qu'elles apportent d'ailleurs la semence qui doit les reproduire. Dans ce sistême on est encore partagé sur le lieu où les abeilles font cette récolte. C'est, suivant les uns, sur la fleur de callyntre : suivant d'autres, sur celle du *calamus*. De troisièmes disent que c'est sur la fleur de l'olivier, & ils se fondent sur ce que plus la fleur d'olivier est abondante, plus il sort d'essains. D'autres conviennent que les abeilles recueillent sur quelqu'une des fleurs qui viennent d'être nommées, la semence qui reproduit les bourdons, mais ils XXI. 19.

τὸν δὲ τῶν μελιττῶν τίκτειν τοὺς ἡγεμόνας. Τῶν δὲ ἡγεμόνων ἐστὶ γένη δύο· ὁ μὲν βελτίων πυῤῥός· ὁ δ' ἕτερος μέλας καὶ ποικιλώτερος· τὸ δὲ μέγεθος, διπλάσιος τῆς χρηστῆς μελίττης· καὶ τὸ κάτω τοῦ διαζώματος ἔχουσιν ἡμιόλιον μάλιστα τῷ μήκει, καὶ καλοῦνται ὑπό τινων μητέρες, ὡς γεννῶντες. Σημεῖον δὲ λέγουσιν, ὅτι ὁ μὲν τῶν κηφήνων ἐγγίνεται γόνος κἂν μὴ ἐνῇ ἡγεμών· ὁ δὲ τῶν μελιττῶν οὐκ ἐγγίνεται. Οἱ δέ φασιν ὀχεύεσθαι, καὶ εἶναι ἄῤῥενας μὲν τοὺς κηφῆνας, θηλείας δὲ τὰς μελίττας. Ἐστι δὲ τῶν μὲν ἄλλων ἡ γένεσις ἐν τοῖς κοίλοις τοῦ κηρίου, οἱ δὲ ἡγεμόνες γίνονται κάτω, πρὸς τῷ κηρίῳ ἀποκρεμάμενοι χωρὶς, ἓξ ἢ ἑπτὰ ἐναντίως τῷ ἄλλῳ γόνῳ πεφυκότες. Κέντρον δὲ αἱ μὲν μέλιτται ἔχουσιν, οἱ δὲ κηφῆνες οὐκ ἔχουσιν· οἱ δὲ βασιλεῖς καὶ ἡγεμόνες ἔχουσι μὲν κέντρον, ἀλλ' οὐ τύπτουσι· διὸ ἔνιοι οὐκ οἴονται ἔχειν αὐτούς.

XXII. Εἰσὶ δὲ γένη τῶν μελιττῶν· ἡ μὲν ἀρίστη μικρὰ καὶ στρογγύλη καὶ ποικίλη· ἄλλη δὲ μακρὰ, ὁμοία τῇ ἀνθρήνῃ· τρίτος δὲ ὁ φὼρ καλούμενος· οὗτος δέ ἐστι μέλας, καὶ πλατυγάστωρ. Τέταρτος δὲ, ὁ κηφὴν, μεγέθει μὲν μέγιστος πάντων, ἄκεντρος δὲ καὶ νωθρός· διὸ πλέκουσί τινες περὶ τὰ σμήνη, ὥστε τὰς μὲν μελίττας εἰσδύεσθαι, τοὺς δὲ κηφῆνας μὴ, διὰ τὸ εἶναι αὐτοὺς μείζους. Ἡγεμόνων δὲ δύο γένη εἰσὶν, ὥσπερ εἴρηται καὶ πρότερον. Εἰσὶ δ' ἐν ἑκάστῳ σμήνει πλείους ἡγεμόνες, καὶ οὐχ εἷς μόνος. Ἀπόλλυται δὲ τὸ σμῆνος, ἐάν τε ἡγεμόνες ἱκανοὶ μὴ ἐνῶσιν· οὐχ οὕτω δὲ διὰ τὸ ἄναρχα εἶναι, ἀλλ' ὥς φασιν, ὅτι συμβάλλονται εἰς τὴν γένεσιν τὴν τῶν μελιττῶν· ἐάν τε πολλοὶ ἡγεμόνες ὦσι, διασπῶσι γάρ. Ὅταν μὲν οὖν ἔαρ ὄψιμον γένηται, καὶ ὅταν αὐχμοὶ καὶ ἐρυσίβη, ἐλάττων γίνεται ὁ γόνος· ἀλλ' αὐχμοῦ μὲν ὄντος, μέλι ἐργάζονται μᾶλλον· ἐπομβρίας δὲ, γόνον· διὸ καὶ ἅμα συμβαίνει ἐλαιῶν φορὰ καὶ ἑσμῶν.

Ἐργάζονται δὲ πρῶτον μὲν τὸ κηρίον· εἶτα τὸν γόνον ἀναφιᾶσιν,

disent que pour les abeilles elles sont produites par les rois de la ruche. Il y a deux especes de rois. L'un est roux, c'est le meilleur : l'autre est noir & tacheté. Leur grosseur est double de celle de l'abeille ouvriere, & la partie de leur corps qui est au-dessous de l'incision a une fois & demie la longueur du reste. Quelques-uns les appellent les meres, à cause de la fécondité qu'ils leur attribuent. Pour appuyer ce sentiment, on dit qu'il naît des bourdons dans une ruche sans qu'il y ait de rois ; mais qu'il n'y naît point d'abeilles. D'autres prétendent que ces insectes s'accouplent, les mâles étant les bourdons ; & les femelles les abeilles. Les abeilles ordinaires naissent dans les cellules du gateau de cire, mais les rois au contraire naissent sous le gateau, auquel ils sont attachés & suspendus séparément, au nombre de six ou sept. Les abeilles ont un aiguillon : les bourdons n'en ont point. Les rois, ou chefs, ont un aiguillon, mais ils ne s'en servent pas : c'est ce qui a fait penser à quelques personnes qu'ils n'en avoient point.

On distingue plusieurs especes d'abeilles : la meilleure est petite, ronde & de plusieurs couleurs. La seconde est allongée & semblable au frelon ; la troisiéme est l'abeille qu'on nomme voleuse. Sa couleur est noire, son ventre large. La quatriéme espece est celle du bourdon : il est plus grand que les abeilles des trois premieres especes. Il n'a point d'aiguillon & est paresseux. En conséquence de cette observation quelques personnes entrelacent le bas de la ruche de maniere que les abeilles seules puissent y entrer, tandis que les bourdons sont arrêtés par leur grosseur. J'ai dit qu'il y avoit deux sortes de rois. Dans chaque ruche il y a plusieurs rois & non un seul roi. La ruche périt si elle n'a pas des rois suffisans. Ce n'est pas tant parce que la ruche manque alors de chef, pour la gouverner, que parce qu'ils contribuent, dit-on, à la réproduction des mouches. Si cependant il y a un grand nombre de rois, la division se met dans la ruche. Les abeilles multiplient peu quand le printems est tardif & que la saison est séche & aride : elles font plus de miel dans les tems secs, mais les essaims multiplient davantage dans les tems de pluie : & c'est là ce qui fait que les oliviers & les essaims produisent beaucoup dans les mêmes années. XXII.

Les abeilles forment d'abord le gâteau de cire : ensuite elles y jettent la

ὡς μὲν ἔνιοι λέγουσιν, ἐκ τοῦ στόματος· ὅσοι φέρειν φασὶν ἄλλοθεν· εἶθ' οὕτως τὸ μέλι τροφὴν, τὴν μὲν τοῦ θέρους, τὴν δὲ τοῦ μετοπώρου. Αμεινον δ' ἐστὶ τὸ μετοπωρινὸν μέλι. Γίνεται δὲ κηρίον μὲν ἐξ ἀνθῶν, κήρωσιν δὲ φέρουσιν ἀπὸ τοῦ δακρύου τῶν δένδρων, μέλι δὲ τὸ πίπτον ἐκ τοῦ ἀέρος, καὶ μάλιστα ἐν ταῖς τῶν ἄστρων ἐπιτολαῖς, καὶ ὅταν κατασκήψῃ ἡ ἶρις· ὅλως δ' οὐ γίνεται μέλι πρὸ πλειάδος ἐπιτολῆς. Τὸν μὲν οὖν κηρὸν ἐκ τῶν ἀνθέων· τὸ δὲ μέλι ὅτι οὐ ποιεῖ, ἀλλὰ φέρει τὸ πίπτον, σημεῖον· ἐν μιᾷ γὰρ, ἢ ἐν δυσὶν ἡμέραις, πλήρη εὑρίσκουσι τὰ σμήνη οἱ μελιττουργοὶ μέλιτος. Ετι δὲ, τοῦ μετοπώρου ἄνθη γίνεται μὲν, μέλι δ' οὔ, ὅταν ἀφαιρεθῇ. Αφαιρουμένου οὖν ἤδη τοῦ γενομένου μέλιτος, καὶ τροφῆς οὐκ ἐνούσης ἔτι, ἢ σπανίας, ἐγίνετο ἂν εἴπερ ἐποίουν ἐκ τῶν ἀνθέων. Συνίσταται δὲ τὸ μέλι πεττόμενον· ἐξ ἀρχῆς γὰρ οἷον ὕδωρ γίνεται, καὶ ἐφ' ἡμέρας μέν τινας ὑγρόν ἐστι· διὸ κἂν ὑφαιρεθῇ ἐν ταύταις ταῖς ἡμέραις οὐκ ἴσχει πάχος, ἐν εἴκοσι δὲ μάλιστα συνίσταται. Δῆλον δ' ἐστὶν εὐθέως τὸ ἀπὸ τοῦ χυμοῦ. Διαφέρει γὰρ τῇ γλυκύτητι καὶ τῷ πάχει. Φέρει δὲ ἀπὸ πάντων ἡ μέλιττα ὅσα ἔχει ἐν κάλυκι ἄνθη, καὶ ἀπὸ τῶν ἄλλων δὲ, ὅσα ἂν γλυκύτητα ἔχῃ· οὐθένα βλάπτουσα καρπὸν, τοὺς δὲ χυμοὺς τούτων τῷ ὁμοίῳ τῇ γλώττῃ ἀναλαμβάνουσα, κομίζει. Βλίττεται δὲ τὰ σμήνη, ὅταν ἐρίνεον σῦκον φάγῃ, χάδονας δὲ ἀρίστας ποιοῦσιν ὅταν μέλι ἐργάζωνται. Φέρει δὲ κηρὸν μὲν καὶ ἐριθάκην περὶ τοῖς σκέλεσι, τὸ μέλι δὲ ἐμεῖ εἰς τὸν κύτταρον. Τὸν δὲ γόνον ὅταν ἀφῇ, ἐπωάζει ὥσπερ ὄρνις.

Εν δὲ τῷ κηρίῳ τὸ σκωλήκιον, μικρὸν μὲν ὄν, κεῖται πλάγιον· ὕστερον δὲ ἀνίσταται αὐτὸ ὑφ' ἑαυτοῦ, καὶ τρέφεται, καὶ πρὸς τῷ κηρίῳ ἔχεται, ὥστε καὶ ἀντειλῆφθαι. Ο δὲ γόνος ἐστὶ τῶν μελιττῶν καὶ τῶν κηφήνων λευκὸς, ἐξ οὗ τὰ σκωλήκια γίνεται· αὐξανομένων δὲ γίνονται μέλιτται καὶ κηφῆνες. Ο δὲ τῶν βασιλέων γόνος, τὴν χρόαν γίνεται ὑπόπυῤῥος· τὴν δὲ λεπτότητα

ſemence qui doit reproduire les eſſaims. Elles la jettent par la bouche, diſent ceux qui prétendent qu'elles l'apportent de dehors dans leurs ruches. En troiſiéme lieu elles jettent, également par la bouche, le miel qui leur doit ſervir de nourriture, partie l'été, partie l'automne. Le miel d'automne eſt le meilleur. Les abeilles recueillent la cire ſur les fleurs : elles tirent la propolis des pleurs des arbres. Pour le miel, il tombe de l'air, principalement dans le tems du lever des conſtellations, & lorſque l'arc-en-ciel s'étend ſur la terre. Il n'y a jamais de miel nouveau avant le lever des Pléïades. L'abeille prépare donc la cire avec les fleurs comme je l'ai dit, mais une preuve qu'elle ne compoſe point le miel, & qu'elle recueille ſeulement celui qui tombe, c'eſt que ceux qui ont des ruches les trouvent pleines de miel en un jour ou deux, & que d'ailleurs quand on leur a ôté leur miel en automne, elles n'en font plus de nouveau, quoiqu'il y ait encore des fleurs. Cependant, n'ayant plus de nourriture puiſqu'on leur a ôté leur miel, ou n'en ayant qu'une petite quantité, elles ne manqueroient pas de faire de nouveau miel ſi elles le compoſoient du ſuc des fleurs. Le miel prend de la conſiſtance en ſe mûriſſant, ſi l'on peut parler ainſi. Il eſt d'abord comme de l'eau, & il demeure liquide pendant quelques jours. Si on l'ôte alors de la ruche, il n'a point de conſiſtance. Il faut ordinairement vingt jours pour l'épaiſſir. Le mérite du miel ſe reconnoît aiſément au goût : car les différens miels ont plus ou moins de douceur, de même qu'ils ont plus ou moins de conſiſtance. L'abeille fait ſa récolte ſur les fleurs qui ſont en calice, & en général ſur toutes celles qui ont un ſuc doux. Elle ne fait aucun tort au fruit. Un organe ſemblable à la langue lui ſert à raſſembler les ſucs de ces fleurs & elle les emporte. On taille les ruches lorſque les figues ſauvages commencent à être mûres. Les nouveaux eſſaims qui réuſſiſſent le mieux, ſont ceux qui viennent dans le tems où les abeilles travaillent le miel. Elles portent la cire & l'érithaque avec leurs cuiſſes : pour le miel, elles le jettent par la bouche dans les cellules. Lorſque les abeilles ont dépoſé la ſemence qui doit les reproduire, elles couvent comme les oiſeaux.

Le ver de l'abeille étant encore petit, eſt d'abord couché en travers dans l'alvéole : après cela il ſe releve de lui-même & prend de la nourriture. Il eſt attaché à l'alvéole, de ſorte qu'on croiroit qu'il en fait partie. La ſemence qui ſert à la reproduction, ſoit des abeilles ſoit des bourdons, eſt également blanche. Il en naît de pètits vers qui croiſſent & deviennent abeilles & bourdons : mais la ſemence d'où naiſſent les rois eſt rouſſâtre ; elle n'a pas plus

ἐςὶν οἷον μέλι παχύ· τὸν ὄγκον δὲ εὐθέως ἔχει παραπλήσιον τῷ γενομένῳ ἐξ αὐτοῦ. Σκώληξ δ' οὐ γίνεται πρότερον ἐκ τούτου, ἀλλ' εὐθέως ἡ μέλιττα φαίνεται· ὅταν δὲ τέκῃ ἐν τῷ κηρίῳ, μέλι ἐκ τοῦ ἀπαντικρὺ γίνεται. Φύει δὲ χάδων πόδας καὶ πτερὰ, ὅταν καταληφθῇ· ὅταν δὲ λάβῃ τέλος, τὸν μὲν ὑμένα περιῤῥήξας ἐκπέταται· κόπρον δὲ προΐεται ἕως ἂν ᾖ σκωλήκιον, ὕςερον δὲ οὐκέτι, πλὴν ἐὰν μὴ ἐξέλθῃ, ὥσπερ ἐλέχθη πρότερον. Ἐὰν δέ τις ἀφέληται τὰς κεφαλὰς τῆς χάδονος πρὶν πτερὰ ἔχειν, ἐξεσθίουσιν αὐταὶ αἱ μέλιτται· κἂν κηφῆνος τὸ πτερὸν ἀποκνίσας ἀφῇ τις, τῶν λοιπῶν αὐτὰ τὰ πτερὰ ἀπεσθίουσι. Βίος δὲ τῶν μελιττῶν ἔτη ἓξ, ἔνιαι δὲ τῶν μελιττῶν καὶ ἑπτὰ ἔτη ζῶσιν. Ἐπὰν δὲ σμῆνος διαμείνῃ ἔτη ἐννέα ἢ δέκα, εὖ δοκεῖ διαγεγενῆσθαι.

Ἐν δὲ τῷ Πόντῳ εἰσὶ μέλιτταί τινες λευκαὶ σφόδρα, αἳ μέλι ποιοῦσι δὶς τοῦ μηνός. Αἱ δ' ἐν Θεμισκύρᾳ περὶ τὸν Θερμώδοντα ποταμὸν, ἐν τῇ γῇ, καὶ ἐν τοῖς σμήνεσι ποιοῦνται κηρία, οὐκ ἔχοντα κηρὸν πολὺν, ἀλλὰ πάνυ μικρὸν, μέλι δὲ παχύ· τὸ δὲ κηρίον λεῖον καὶ ὁμαλόν ἐςιν. Οὐκ ἀεὶ δὲ τοῦτο ποιοῦσιν, ἀλλὰ τοῦ χειμῶνος, ὁ γὰρ κιττὸς πολὺς ἐν τῷ τόπῳ ἐςίν· ἀνθεῖ δὲ ταύτην τὴν ὥραν· ἀφ' οὗ φέρουσι τὸ μέλι. Κατάγεται δὲ καὶ εἰς Ἀμισὸν ἄνωθεν μέλι λευκὸν καὶ παχὺ σφόδρα, ὃ ποιοῦσιν αἱ μέλιτται ἄνευ κηρίων πρὸς τοῖς δένδρεσι· γίνεται δὲ τοιοῦτον καὶ ἄλλοθι ἐν τῷ Πόντῳ. Εἰσὶ δὲ καὶ μέλιτται αἳ ποιοῦσι τριπλᾶ κηρία ἐν τῇ γῇ, ταῦτα δὲ μέλι μὲν ἴσχει, σκώληκα δ' οὐκ ἴσχει. Ἔςι δ' οὔτε τὰ κηρία πάντα τοιαῦτα, οὔτε πᾶσαι αἱ μέλιτται τοιαῦτα ποιοῦσιν.

XXIII. Αἱ δὲ ἀνθρῆναι καὶ οἱ σφῆκες ποιοῦσι κηρία τῷ γόνῳ, ὅταν μὲν μὴ ἔχωσιν ἡγεμόνα ἀλλὰ ἀποπλανηθῶσι καὶ μὴ εὑρίσκωσιν, αἱ μὲν ἀνθρῆναι ἐπὶ μετεώρου τινὸς, οἱ δὲ σφῆκες ἐν τρώγλῃ· ὅταν δ' ἔχωσιν ἡγεμόνα, ὑπὸ γῆν. Ἑξάγωνα μὲν οὖν

de consistance que du miel épaissi, & dès les premiers instans elle est d'un volume qui répond à celui du roi qu'elle produira. Le roi ne passe point par l'état de ver : il devient abeille tout d'abord. La semence étant déposée dans l'alvéole, l'abeille place du miel vis-à-vis. Les pieds & les aîles de l'embryon de l'abeille se produisent pendant qu'il est enfermé : lorsqu'il a acquis sa perfection, il rompt la membrane qui l'enfermoit & s'envole. Tant que l'abeille est dans l'état de ver elle rend des excrémens, mais après cela elle n'en rend plus, à moins qu'elle ne soit pas encore sortie de son enveloppe, comme je l'ai déja observé. Si l'on ôte la tête à un embryon d'abeille, avant qu'il ait acquis des aîles, les abeilles mangent le reste du corps : & si, après avoir ôté les aîles à un bourdon on le jette dans la ruche, les abeilles mangent aussi les aîles des autres bourdons. Les abeilles vivent six ans : quelques-unes vont jusqu'à sept : on regarde comme heureux qu'une ruche dure neuf ou dix ans.

Il y a dans le Pont des abeilles très-blanches, qui donnent du miel deux fois par mois. Celles de Themiscyre auprès du Thermodon, font des gâteaux de miel dans la terre aussi-bien que dans des ruches ; ils contiennent très-peu de cire : le miel en est épais, & le gâteau lisse & uni. Ce n'est pas en toute saison indistinctement que ces abeilles travaillent, mais particuliérement en hyver : saison où fleurit le lierre qui abonde dans cette contrée, & sur lequel elles recueillent le miel. On apporte à Amise, des montagnes voisines, un miel blanc & très-épais, que des abeilles font sur les arbres, sans gâteau de cire. Il y en a de pareil dans d'autres parties du Pont. Certaines abeilles font jusqu'à triple gâteau dans la terre : leurs alvéoles renferment du miel, mais on n'y trouve point de vers. Au reste tous les gâteaux de cire du même pays ne sont pas faits ainsi, & toutes les abeilles ne les fabriquent pas de cette espece.

Les frelons & les guêpes font, comme les abeilles, des gâteaux pour leurs petits. S'ils n'ont poinr de chefs & qu'ils vaguent sans en trouver, les frelons construisent ces gateaux dans quelque lieu élevé, les guêpes dans un trou. Quand ils ont un chef, les uns & les autres travaillent sous terre. Leurs alvéoles XXIII.

πάντα ἐςὶ τὰ κηρία καὶ τὰ τέτων, ὥσπερ καὶ τὰ τῶν μελιττῶν. Σύγκειται δὲ οὐκ ἐκ κηροῦ, ἀλλ' ἐκ φλοιώδους καὶ ἀραχνώδους ὕλης τὸ κηρίον. Γλαφυρώτερον δὲ πολλῷ τὸ τῶν ἀνθρινῶν ἐςιν, ἢ τὸ τῶν σφηκῶν κηρίον. Εναφιᾶσι δὲ γόνον, ὥσπερ αἱ μέλιτται, ὅσον ςαλαγμὸν εἰς τὸ πλάγιον τȣ̃ κυττάρȣ, καὶ προσέχεται τῷ τοίχῳ. Οὐχ ἅμα δὲ ἐν πᾶσι τοῖς κυττάροις ἔνεςιν ὁ γόνος, ἀλλ' ἐνίοις μὲν ἤδη μεγάλα ἔνεςιν, ὥςε καὶ πέτεσθαι· ἐνίοις δὲ νύμφαι· ἐν τοῖς δὲ σκώληκες ἔτι. Κόπρος δὲ μόνον ὕπεςι τοῖς σκώληξιν, ὥσπερ ταῖς μελίτταις, καὶ ὅταν νύμφαι ὦσι ἀκινητίζȣσι, καὶ ἀπαλήλιπται ὁ κύτταρος. Καταντικρὺ δὲ ἐν τῷ κυττάρῳ τȣ̃ γόνȣ, ὅσον ςαλαγμὸς μέλιτος ἐγγίνεται ἐν τοῖς τῆς ἀνθρίνης κηρίοις. Γίνονται δὲ χάδονες ȣ̓κ ἐν τῷ ἔαρι τούτων, ἀλλ' ἐν τῷ μετοπώρῳ· τὴν δὲ αὔξησιν ἐπίδηλον λαμβάνουσι μάλιςα ἐν ταῖς πανσελήνοις. Εχεται δὲ καὶ ὁ γόνος καὶ οἱ σκώληκες, ȣ̓ κάτωθεν τȣ̃ κυττάρου, ἀλλ' ἐκ τῶν πλαγίων.

XXIV. Ενια δὲ τῶν βομβυκίων πρὸς λίθῳ, ἢ τοιȣ́τῳ τινὶ, ποιοῦσι πήλινον ὀξὺ, καὶ ὥσπερ οἱ ἅλες καταλείφονται. Τȣ̃το δὲ σφόδρα παχὺ καὶ σκληρόν· λόγχῃ γὰρ μόλις διαιροῦσιν. Ενταῦθα δὲ τίκτουσι, καὶ γίνεται σκωλήκια λευκὰ ἐν ὑμένι μέλανι. Χωρὶς δὲ τȣ̃ ὑμένος, ἐν τῷ πηλῷ γίνεται κηρός. Οὗτος δὲ ὁ κηρὸς πολύ ἐςιν ὠχρότερος τȣ̃ τῶν μελιττῶν.

XXV. 20. Οχεύονται δὲ καὶ οἱ μύρμηκες καὶ τίκτουσι· σκωλήκια δὲ ȣ̓ προσπέφυκε πρὸς οὐδέν. Αὐξανόμενα δὲ ταῦτα ἐκ μικρῶν καὶ ςρογγύλων τὸ πρῶτον, μακρὰ γίνονται καὶ διαρθροῦνται· ἡ δὲ γένεσίς ἐςι τȣ́τοις τȣ̃ ἔαρος.

XXVI. 21. Τίκτουσι δὲ καὶ οἱ σκορπίοι οἱ χερσαῖοι σκωλήκια ᾠοειδῆ πολλὰ, καὶ ἐπωάζουσιν. Οταν δὲ τελειωθῇ, ἐκβάλλονται ὥσπερ οἱ ἀράχναι, καὶ ἀπόλλυνται ὑπὸ τῶν τέκνων. Πολλάκις δὲ γίνεται περὶ ἕνδεκα τὸν ἀριθμόν.

ſont toujours exagones comme ceux des abeilles : la différence, c'eſt qu'ils ne ſont pas faits avec de la cire, mais avec une matiere qui tient de la nature de l'écorce & de celle de la toile d'araignée. Le gâteau des frelons eſt beaucoup mieux fini que celui des guêpes. Ils dépoſent leur ſemence, ainſi que les abeilles, comme une goutte de liqueur, dans le côté de l'alvéole, attachée à ſes parois. Cette ſemence n'eſt pas dépoſée dans tous les alvéoles en même tems. Dans quelques-uns on trouve de ces Animaux déja grands & prêts à prendre leur vol ; dans d'autres ils ſont encore dans l'état de nymphes, ou même dans celui de ver. Comme les petits des abeilles, ceux-ci ne rendent des excrémens que dans leur état de ver. Lorſqu'ils ſont devenus nymphes, ils ſont ſans mouvement & l'alvéole eſt fermé. Dans les alvéoles des frelons, il y a comme une goutte de miel placée vis-à-vis l'endroit ou la ſemence eſt dépoſée. Les petits qui occupent ces alvéoles ne viennent point au printems, mais en automne : leur accroiſſement eſt particuliérement ſenſible dans les pleines lunes. Le ver, ainſi que la ſemence, tient non au bas de l'alvéole, mais à l'un des côtés.

Certains bombyces forment avec de la boue, contre une pierre ou autre XXIV. corps ſemblable, une ſorte de nid terminé en pointe, qu'ils recouvrent d'un enduit ayant l'apparence de ſel, & qui eſt très épais & très ferme. On a de la peine à le percer d'un coup de lance. Ils y dépoſent ce qui doit les reproduire, & il ſe forme de petits vers blancs enveloppés d'une membrane noire. Ces bombyces y font auſſi de la cire : elle eſt ſéparée de l'enveloppe qui renferme le ver, & eſt beaucoup plus pâle que celle des abeilles.

Les fourmis s'accouplent & font des petits. Le ver qui naît de la fourmi XXV.
n'eſt attaché à rien : en croiſſant il devient long, de rond & de petit qu'il 20.
étoit. Ses membres prennent enſuite leur forme. C'eſt au printems que les fourmis ſe multiplient.

Les ſcorpions de terre font auſſi pluſieurs vers qui ont la forme d'œufs, XXVI.
& qu'ils couvent. Ces vers devenus ſcorpions, chaſſent, comme les araignées, 21.
ceux de qui ils tiennent le jour & les tuent. Souvent les ſcorpions ont juſqu'à onze petits ou environ.

XXVII. 22. Τὰ δὲ ἀράχνια ὀχεύεται μὲν πάντα τὸν εἰρημένον τρόπον· Γεννᾷ δὲ σκωλήκια μικρὰ πρῶτον· ὅλα γὰρ μεταβάλλοντα γίνεται ἀράχνια, καὶ οὐκ ἐκ μέρους. Επιςρόγγυλα δέ ἐςι κατ᾽ ἀρχάς· ὅταν δὲ τέκῃ, ἐπωάζει τε, καὶ ἐν τρισὶν ἡμέραις διαρθροῦται. Τίκτει δὲ πάντα μὲν εἰς ἀράχνιον· ἀλλὰ τὰ μὲν εἰς λεπτὸν καὶ μικρὸν, τὰ δὲ εἰς παχύ. Καὶ τὰ μὲν ὅλως ἐν κύτει ςρογγύλῳ, τὰ δὲ μέχρι τινὸς περιέχεται ὑπὸ τοῦ ἀραχνίου. Οὐχ ἅμα δὲ πάντα ἀράχνια γίνεται· πηδᾷ δὲ εὐθὺς, καὶ ἀφίησιν ἀράχνιον. Ο δὲ χυμὸς ὅμοιος ἐν τοῖς σκώληξι θλιβομένοις, καὶ ἐν αὐτοῖς νέοις οὖσι, παχὺς καὶ λευκός. Αἱ δὲ λειμώνιαι ἀράχναι, προαποτίκτουσιν εἰς ἀράχνιον, οὗ τὸ μὲν ἥμισυ πρὸς αὐταῖς ἐςι, τὸ δὲ ἥμισυ ἔξω· καὶ ἐν τούτῳ ἐπωάζουσαι, ζῶα ποιοῦσι. Τὰ δὲ φαλάγγια τίκτει εἰς γύργαθον πλεξάμενα παχὺν, ἐν ᾧ ἐπωάζουσι. Τίκτουσι δὲ, αἱ μὲν γλαφυραὶ ἐλάττω τὸ πλῆθος· τὰ δὲ φαλάγγια πολὺ τὸ πλῆθος· καὶ αὐξηθέντα περιέχει τὸ φαλάγγιον, καὶ ἀποκτείνει τὴν τεκοῦσαν ἐκβάλλοντα· πολλάκις δὲ καὶ τὸν ἄρσενα, ἐὰν λαμβάνωσι· συνεπωάζει γὰρ τῇ θηλείᾳ ἐνίοτε. Τὸ δὲ πλῆθος γίνεται καὶ τριακόσια περὶ ἓν φαλάγγιον. Ex δὲ μικρῶν, τέλειοι ἀράχναι γίνονται περὶ τὰς ἑπτάδας τὰς τέτταρας.

XXVIII. 23. Αἱ δὲ ἀκρίδες ὀχεύονται τὸν αὐτὸν τρόπον τοῖς ἄλλοις ἐντόμοις, ἐπιβαίνοντος τοῦ ἐλάττονος ἐπὶ τὸ μεῖζον, τὸ γὰρ ἄῤῥεν ἔλαττόν ἐςι. Τίκτουσι δὲ εἰς τὴν γῆν, καταπήξασαι τὸν πρὸς τῇ κέρκῳ αὐλόν· οἱ δὲ ἄῤῥενες οὐκ ἔχουσιν. Αθρόως δὲ τίκτουσι, καὶ κατὰ τὸν αὐτὸν τόπον· ὥςε ἂν εἶναι καθαπερεὶ κηρίον. Εἶθ᾽ ὅταν τέκωσιν, ἐνταῦθα γίνονται σκώληκες ᾠοειδεῖς, οἳ περιλαμβάνονται ὑπό τινος γῆς λεπτῆς, ὥσπερ ὑφ᾽ ὑμένος· ἐν ταύτῃ δὲ ἐκπέττονται. Γίνεται δὲ μαλακὰ τὰ κυήματα οὕτως, ὥςε ἄν τις ἅψηται, συνθλίβεσθαι. Ταῦτα δὲ οὐκ ἐπιπολῆς, ἀλλὰ μικρὸν ὑπὸ γῆς ἐςιν. Οταν δὲ ἐκπεφθῶσιν, ἐκδύνουσιν

Toutes les araignées s'accouplent de la maniere que j'ai exposée. Ce qui vient d'elles est un petit ver, car c'est le total de ce qu'elles ont produit, & non une partie seulement, qui se transforme en araignée. Ces vers sont, dans le commencement, à-peu-près ronds : l'araignée après les avoir déposés, les couve, & au bout de trois jours on distingue leurs membres. Les araignées, de quelque espece qu'elles soient, déposent leurs petits dans une toile, mais les unes dans une toile légere & mince : les autres dans une toile épaisse. Il y en a dont les petits sont enfermés comme dans un sac rond : d'autres dont les petits ne sont enveloppés de leur toile qu'en partie. Les petites araignées ne sont pas toutes formées au même moment : mais dès qu'elles sont formées, elles sautent & elles filent. Si l'on écrase les vers qui les produisent, il en sort une liqueur épaisse & blanche, telle qu'on la trouve aussi dans les jeunes araignées. Les araignées de pré déposent leur production dans un sac fait de leur toile, dont la moitié est appliquée à leur corps, & l'autre pend. C'est là qu'elles couvent & font éclorre leurs petits. Les phalanges font un filet d'un tissu serré & épais : elles y déposent leurs petits & les y couvent. Les araignées les moins hideuses multiplient peu : les phalanges beaucoup. Quand ces derniers ont pris leur croissance, ils entourent leur mere, la tuent & en jettent les restes. Souvent ils traitent de même le mâle lorsqu'ils l'attrapent, car quelquefois il partage le soin de l'incubation avec sa femelle. On a vu jusqu'à trois cents petits autour d'une phalange. Il faut quatre semaines, ou environ, aux petites araignées pour parvenir à leur grandeur naturelle. XXVII. 22.

Les criquets s'accouplent, & leur accouplement est le même que celui des autres insectes. Le plus petit, qui est le mâle, monte sur le plus grand. La femelle dépose ses œufs dans la terre, qu'elle perce avec le canal qu'elle a auprès de la queue & que le mâle n'a point. Les criquets pondent leurs œufs fort pressés & tous dans le même lieu, de sorte que cela ressemble quelque peu aux gâteaux des abeilles. Après qu'ils ont pondu, il se forme dans cette espece de gâteau, des vers qui ont la forme d'œufs. Ils les enveloppent d'une terre légere qui les recouvre comme une membrane, & où ils se mûrissent. Ce que les criquets pondent est si mou, qu'on l'écrase en le touchant : ils ne le laissent point sur la surface de la terre, mais ils l'y enfoncent XXVIII. 23.

ἐκ τοῦ γεωειδοῦς τοῦ περιέχοντος ἀκρίδες μικραὶ καὶ μέλαιναι, εἶτα περιῤῥήγνυται αὐταῖς τὸ δέρμα, καὶ γίνονται εὐθὺς μείζους. Τίκτουσι δὲ λήγοντος τοῦ θέρους, καὶ τεκοῦσαι ἀποθνήσκουσιν. Ἅμα γὰρ τεκούσαις σκώληκες ἐγγίνονται περὶ τὸν τράχηλον· καὶ οἱ ἄῤῥενες δὲ ἀποθνήσκουσι περὶ τὸν αὐτὸν χρόνον. Ἐκδύνουσι δὲ ἐκ τῆς γῆς τοῦ ἔαρος. Οὐ γίνονται δὲ αἱ ἀκρίδες ἐν τῇ ὀρεινῇ, οὐδ' ἐν τῇ λυπρᾷ, ἀλλ' ἐν τῇ πεδιάδι καὶ κατεῤῥωγυίᾳ· ἐν ταῖς ῥωγμαῖς γὰρ ἐντίκτουσι. Διαμένει γὰρ τὰ ὠὰ τὸν χειμῶνα ἐν τῇ γῇ· ἅμα δὲ τῷ θέρει γίνονται ἐκ τῶν περυσινῶν κυημάτων ἀκρίδες.

XXIX. 24. Ὁμοίως δὲ τίκτουσι καὶ οἱ ἀττέλαβοι· καὶ τεκόντες, ἀποθνήσκουσι. Φθείρεται δ' αὐτῶν τὰ ὠὰ ὑπὸ τῶν μετοπωρινῶν ὑδάτων, ὅταν πολλὰ γένηται· ἂν δὲ αὐχμὸς συμβῇ, τότε γίνονται μᾶλλον ἀττέλαβοι πολλοὶ, διὰ τὸ αὐτὰ μὴ φθείρεσθαι ὁμοίως· ἐπεὶ ἄτακτός γε δοκεῖ εἶναι ἡ φθορὰ αὐτῶν, καὶ γίνεσθαι ὅπως ἂν τύχῃ.

XXX. 25. Τῶν δὲ τεττίγων γένη μέν ἐστι δύο· οἱ μὲν μικροὶ, οἳ πρῶτοι φαίνονται, καὶ τελευταῖοι ἀπόλλυνται· οἱ δὲ μεγάλοι, οἱ ᾄδοντες, ὕστερόν τε γίνονται, καὶ πρότερον ἀπόλλυνται. Ὁμοίως δὲ ἔν τε τοῖς μικροῖς, καὶ ἐν τοῖς μεγάλοις, οἱ μὲν διῃρημένοι εἰσὶ τὸ ὑπόζωμα οἱ ᾄδοντες· οἱ δὲ ἀδιαίρετον ἔχοντες, οὐκ ᾄδουσι. Καλοῦσι δέ τινες τοὺς μὲν μεγάλους καὶ ᾄδοντας, ἀχέτας, τοὺς δὲ μικροὺς, τεττιγόνια· ᾄδουσι δὲ μικρὸν καὶ τούτων οἱ διῃρημένοι. Οὐ γίνονται δὲ τέττιγες ὅπου δένδρα μή ἐστι, διὸ καὶ ἐν Κυρήνῃ οὐ γίνονται ἐν τῷ πεδίῳ, περὶ δὲ τὴν πόλιν πολλοί· μάλιστα δὲ οὗ ἐλαῖαι οὐ γίνονται πολύσκιοι· ἐν γὰρ τοῖς ψυχροῖς οὐ γίνονται τέττιγες, διὸ οὐδὲ ἐν τοῖς εὐσκίοις ἄλσεσιν.

Ὀχεύονται δὲ οἱ μεγάλοι ὁμοίως ἀλλήλοις καὶ οἱ μικροὶ, ὕπτιοι συνδυαζόμενοι πρὸς ἀλλήλους. Ἐναφίησι δὲ ὁ ἄῤῥην εἰς

un peu. Quand ces productions ont acquis leur maturité, il sort de l'enveloppe terreuse dont j'ai parlé, de petits criquets noirs. Leur peau se déchire, & tout à coup ils deviennent plus grands. La ponte des criquets se fait à la fin de l'été, & dès qu'elle est faite ils meurent, car dans le tems même de la ponte, il leur vient des vers autour du cou. Les mâles périssent aussi vers le même tems. Les petits criquets sortent de terre au printems. Ces insectes ne se multiplient ni dans les pays montueux, ni dans les terreins maigres, mais dans les plaines & dans les terres sujettes à se crévasser. C'est dans ces crevasses qu'ils déposent leurs œufs, qui y demeurent tout l'hiver. Dès le commencement de l'été paroissent les criquets, fruits de la ponte de l'année précédente.

Les attelabes font des œufs comme les criquets, & meurent également XXIX.
après cette opération. Quand les pluies de l'automne sont abondantes, elles 24.
font périr leurs œufs. Si la saison est seche, ils multiplient beaucoup, parce que leurs œufs se conservent. Il semble après tout que la multiplication & la destruction de ces œufs ne sont assujetties à aucune regle & se font au hasard.

On distingue deux sortes de cigales : les petites qui paroissent les premie- XXX.
res & meurent les dernieres, & les grandes qui chantent. Celles-ci viennent 25.
les dernieres & disparoissent les premieres. Dans l'une & l'autre espece, celles qui ont une séparation sous la partie antérieure du corps sont celles qui chantent, les autres ne chantent pas. Qelques personnes donnent le nom d'*achetes* aux grandes cigales chanteuses, & aux petites celui de *cigalettes*. Cependant, même dans cette derniere espece, celles qui ont la séparation que je viens de dire chantent quelque peu. Il n'y a point de cigales où il n'y a point d'arbres : ainsi à Cyrene on n'en trouve pas dans la plaine, tandis qu'elles abondent aux environs de la ville, surtout dans les endroits où les oliviers ne font pas un ombrage trop épais : ces insectes n'aiment point les lieux frais, ni par conséquent les bois épais & sombres.

L'accouplement des cigales grandes & petites est le même. Il se fait ventre contre ventre, avec intromission de la part du mâle dans la femelle comme

τὴν θήλειαν, ὥσπερ καὶ τὰ ἄλλα ἔντομα· ἔχει δὲ ἡ θήλεια αἰδοῖον ἐσχισμένον. Η δὲ θήλειά ἐστιν ἐν ᾗ ἐναφίησιν ὁ ἄῤῥην. Τίκτουσι δ' ἐν τοῖς ἀργοῖς, τρυπῶντες ᾧ ἔχουσιν ὄπισθεν ὀξεῖ, καθάπερ καὶ οἱ ἀττέλαβοι· καὶ γὰρ οἱ ἀττέλαβοι τίκτουσιν ἐν τοῖς ἀργοῖς, διὸ πολλοὶ ἐν τῇ Κυρήνῃ γίνονται. Εντίκτουσι δὲ καὶ ἐν τοῖς καλάμοις, ἐν οἷς ἱστᾶσι τὰς ἀμπέλους, διατρυπῶντες τοὺς καλάμους· καὶ ἐν τοῖς τῆς σκίλλης καυλοῖς· ταῦτα δὲ τὰ κυήματα καταῤῥεῖ εἰς τὴν γῆν. Γίνονται δὲ πολλοὶ ὅταν ἐπομβρία γένηται. Οταν δὲ σκώληξ αὐξηθῇ ἐν τῇ γῇ, γίνεται τεττιγομήτρα, καὶ εἰσὶ τότε ἥδιστοι, πρὶν περιῤῥαγῆναι τὸ κέλυφος. Οταν δὲ ἡ ὥρα ἔλθῃ περὶ τροπὰς, ἐξέρχονται νύκτωρ, καὶ εὐθὺς ῥήγνυται τὸ κέλυφος, καὶ γίνονται τέττιγες ἐκ τῆς τεττιγομήτρας. Γίνονται δὲ μέλανες καὶ σκληρότεροι εὐθὺς, καὶ μείζους, καὶ ᾄδουσιν. Εἰσὶ δὲ ἄῤῥενες μὲν οἱ ᾄδοντες, ἐν ἀμφοτέροις τοῖς γένεσι, θήλεις δὲ οἱ ἕτεροι. Καὶ τὸ μὲν πρῶτον ἡδίους οἱ ἄῤῥενες, μετὰ δὲ τὴν ὀχείαν αἱ θήλειαι· ἔχουσι γὰρ ὠὰ λευκά. Αναπετόμενοι δὲ ὅταν σοβήσῃ τις, ἀφιᾶσιν ὑγρὸν, οἷον ὕδωρ, ὃ λέγουσιν οἱ γεωργοὶ ὡς κατουρούντων καὶ ἐχόντων περίττωμα, καὶ τρεφομένων τῇ δρόσῳ. Εὰν δέ τις κινῶν τὸν δάκτυλον προσίῃ ἀπ' ἄκρου, ἐπικάμπτων καὶ ἐκτείνων πάλιν, μᾶλλον ὑπομένουσιν ἢ ἐὰν εὐθὺς ἐκτείνῃ· ἀναβαίνουσι δ' ἐπὶ τὸν δάκτυλον, διὰ τὸ ἀμυδρῶς ὁρᾶν, ὡς ἐπὶ τὸ φύλλον ἀναβαίνοντες κινούμενον.

XXXI. 26. Τῶν δ' ἐντόμων ὅσα σαρκοφάγα μὲν μή ἐστι, ζῇ δὲ χυμοῖς σαρκὸς ζώσης, οἷον οἵ τε φθεῖρες, καὶ ψύλλαι, καὶ κόρεις, ἐκ μὲν τῆς ὀχείας πάντα γεννᾷ τὰς καλουμένας κόνιδας, ἐκ δὲ τούτων ἕτερον οὐδὲν γίνεται πάλιν. Αυτῶν δὲ τούτων γίνονται αἱ μὲν ψύλλαι ἐξ ἐλαχίστης σηπεδόνος· ὅπου γὰρ κόπρος ξηρὰ γένηται, ἐνταῦθα συνίστανται· αἱ δὲ κόρεις ἐκ τῆς ἰκμάδος τῆς ἀπὸ τῶν ζώων συνισταμένης ἐκτός· οἱ δὲ φθεῖρες ἐκ τῶν σαρκῶν.

chez les autres insectes. La femelle a la vulve déchirée. J'entends par la femelle l'individu qui reçoit du mâle. Les cigales déposent leurs œufs dans les terres incultes, où elles font un trou avec cette partie pointue qu'elles portent en arriere. Les attelabes font de même, ils déposent pareillement leurs œufs dans des terres incultes : aussi y en a-t-il beaucoup à Cyrene. Les cigales déposent quelquefois leurs œufs dans les roseaux dont on se sert pour soutenir les vignes : elles percent ces roseaux. D'autres fois elles déposent leurs œufs dans la tige des scilles, mais alors ils sont sujets à couler à terre. Les années pluvieuses sont abondantes en cigales. Le ver de la cigale ayant pris son accroissement en terre, porte le nom de mere de cigale : c'est alors qu'il est de meilleur goût, lorsqu'il n'a pas encore rompu son enveloppe. A l'approche du solstice, il sort la nuit de dessous terre ; son enveloppe se déchire aussi-tôt : c'est une vraie cigale qui devient à l'instant noire, ferme ; grandit & chante. Dans les deux especes ce sont les mâles qui chantent : les femelles sont celles qui ne chantent point. On mange d'abord préférablement les mâles, mais après l'accouplement on aime mieux les femelles, à cause des œufs blancs qu'elles ont. Quand on chasse les cigales, elles jettent en s'envolant, quelque chose de liquide comme de l'eau. Les gens de la campagne disent que c'est leur urine ; ils supposent qu'elles se nourrissent de rosée, & qu'elles ont un excrément. En avançant la main vers une cigale, si on remue le bout du doigt en l'approchant & le retirant alternativement, la cigale ne s'enfuira pas comme elle feroit si on l'approchoit tout d'un coup ; au contraire sa vue est si mauvaise, qu'elle prendra votre doigt pour une feuille que le vent agite, & elle montera dessus.

Les insectes qui, sans se nourrir de chair, vivent néanmoins de sucs qu'ils tirent de la chair d'Animaux vivans, les pous par exemple, les puces & les punaises s'accouplent tous, & le résultat de leur accouplement est ce qu'on appelle des lendes ; mais de ces lendes il ne vient rien. Les puces naissent d'elles-mêmes d'une légere fermentation qui s'excite dans les ordures ; par-tout où il se trouve de la fiente séche, elles s'y forment. Les punaises viennent de l'humeur qui sort des Animaux & qui s'épaissit sur leur peau : XXXI. 26.

Γίνονται δὲ, ὅταν μέλλωσιν, οἷον ἴονθοι μικροὶ οὐκ ἔχοντες πύον, τούτους ἄν τις κεντήσῃ, ἐξέρχονται φθεῖρες. Ενίοις δὲ συμβαίνει τῶν ἀνθρώπων νόσημα, ὅταν ὑγρασία πολλὴ ἐν τῷ σώματι ᾖ, καὶ διεφθάρησάν τινες ἤδη τοῦτον τὸν τρόπον, ὥσπερ Αλκμᾶνά τέ φασι τὸν ποιητὴν, καὶ Φερεκύδην τὸν Σύριον. Καὶ ἐν νόσοις δέ τισι γίνεται πλῆθος φθειρῶν. Εστι δὲ γένος φθειρῶν οἱ καλοῦνται ἄγριοι, καὶ σκληρότεροι τῶν ἐν τοῖς πολλοῖς γιγνομένων· εἰσὶ δὲ οὗτοι καὶ δυσαφαίρετοι ἀπὸ τοῦ σώματος.

Παισὶ μὲν οὖν οὖσιν αἱ κεφαλαὶ φθειρώδεις γίνονται· τοῖς δὲ ἀνδράσιν ἧττον. Γίνονται δὲ καὶ αἱ γυναῖκες τῶν ἀνδρῶν μᾶλλον φθειρώδεις· ὅσοις δ' ἂν ἐγγίνωνται τῇ κεφαλῇ, ἧττον πονοῦσι τὰς κεφαλάς. Εγγίνονται δὲ καὶ τῶν ἄλλων ζώων ἐν πολλοῖς φθεῖρες. Καὶ γὰρ οἱ ὄρνιθες ἔχουσι, καὶ οἵ γε καλούμενοι φασιανοὶ, ἐὰν μὴ κονιῶνται, διαφθείρονται ὑπὸ τῶν φθειρῶν, καὶ τῶν ἄλλων δὲ ὅσα πτερὰ ἔχει, τὸ ἔχον καυλόν· καὶ τῶν ἐχόντων τρίχας, πλὴν ὄνος οὐκ ἔχει οὔτε φθεῖρας οὔτε κρότωνας, οἱ δὲ βόες ἔχουσιν ἄμφω· τὰ δὲ πρόβατα καὶ αἶγες κρότωνας, φθεῖρας δὲ οὐκ ἔχουσι· καὶ ὕες φθεῖρας μεγάλους καὶ σκληρούς· ἐν δὲ τοῖς κυσὶν, οἱ καλούμενοι γίνονται κυνοραισταί. Πάντες δὲ οἱ φθεῖρες, ἐν τοῖς ἔχουσιν, ἐξ αὐτῶν γίνονται τῶν ζώων. Γίνονται δὲ οἱ φθεῖρες μάλιστα ὅταν μεταβάλλωσιν ὕδατα οἷς λούονται, ὅσα ἔχει τῶν λουομένων φθεῖρας. Εν δὲ τῇ θαλάττῃ γίνονται μὲν ἐν τοῖς ἰχθύσι φθεῖρες· οὗτοι δὲ οὐκ ἐξ αὐτῶν τῶν ἰχθύων, ἀλλ' ἐκ τῆς ἰλύος. Εἰσὶ δὲ τὰς ὄψεις ὅμοιοι τοῖς ὄνοις τοῖς πολύποσι, πλὴν τὴν οὐρὰν ἔχουσι πλατεῖαν. Εν δὲ εἶδος ἐστὶ τῶν φθειρῶν τῶν θαλαττίων, καὶ γίνονται πανταχοῦ, μάλιστα δὲ περὶ τὰς τρώγλας. Πάντα δὲ πολύποδά ἐστι ταῦτα, καὶ ἄναιμα, καὶ ἔντομα. Τισὶ δὲ τῶν θύννων οἶστρος γίνεται μὲν περὶ τὰ πτερύγια· ἔστι δὲ ὅμοιος τοῖς σκορπίοις, καὶ τὸ μέγεθος ἡλίκος ἀράχνης. Εν δὲ τῇ θαλάττῃ τῇ ἀπὸ Κυρήνης πρὸς Αἴγυπτον ἐστι περὶ

les pous naissent de la chair. Aux lieux où les pous doivent naître, on voit comme de petites pustules sans pus : en les ouvrant, les pous en sortent. Quelques hommes sont sujets à une maladie qui les produit, & dont le principe est une humidité trop abondante. On a vu des personnes en périr. Telle a été, dit-on, la fin du Poëte Alcman & de Phérécyde de Syrie. Il y a encore certaines maladies dans lesquelles il se forme une multitude de pous. On distingue une espece particuliere de pous qu'on appelle féroces ; ils sont plus durs que les pous communs, & on a beaucoup de peine à les arracher de la peau.

Les enfans sont sujets à avoir des pous à la tête : on y est moins sujet dans l'âge viril, & ces insectes attaquent moins les hommes que les femmes. Ceux qui ont des pous à la tête sont moins tourmentés de douleurs dans cette partie. L'homme n'est pas seul exposé à cette vermine, une multitude d'autres Animaux le sont également. Les oiseaux, par exemple, en ont : & les faisans en périroient s'ils ne se rouloient pas dans la poussiere. Tous les autres Animaux qui ont des aîles formées de plumes à tuyaux, en sont attaqués, & de même ceux qui ont du poil, excepté l'âne qui n'a ni pou ni tique. Le bœuf est sujet à tous les deux : la brebis & la chevre l'est aux tiques & non aux pous. Les porcs ont de grands pous durs : les chiens ont l'insecte que l'on nomme le fléau du chien. En général, le pou est produit de l'animal même qui y est sujet. Les pous des Animaux qui aiment à se baigner & qui sont sujets aux pous, se multiplient davantage lorsque ces Animaux changent d'eau. Les poissons sont attaqués de pous dans la mer, mais ceux-ci ne viennent pas du poisson même : c'est la bourbe qui les produit. Ils ressemblent pour la forme aux cloportes, à l'exception qu'ils ont une queue large. Les pous qui habitent la mer sont tous d'un même genre : il s'en forme par tout, mais particulierement autour des endroits creux. Tous les pous sont insectes à plusieurs pieds & n'ayant point de sang. Il y a des thons sujets à une sorte de mouche asile de la figure du scorpion & de la grandeur de l'araignée, qui s'attache auprès de leurs nageoires. On donne encore le nom de pou, à un poisson qui accompagne le dauphin dans cette partie de

τὸν δελφῖνα ἰχθὺς, ὃν καλοῦσι φθεῖρα, ὃς γίνεται πάντων πιότατος, διὰ τὸ ἀπολαύειν τροφῆς ἀφθόνου, θηρεύοντος τοῦ δελφῖνος.

XXXII. 27. Γίνεται δὲ καὶ ἄλλα ζωδάρια, ὥσπερ ἐλέχθη, τὰ μὲν ἐν ἐρίοις καὶ ὅσα ἐξ ἐρίων ἐστὶν, οἷον οἱ σῆτες, οἳ ἐμφύονται μᾶλλον ὅταν κονιορτώδη ᾖ τὰ ἔρια· μάλιστα δὲ γίνονται ἂν ἀράχνης συγκατακλεισθῇ· ἐκπίνων γὰρ, ἐάν τι ἐνῇ ὑγρὸν, ξηραίνει. Γίνεται δὲ ἐν χιτῶνι ὁ σκώληξ οὗτος. Καὶ ἐν κηρῷ δὲ γίνεται παλαιουμένῳ, ὥσπερ ἐν ξύλῳ, ζῷον ὃ δὴ δοκεῖ ἐλάχιστον εἶναι τῶν ζώων πάντων, καὶ καλεῖται ἀκαρὶ, λευκὸν καὶ μικρόν. Καὶ ἐν τοῖς βιβλίοις ἄλλα γίνεται· τὰ μὲν ὅμοια τῶν ἐν τοῖς ἱματίοις· τὰ δὲ σκορπίοις, ἄνευ τῆς οὐρᾶς, μικρὰ πάμπαν· καὶ ὅλως ἐν πᾶσιν, ὡς εἰπεῖν, ἔν τε τοῖς ξηροῖς ὑγραινομένοις, καὶ ἐν τοῖς ὑγροῖς ξηραινομένοις, ὅσα ἔχει αὐτῶν ζωήν.

Ἔστι δέ τι σκωλήκιον ὃ καλεῖται ξυλοφθόρον, οὐθενὸς ἧττον ἄτοπον τούτων τῶν ζώων. Η μὲν γὰρ κεφαλὴ ἔξω τοῦ κελύφους προσέρχεται ποικίλη, καὶ οἱ πόδες ἐπ᾽ ἄκρου, ὥσπερ τοῖς ἄλλοις σκώληξιν. Εν χιτῶνι δὲ τὸ ἄλλο σῶμα ἀραχνιώδει, καὶ περὶ αὐτὸ κάρφη, ὥστε δοκεῖν προσέχεσθαι βαδίζοντι. Ταῦτα δὲ σύμφυτα τῷ χιτῶνί ἐστιν, ὥσπερ κοχλίαις τὸ ὄστρακον, οὕτω τὸ ἅπαν τῷ σκώληκι, καὶ οὐκ ἀποπίπτει ἀλλ᾽ ἀποσπᾶται ὥσπερ προσπεφυκότα· καὶ ἐάν τις τὸν χιτῶνα περιέλῃ, ἀποθνήσκει, καὶ γίνεται ὁμοίως ἀχρεῖος, ὥσπερ ὁ κοχλίας περιαιρεθέντος τοῦ ὀστράκου. Χρόνου δὲ προϊόντος, γίνεται καὶ οὗτος ὁ σκώληξ χρυσαλλὶς, ὥσπερ καὶ αἱ κάμπαι, καὶ ζῇ ἀκινητίζων. Ο δ᾽ ἐξ αὐτοῦ γίνεται τῶν πτερωτῶν ζώων, οὔπω συνῶπται.

Οἱ δὲ ἐρινεοὶ ἐν τοῖς ἐρινοῖς ἔχουσι τοὺς καλουμένους ψῆνας. Γίνεται δὲ τοῦτο πρῶτον σκωλήκιον· εἶτα ἐμπεριρραγέντος τοῦ δέρματος, ἐκπέτεται τοῦτο ἐγκαταλείπων ὁ ψὴν, καὶ εἰσδύεται εἰς

μετ

mer qui eſt compriſe entre Cyrene & l'Egypte. C'eſt le plus gras de tous les poiſſons, parce que la chaſſe que fait le dauphin lui fournit une nourriture abondante.

Il ſe forme d'autres petits Animaux, comme je l'ai déja dit, dans la laine & XXXII.
dans tout ce qui eſt fait de laine. Ce ſont les teignes, qui y viennent d'autant 27.
plus que les laines ſont plus poudreuſes, & plus encore quand il ſe trouve une araignée enfermée dedans, parce que l'araignée abſorbant ce qu'il peut y avoir d'humidité, la ſécheresſe de la laine augmente. Le ver de la teigne eſt renfermé dans un fourreau. Il ſe forme auſſi des Animaux dans la vieille cire, comme dans le vieux bois. Celui de la cire paroît être le plus petit des Animaux : on le nomme *acari*. Il eſt blanc & fort petit. Il s'en forme dans les livres, de ſemblables à ceux qui viennent dans les habits, & d'autres tels que des ſcorpions, mais extrêmement petits & ſans queue. On peut dire généralement, que tout corps ſec qui devient humide, & tout corps humide qui ſe ſéche, produit des Animaux, pourvu qu'il ſoit ſuſceptible de les nourrir.

Le petit ver qu'on nomme *perce-bois* n'eſt pas moins ſingulier qu'aucun des précédens. Il montre hors d'un étui une tête tachetée ; ſes pieds ſont près de la tête comme dans les autres vers. Le ſurplus de ſon corps eſt enveloppé d'une tunique de la nature de la toile d'araignée, couverte de brins de bois qu'on croiroit que le ver a raſſemblés en marchant, mais ces brins de bois ſont tiſſus avec la tunique même & le tout enſemble eſt au ver ce que la coquille eſt au limaçon. Cet étui ne tombe point de lui-même ; pour l'ôter il faut l'arracher, comme s'il étoit adhérent à ſon corps. Dépouiller ce ver, c'eſt le faire mourir : il n'eſt plus, après cela, capable de rien, comme le limaçon auquel on a enlevé ſa coquille. Avec le tems ce ver devient chryſalide, de même que les chenilles ; il vit ſans mouvement : mais on n'a pas encore obſervé quel eſt l'animal aîlé que donne cette métamorphoſe.

La figue ſauvage produit un animal qu'on nomme *pſen*. C'eſt d'abord un petit ver. Enſuite il rompt ſon enveloppe & vole. Cette enveloppe abandonnée il entre dans la figue, & par l'ouverture qu'il y fait l'empêche de tomber avant qu'elle ſoit parfaitement mûre. C'eſt la cauſe pour laquelle les

τὰ τῶ συκῶν ἐρινὰ, καὶ διαστομῶν, ποιεῖ μὴ ἀποπίπτειν τὰ ἐρινά· διὸ περιάπτουσι τά τε ἐρινὰ πρὸς τὰς συκᾶς οἱ γεωργοὶ, καὶ φυτεύουσι πλησίον ταῖς συκαῖς ἐρινεούς.

XXXIII. 28. Τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ὠοτόκων, αἱ μὲν γενέσεις εἰσὶ τοῦ ἔαρος· ὀχεύεται δὲ οὐ πάντα τὴν αὐτὴν ὥραν· ἀλλὰ τὰ μὲν ἔαρος, τὰ δὲ θέρους, τὰ δὲ περὶ τὸ μετόπωρον, ὡς ἑκάστοις πρὸς τὴν γένεσιν τῶν ἐκγόνων ἡ ἐπιοῦσα ὥρα συμφέρει. Η μὲν οὖν χελώνη, τίκτει ὠὰ σκληρόδερμα καὶ δίχροα, ὥσπερ τὰ τῶν ὀρνίθων· τεκοῦσα δὲ κατορύττει, καὶ τὸ ἄνω ποιεῖ ἐπίκροτον· ὅταν δὲ τοῦτο ποιήσῃ, φοιτῶσα ἐπωάζει ἄνωθεν· ἐκλέπεται δὲ τὰ ὠὰ τῷ ὑστέρῳ ἔτει. Η δ' ἐμὺς ἐξιοῦσα ἐκ τοῦ ὕδατος, τίκτει ὀρύξασα βόθυνον πιθώδη· καὶ ἐντεκοῦσα καταλείπει. Εάσασα δὲ ἡμέρας τριάκοντα, ἀνορύττει καὶ ἐκλέπει ταχὺ, καὶ ἀπάγει εὐθὺς τοὺς νεοττοὺς εἰς τὸ ὕδωρ. Τίκτουσι δὲ καὶ αἱ θαλάττιαι χελῶναι ἐν τῇ γῇ ὠὰ ὅμοια τοῖς ὄρνισι τοῖς ἡμέροις· καὶ κατορύξασαι ἐπωάζουσι τὰς νύκτας. Τίκτουσι δὲ πλῆθος πολὺ ὠῶν· καὶ γὰρ ἑκατὸν τίκτουσιν ὠά.

Τίκτουσι δὲ καὶ σαῦροι, καὶ κροκόδειλοι οἱ χερσαῖοι, καὶ οἱ ποτάμιοι, εἰς τὴν γῆν. Εκλέπεται δὲ τὰ τῶν σαύρων αὐτόματα ἐν τῇ γῇ. Οὐ γὰρ διετίζει ὁ σαῦρος· λέγεται γὰρ ἑξαμηνόβιος εἶναι ὁ σαῦρος. Ο δὲ ποτάμιος κροκόδειλος τίκτει μὲν ὠὰ πολλὰ, τὰ πλεῖστα περὶ ἑξήκοντα, λευκὰ τὴν χρόαν· καὶ ἐπικάθηται ἡμέρας ἑξήκοντα· καὶ γὰρ βιοῖ χρόνον πολύν. Εξ ἐλαχίστων δὲ ὠῶν μέγιστον ζῶον γίνεται ἐκ τούτων· τὸ μὲν γὰρ ὠὸν οὐκ ἔστι μεῖζον χηνείου, καὶ ὁ νεοττὸς τούτου κατὰ λόγον· αὐξανόμενος δὲ γίνεται καὶ ἑπτακαίδεκα πήχεων. Λέγουσι δέ τινες ὡς καὶ αὐξάνεται ἕως ἂν ζῇ.

XXXIV. 29. Τῶν δὲ ὄφεων, ὁ μὲν ἔχις ἔξω ζωοτοκεῖ, ἐν αὐτῷ πρῶτον ὠοτοκήσας· τὸ δὲ ὠὸν, ὥσπερ τῶν ἰχθύων, μονόχρουν ἐστὶ καὶ μαλακόδερμον, ὁ δὲ νεοττὸς ἄνωθεν περιγίνεται, καὶ

cultivateurs accrochent des branches chargées de figues ſauvages auprès de celles qui ſont bonnes à manger, & plantent des figuiers ſauvages dans le voiſinage des figuiers domeſtiques.

Les petits des quadrupedes ſanguins & ovipares naiſſent au printems, mais XXXIII.
l'accouplement dont ils ſont le fruit ne ſe fait pas dans toutes les eſpeces à 28.
la même ſaiſon. Il en eſt qui s'accouplent au printems, d'autres en été, d'autres en automne, ſelon l'intervalle néceſſaire pour que leurs petits viennent dans le tems convenable. La tortue pond des œufs dont l'enveloppe eſt ferme, & qui ſont de deux couleurs, comme ceux des oiſeaux. Elle les enfouit dans la terre dont elle bat la ſurface & vient fréquemment les couver. Ils écloſent l'année ſuivante. La tortue d'eau douce ſort de l'eau pour pondre, elle creuſe une foſſe qui a la forme d'un tonneau, & après y avoir dépoſé ſes œufs, elle les abandonne pendant trente jours. Ce terme paſſé, elle les déterre; fait ſortir en peu de tems ſes petits de leur coque, & auſſitôt les conduit à l'eau. L'œuf de la tortue de mer reſſemble à celui des volailles : elle pond à terre, enfouit ſes œufs & les couve pendant la nuit. Leur nombre eſt conſidérable, il va juſqu'à cent.

Les léſards & les crocodiles, ſoit de terre, ſoit de riviere, dépoſent auſſi leurs œufs à terre. Les œufs des léſards écloſent dans la terre & d'eux-mêmes, car le léſard ne vivant que ſix mois, à ce que l'on dit, ne peut pas aider à les faire éclorre l'année ſuivante. La ponte du crocodile de riviere eſt d'environ ſoixante œufs au plus, dont la couleur eſt blanche. Il les couve ſoixante jours, & cela peut être, puiſqu'il vit long-tems. L'œuf qui produit un ſi grand animal eſt petit: pas plus gros qu'un œuf d'oie. Le petit crocodile eſt, en naiſſant, d'un volume proportionné à celui de l'œuf, il croît enſuite juſqu'à la longueur de dix-ſept coudées : quelques-uns prétendent même qu'il ne ceſſe pas de croître tant qu'il vit.

Entre les ſerpens il faut remarquer la vipere, qui produit extérieurement XXXIV.
un animal vivant, après avoir produit intérieurement un œuf. Cet œuf, 29.
comme ceux des poiſſons, eſt d'une ſeule couleur, & ſon enveloppe eſt

ὃ περιέχει φλοιὸς ὀςρακώδης, ὥσπερ ȣ̓δὲ τὰ τῶν ἰχθύων. Τίκτει δὲ μικρὰ ἐχίδια ἐν ὑμέσιν, οἳ περιῤῥήγνυνται τριταῖοι. Ενίοτε δὲ καὶ ἔσωθεν διαφαγόντα, αὐτὰ ἐξέρχεται. Τίκτει δ' ἐν μιᾷ ἡμέρᾳ καθ' ἕν· τίκτει δὲ πλείω ἢ εἴκοσιν. Οἱ δ' ἄλλοι ὄφεις, ᾠοτοκοῦσιν ἔξω· τὰ δ' ᾠὰ ἀλλήλοις συνεχῆ ἐςιν, ὥσπερ αἱ τῶν γυναικῶν ὑποδερίδες· ὅταν δὲ τέκῃ, εἰς τὴν γῆν ἐπωάζει· ἐκλέπεται δὲ καὶ ταῦτα τῷ ὑςέρῳ ἔτει.



molle. Le petit qui n'est point pressé par une coquille dure, non plus que ceux des poissons, se forme dans la partie supérieure. Les petites viperes naissent enveloppées d'une membrane qui se déchire au bout de trois jours. Quelquefois elles sortent vivantes en rongeant intérieurement ce qui les enveloppoit. La vipere fait plus de vingt petits, elle n'en met bas qu'un seul chaque jour. Les autres serpens produisent, même au dehors, des œufs qui tiennent les uns aux autres : on diroit un collier. Après avoir pondu, ils couvent leurs œufs sous terre. Ces œufs éclosent l'année suivante.





HISTOIRE DES ANIMAUX.

LIVRE SIXIEME.

Sujet de ce Livre.


ARISTOTE a commencé dans le cinquieme Livre à traiter de la génération des animaux ; il continue dans le sixieme Livre, où il décrit la génération des animaux de trois classes fort étendues ; celle des Oiseaux, celle des Poissons, & celle des Quadrupedes. Dans la premiere classe, on ne voit que des individus ovipares ; dans la seconde, le plus grand nombre des individus est ovipare ; dans la troisieme, ce sont les individus vivipares qui dominent.

Un Naturaliste qui embrasse dans son ensemble l'histoire du regne animal entier, n'intéresse pas seulement par la sagacité de ses observations ; il attache, autant au moins, par des comparaisons savantes entre ce qui se passe dans les différentes especes : entre les faits qui les rapprochent ou qui les éloignent. Ainsi les Poissons & les Oiseaux ont des œufs ; mais ces œufs ont des différences comme des analogies, & Aristote fait remarquer les unes & les autres. Les Quadrupedes, les Poissons, les Oiseaux, ont, les femelles, une matrice, les mâles, des vaisseaux destinés à contenir la liqueur séminale ;

mais cette matrice & ces vaiſſeaux, ſemblables ſous certains rapports, différent ſous d'autres. On apprend ici à ne rien confondre, en même tems qu'on eſt averti de ne pas écarter les objets au-delà de ce qu'ils doivent l'être.

C'eſt du reſte la même marche que dans le Livre précédent. En même tems que l'on voit la maniere dont s'opere la reproduction de chaque eſpece, on trouve des obſervations ſur la ſaiſon de l'année, & ſur l'âge des animaux où cette reproduction s'opere ; ſur le tems pendant lequel la faculté de ſe multiplier ſubſiſte dans les individus, & ſur le plus ou moins de puiſſance qu'ils ont pour en réitérer l'uſage.





ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,


ΤΟ F.

1. ΑΙ μὲν οὖν τῶν ὄφεων καὶ τῶν ἐντόμων γενέσεις, ἔτι δὲ καὶ τῶν τετραπόδων ζώων καὶ ὠοτόκων τοῦτον ἔχουσι τὸν τρόπον. Οἱ δὲ ὄρνιθες ὠοτοκοῦσι μὲν ἅπαντες, ἡ δὲ ὥρα τῆς ὀχείας, καὶ οἱ τόκοι, οὐ πᾶσιν ὁμοίως ἔχουσι. Τὰ μὲν γὰρ ὀχεύεται καὶ τίκτει κατὰ πάντα τὸν χρόνον, ὡς εἰπεῖν, οἷον ἀλεκτορὶς καὶ περιστερά. Η μὲν ἀλεκτορὶς ὅλον τὸν ἐνιαυτὸν, ἔξω δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι τροπικῶν. Πλῆθος δὲ τίκτουσιν ἔνιαι καὶ τῶν γενναίων, πρὸ ἐπωασμοῦ, καὶ ἑξήκοντα· καίτοι ἧττον πολυτόκοι αἱ γενναῖαι τῶν ἀγεννῶν εἰσίν. Αἱ δὲ Αδριανικαὶ ἀλεκτορίδες, εἰσὶ μὲν μικραὶ τὸ μέγεθος, τίκτουσι δὲ ἀν' ἑκάστην ἡμέραν· εἰσὶ δὲ χαλεπαὶ, καὶ κτείνουσι τοὺς νεοττοὺς πολλάκις· χρώματα δὲ παντοδαπὰ ἔχουσι. Τίκτουσι δὲ καὶ οἰκογενεῖς ἔνιαι δὶς τῆς ἡμέρας. Ηδη δέ τινες λίαν πολυτοκήσασαι ἀπέθανον διὰ ταχέων. Αἱ μὲν οὖν ἀλεκτορίδες τίκτουσιν, ὥσπερ εἴρηται, συνεχῶς· περιστερὰ δὲ, καὶ φάττα, καὶ τρυγὼν, καὶ οἰνὰς, διτοκοῦσι μὲν, ἀλλ' αἱ περιστεραὶ καὶ δεκάκις τοῦ ἐνιαυτοῦ τίκτουσιν.

Οἱ δὲ πλεῖστοι τῶν ὀρνίθων τίκτουσι τὴν ἐαρινὴν ὥραν· καὶ εἰσὶν οἱ μὲν πολύγονοι αὐτῶν. Πολύγονοι δὲ διχῶς· αἱ μὲν τῷ πολλάκις, ὥσπερ αἱ περιστεραί· αἱ δὲ τῷ πολλὰ, ὥσπερ αἱ ἀλεκτορίδες. Τὰ δὲ γαμψώνυχα πάντα ὀλιγόγονά ἐστιν, ἔξω κεγχρίδος· αὕτη δὲ πλεῖστα τίκτει τῶν γαμψωνύχων, ὦπται μὲν οὖν καὶ τέτταρα ἤδη· τίκτει δὲ καὶ πλείω.

Τίκτουσι δὲ τὰ μὲν ἄλλα ἐν νεοττείαις· τὰ δὲ μὴ πτητικὰ οὐκ ἐν νεοττείαις, οἷον αἵ τε πέρδικες καὶ οἱ ὄρτυγες, ἀλλ' ἐν

HISTOIRE



HISTOIRE DES ANIMAUX.

LIVRE SIXIEME.

La génération des serpens, des insectes & des quadrupedes ovipares expliquée, je passe à celle des oiseaux. Tous les oiseaux sont ovipares, mais tous ne s'accouplent pas & ne pondent pas dans le même tems. Il en est qui s'accouplent & pondent en tout tems, par exemple la poule & le pigeon. La poule est féconde toute l'année, à l'exception des deux mois qui avoisinent le solstice d'hyver. Certaines poules, même parmi celles de la belle race, font jusqu'à soixante œufs avant de couver; cependant elles sont moins fécondes que les poules de race commune. Celles qu'on appelle *poules d'Adria*, sont petites de tailles, mais pondent tous les jours : elles sont coleres & sujettes à tuer leurs poulets ; on en voit de toute couleur. Quelques poules domestiques pondent jusqu'à deux œufs en un jour ; aussi en est-il qui meurent promptement par excès de fécondité. Les poules pondent donc, comme je viens de dire, sans interruption : dans l'espèce du pigeon, du ramier, de la tourterelle, du pigeon vineux, chaque ponte est de deux œufs, & celle du pigeon se repete jusqu'à dix fois dans l'année. I.

La saison dans laquelle la plûpart des oiseaux pondent, est le printems. Les oiseaux sont plus ou moins féconds. On les appelle féconds en deux sens : ou parce qu'ils font plusieurs couvées, comme le pigeon ; ou parce qu'ils pondent beaucoup d'œufs, comme la poule. Tous les oiseaux dont l'ongle est recourbé sont peu féconds, à l'exception de la cresserelle : elle est la plus féconde des oiseaux de ce genre ; on lui a trouvé jusqu'à quatre œufs, elle en pond même davantage.

La plûpart des oiseaux déposent leurs œufs dans des nids : néanmoins ceux qui volent peu, tels que les perdrix & les cailles pondent à terre : ils y

τῇ γῇ, ἐπιλυγαζόμενα ὕλῃ. Ὡσαύτως δὲ καὶ κόρυδες καὶ τέτριξ. Ταῦτα μὲν οὖν ὑπηνέμους ποιεῖται τὰς νεοττεύσεις, ὃν δὲ οἱ Βοιώτιοι καλοῦσι μέροπα εἰς τὰς ὀπὰς ἐν τῇ γῇ καταδυόμενος νεοττεύει μόνος. Αἱ δὲ κίχλαι νεοττείαν μὲν ποιοῦνται, ὥσπερ αἱ χελιδόνες, ἐκ πηλοῦ, ἐπὶ τοῖς ὑψηλοῖς τῶν δένδρων· ἐφεξῆς δὲ ποιοῦσιν ἀλλήλαις καὶ ἐχομένας, ὥστε εἶναι, διὰ τὴν συνέχειαν, ὥσπερ ὁρμαθὸν νεοττειῶν. Ὁ δ᾽ ἔποψ μόνος οὐ ποιεῖται νεοττείαν τῶν καθ᾽ ἑαυτὰ νεοττευόντων· ἀλλ᾽ εἰσδυόμενος εἰς τὰ στελέχη, ἐν τοῖς κοίλοις αὐτῶν τίκτει, οὐδὲν συμφορούμενος. Ὁ δὲ κόκκυξ καὶ ἐν οἰκίᾳ νεοττεύει, καὶ ἐν πέτραις. Ἡ δὲ τέτριξ, ἣν καλοῦσιν οἱ Ἀθηναῖοι οὔραγα, οὔτε ἐπὶ τῆς γῆς νεοττεύει, οὔτε ἐπὶ τοῖς δένδροις, ἀλλ᾽ ἐπὶ τοῖς χαμαιζήλοις φυτοῖς.

II. 2. Τὸ δὲ ὠὸν ἁπάντων ὁμοίως τῶν ὀρνίθων σκληρόδερμόν τέ ἐστιν, ἐὰν γόνῳ γένηται, καὶ μὴ διαφθαρῇ· ἔνια γὰρ μαλακὰ τίκτουσιν αἱ ἀλεκτορίδες· καὶ δίχροα τὰ ὠὰ τὰ τῶν ὀρνίθων, ἐκτὸς μὲν τὸ λευκὸν, ἐντὸς δὲ τὸ ὠχρόν. Διαφέρουσι δὲ τὰ τῶν περὶ ποταμοὺς καὶ λίμνας γινομένων ὀρνέων, πρὸς τὰ τῶν ξηροβιωτικῶν· πολλαπλάσιον γὰρ ἔχει τὰ τῶν ἐνύδρων κατὰ λόγον τὸ ὠχρὸν, πρὸς τὸ λευκόν. Καὶ τὰ χρώματα δὲ τῶν ὠῶν διαφέρει κατὰ γένη τῶν ὀρνίθων. Τῶν μὲν γὰρ λευκά ἐστι τὰ ὠὰ, οἷον περιστερᾶς καὶ πέρδικος· τῶν δὲ ὠχρὰ, οἷον τῶν περὶ τὰς λίμνας· τῶν δὲ κατεστιγμένα, οἷον τὰ τῶν μελεαγρίδων καὶ φασιανῶν. Τὰ δὲ τῆς κεγχρίδος ἐρυθρά ἐστιν, ὥσπερ μίλτος. Ἔχει δὲ τὸ ὠὸν διαφοράν· τῇ μὲν γὰρ ὀξὺ, τῇ δὲ πλατύτερόν ἐστιν· ἐξιόντος δὲ ἡγεῖται τὸ πλατύ. Ἔστι δὲ τὰ μὲν μακρὰ καὶ ὀξέα τῶν ὠῶν, θήλεα· τὰ δὲ στρογγύλα καὶ περιφέρειαν ἔχοντα κατὰ τὸ ὀξὺ, ἄῤῥενα.

Ἐκπέττεται μὲν οὖν ἐπῳαζόντων τῶν ὀρνίθων· οὐ μὴν ἀλλὰ καὶ αὐτόματα ἐν τῇ γῇ, ὥσπερ ἐν Αἰγύπτῳ κατορυττόντων εἰς τὴν γῆν ἐν τῇ κόπρῳ· καὶ ἐν Συρακούσαις δὲ φιλοπότης τις,

rassemblent seulement quelques brindilles pour poser leurs œufs ; de même l'alouette & la *tétrix*. Tous ces oiseaux ont leur nid en plein air ; il en est un, & c'est le seul, qui niche sous terre, dans des trous où il se fourre ; les Bœotiens l'appellent *merops*. Les grives font leur nid sur la cime des arbres, avec de la boue comme les hirondelles. Elles les font l'une à côté de l'autre & sans intervalle : cela forme comme une chaîne de nids. La hupe est la seule de son genre qui ne fasse point de nid : elle entre dans des troncs d'arbres, & dépose ses œufs dans leurs cavités, sans autre préparation. Le coucou niche dans les bâtimens & dans les roches. La *tétrix*, que l'on nomme à Athènes *ourax*, ne niche ni sur la terre nue, ni sur les arbres, mais sur des plantes basses.

Les œufs de tous les oiseaux étant fécondés & dans leur état naturel, sont couverts d'une enveloppe ferme & ont le dedans de deux couleurs, savoir une partie jaune, qui est environnée de blanc. Je dis les œufs qui sont dans leur état naturel, parce qu'il arrive quelquefois que les poules pondent des œufs mous. Les œufs des oiseaux de riviere & de marais, different de ceux des oiseaux qui habitent les lieux secs, en ce que, dans les premiers, le jaune est, par proportion, beaucoup plus considérable que le blanc. La coquille de l'œuf varie aussi, quant à la couleur, selon les différentes especes d'oiseaux. Dans certaines especes, l'œuf est blanc : tel est celui du pigeon & de la perdrix ; dans d'autres il est jaune : tel est l'œuf des oiseaux de marais ; quelques-uns, par exemple ceux de peintade & de faisan, sont marqués de points. Les œufs de la cresserelle sont rouges comme du vermillon. On remarque des différences dans les parties de l'œuf ; il a un côté pointu, l'autre applati : c'est celui-ci qui sort le premier lors de la ponte. Les œufs allongés & pointus renferment des femelles, ceux qui sont plus racourcis & qui ont un cercle vers le petit bout, produisent des mâles. II. 2.

Les œufs éclosent par l'effet de l'incubation de l'oiseau, mais, indépendamment de cette voie, ils éclosent quelquefois d'eux-mêmes dans la terre. En Egypte, par exemple, on en fait éclore dans du fumier qu'on met dans une fosse. On conte qu'à Syracuse, il y eut un buveur qui mit des œufs en

ὑποτιθέμενος ὑπὸ τὸ ψίαθον εἰς τὴν γῆν, τοσοῦτον ἔπινεν, ὥς φασι, χρόνον συνεχῶς, ἕως ἐκλεπείη τὰ ᾠά. Ἤδη δὲ καὶ κείμενα ἐν ἀγγείοις ἀλεεινοῖς, ἐξεπέφθη καὶ ἐξῆλθεν αὐτομάτως.

Ἡ μὲν οὖν γονὴ πάντων τῶν ὀρνίθων λευκὴ, ὥσπερ καὶ τῶν ἄλλων ζώων. Ὅταν δὲ ὀχευθῇ, ἄνω πρὸς τὸ ὑπόζωμα λαμβάνει ἡ θήλεια. Καὶ τὸ μὲν πρῶτον μικρὸν καὶ λευκὸν φαίνεται, ἔπειτα ἐρυθρὸν καὶ αἱματῶδες· αὐξανόμενον δὲ, ὠχρὸν καὶ ξανθὸν ἅπαν. Ὅταν δὲ ἤδη γίγνηται ἁδρότερον, διακρίνεται· καὶ ἔσω μὲν τὸ ὠχρὸν, ἔξω δὲ τὸ λευκὸν περιίσταται. Ὅταν δὲ τελειωθῇ, ἀπολύεται καὶ ἐξέρχεται· οὕτω τῷ καιρῷ ἐκ τοῦ μαλακὸν εἶναι μεταβαλόντος εἰς τὸ σκληρόν· ὥστε ἐξέρχεται μὲν οὔπω πεπηγὸς, ἐξερχόμενον δ' εὐθέως πήγνυται καὶ γίνεται σκληρὸν, ἐὰν μὴ ᾖ νενοσηκός.

Ἐφάνη δὲ ἤδη, οἷον ἐν τινι καιρῷ γίνεται, τὸ ᾠὸν ἅπαντα ὠχρόν· ὁμοίως γάρ ἐστιν ὥσπερ ὕστερον ὁ νεοττός. Τοιαῦτα καὶ ἐν ἀλέκτορι διαιρουμένῳ ὑπὸ τὸ ὑπόζωμα, οὗπερ αἱ θήλειαι ἔχουσι τὰ ᾠὰ, τὸ μὲν εἶδος ὠχρὰ ὅλα, τὸ δὲ μέγεθος ἡλίκα ᾠά· ὃ ἐν τέρατος λόγῳ τιθέασιν. Οἱ δὲ λέγοντες ὅτι ὑπολείμματά ἐστι τὰ ὑπηνέμια τῶν ἔμπροσθεν ἐξ ὀχείας γινομένων, οὐκ ἀληθῆ λέγουσιν· ὦπται γὰρ ἱκανῶς ἤδη ἀνόχευτοι νεοττίδες ἀλεκτορίδων καὶ χηνῶν τεκοῦσαι ὑπηνέμια. Τὰ δὲ ᾠὰ τὰ ὑπηνέμια, ἐλάττω μὲν τῷ μεγέθει γίνεται, καὶ ἧττον ἡδέα, καὶ ὑγρότερα τῶν γονίμων, πλήθει δὲ πλείω. Ὑποτιθεμένων δὲ τῇ ὄρνιθι, οὐδὲν παχύνεται τὸ ὑγρὸν, ἀλλὰ τό τε ὠχρὸν διαμένει καὶ τὸ λευκὸν ὅμοια ὄντα. Γίνεται δὲ ὑπηνέμια πολλῶν, οἷον ἀλεκτορίδος, πέρδικος, περιστερᾶς, ταῶνος, χηνὸς, χηναλώπεκος.

Ἐκλέπεται δὲ ἐπωαζουσῶν, ἐν τῷ θέρει θᾶττον ἢ ἐν τῷ χειμῶνι· ἐν ὀκτωκαίδεκα γὰρ ἡμέραις αἱ ἀλεκτορίδες ἐν τῷ θέρει ἐκλέπουσιν· ἐν δὲ τῷ χειμῶνι, ἐνίοτε πέντε καὶ εἴκοσι.

terre sous sa natte, & qui but, sans discontinuation, jusqu'à ce qu'ils fussent éclos. On a vu aussi des œufs placés dans des vases que l'on échauffoit, se mûrir au point que les petits en sortoient d'eux-mêmes.

Le sperme des oiseaux est généralement blanc, ainsi que celui des autres Animaux. Lorsque la femelle a été couverte, elle conçoit dans la partie supérieure de l'abdomen, au dessous du diaphragme. D'abord il ne paroît qu'un petit point blanc, qui devient ensuite rouge & sanguin. Il augmente & sa substance entiere paroît d'un jaune roux. Devenu plus gros, on y distingue deux couleurs. Le jaune est dans l'intérieur & le blanc autour. Enfin, lorsque l'œuf a acquis sa perfection, il se détache & sort du corps de l'oiseau. C'est en cet instant que, de mou qu'il étoit, il devient dur : au moment de sa sortie il n'est pas encore ferme, mais il le devient aussi-tôt, si quelque vice particulier ne s'y oppose.

Il n'est pas sans exemple, qu'on ait vu des œufs pondus entiérement jaunes, comme ils le sont à une certaine époque dans le corps de l'oiseau : ils sont tels que le sera ensuite le petit. On a aussi trouvé en ouvrant un coq, sous le diaphragme, à l'endroit où les poules ont leurs œufs, de pareils œufs de la grosseur ordinaire, & tout jaunes. Ce sont des faits qu'on met dans la classe des prodiges. Quelques-uns ont prétendu que les œufs qu'on appelle *œufs de vent*, se forment des restes de la matiere des œufs précédemment conçus par la voie de l'accouplement, mais cette assertion est fausse, puisqu'il n'est pas rare que des poulettes & de petites oies, qui n'ont jamais été couvertes, ayent de pareils œufs. Les *œufs de vent* sont plus petits, d'un goût moins agréable, & plus humides que les œufs fécondés : mais ils viennent en plus grand nombre. Si on les donne à couver, les liqueurs ne s'épaississent point ; & le blanc & le jaune demeurent dans leur état naturel. Plusieurs oiseaux pondent de ces sortes d'œufs ; la poule, par exemple, la perdrix, le pigeon, le paon, l'oie, & l'oie-renard.

Le nombre de jours d'incubation nécessaire pour faire éclorre les œufs est moindre en été qu'en hyver. En été, les œufs de poules éclosent au bout de dix-huit jours : en hyver il en faut quelquefois vingt-cinq. Les oiseaux

Διαφέρουσι μέντοι καὶ αἱ ὄρνιθες ὀρνίθων τῷ ἐπωαστικώτεραι εἶναι ἕτεραι ἑτέρων. Ἐὰν δὲ βροντήσῃ ἐπωαζούσης, διαφθείρεται τὰ ᾠά.

Τὰ δὲ καλούμενα ὑπό τινων κυνόσουρα καὶ οὔρινα, γίνεται τοῦ θέρους μᾶλλον. Ζεφύρια δὲ καλεῖται τὰ ὑπηνέμια ὑπό τινων, ὅτι ὑπὸ τὴν ἐαρινὴν ὥραν φαίνονται δεχόμεναι τὰ πνεύματα αἱ ὄρνιθες. Τοιοῦτον δὲ ποιοῦσι καὶ τῇ χειρί πως ψηλαφώμεναι. Γίνεται δὲ τὰ ὑπηνέμια γόνιμα, καὶ τὰ ἐξ ὀχείας ἤδη ἐνυπάρχοντα μεταβάλλει τὸ γένος εἰς ἄλλο γένος, ἐὰν, πρὶν μεταβαλεῖν ἐκ τοῦ ὠχροῦ εἰς τὸ λευκὸν, ὀχεύηται ἡ τὰ ὑπηνέμια ἔχουσα, ἢ τὰ γόνῳ εἰλημμένα ἐξ ἑτέρου ὄρνιθος· καὶ γίνεται τὰ μὲν ὑπηνέμια γόνιμα, τὰ δὲ προυπάρχοντα κατὰ τὸν ὕστερον ὀχεύοντα ὄρνιθα. Ἂν δὲ ἤδη μετέβαλλον εἰς τὸ λευκὸν, οὐδὲν μεταβάλλονται, οὔτε τὰ ὑπηνέμια ὥστε γίνεσθαι γόνιμα, οὔτε τὰ γόνῳ κυούμενα ὥστε μεταβάλλειν εἰς το τοῦ ὀχεύοντος γένος. Καὶ ἐὰν ὑπαρχόντων δὲ μικρῶν διαλείπῃ ἡ ὀχεία, οὐδὲν ἐπαυξάνεται τὰ προυπάρχοντα· ἐὰν δὲ πάλιν ὀχεύηται, ταχεῖα γίνεται ἡ ἐπίδοσις εἰς τὸ μέγεθος.

Ἔχει δὲ φύσιν τοῦ ᾠοῦ τό τε ὠχρὸν καὶ τὸ λευκὸν ἐναντίαν, οὐ μόνον τῷ χρώματι, ἀλλὰ καὶ τῇ δυνάμει. Τὸ μὲν γὰρ ὠχρὸν ὑπὸ τοῦ ψύχους πήγνυται, τὸ δὲ λευκὸν οὐ πήγνυται, ἀλλ' ὑγραίνεται μᾶλλον. Ὑπὸ δὲ τοῦ πυρὸς, τὸ μὲν λευκὸν πήγνυται· τὸ δὲ ὠχρὸν οὐ πήγνυται, ἀλλὰ μαλακὸν διατελεῖ, ἂν μὴ κατακαυθῇ· καὶ μᾶλλον ἑψομένου ἢ πυρουμένου συνίσταται καὶ ξηραίνεται. Ἑκάτερον δὲ χωρὶς ἐν ὑμένι διείληπται ἀπ' ἀλλήλων.

Αἱ δὲ πρὸς τῇ ἀρχῇ τοῦ ὠχροῦ χάλαζαι, οὐδὲν συμβάλλονται πρὸς τὴν γένεσιν, ὥσπερ τινες ὑπολαμβάνουσιν. Εἰσὶ δὲ δύο· ἡ μὲν κάτωθεν, ἡ δὲ ἄνωθεν. Συμβαίνει δὲ περὶ τὸ ὠχρὸν καὶ τὸ λευκὸν, καὶ ὅταν ἐξαιρεθέντα συγκεράσῃ τις πλείω τοιαῦτα

ne sont pas non plus tous d'une assiduité égale à couver. S'il tonne pendant la durée de l'incubation, les œufs tournent.

Les œufs qu'on nomme *urines* & *urines de chien*, se font principalement en été. Quelques personnes appellent les *œufs de vent*, *œufs de zéphyre*, parce que c'est au printems que les oiseaux paroissent prendre le vent : mais on leur fait produire aussi de ces œufs en leur touchant la vulve, avec la main, d'une certaine maniere. Les *œufs de vent*, peuvent devenir féconds; & ceux même qui sont le fruit de l'accouplement d'un premier mâle, changeront d'espece, pourvû qu'avant le tems où le blanc se forme, la femelle qui les porte soit couverte par un mâle d'une autre espece. Jusques-là les *œufs de vent* sont susceptibles d'être fécondés, & ceux qui provenoient d'un accouplement antérieur produiront des petits de l'espece du mâle qui aura couvert la femelle en dernier; mais on n'y réussit plus, lorsque le changement d'une partie du jaune pour former le blanc est déja opéré. Si le mâle cesse de couvrir la femelle après que les œufs sont formés, tandis qu'ils sont encore petits, ils ne grossissent point; l'accouplement repeté accelere l'augmentation de leur volume.

Le blanc & le jaune de l'œuf ne different pas moins par la nature de leur substance que par la couleur. Le froid qui durcit le jaune, liquefie le blanc loin de le durcir; au contraire le blanc durcit au feu, mais le jaune n'y durcit point, à moins qu'on ne pousse la chaleur à un fort degré. Le jaune se prend & se desséche plus si on met l'œuf dans l'eau bouillante, que si on l'expose au feu nud. Le blanc & le jaune sont enfermés séparément chacun dans une membrane.

Les globules qui se trouvent au commencement du jaune, ne concourent en rien à la formation du petit : c'est à tort que quelques personnes l'ont prétendu. Il y a deux de ces globules, l'un en haut & l'autre en bas. On remarqué que si l'on jette indistinctement dans un plat, le blanc & le jaune d'une certaine quantité d'œufs qu'on aura ouverts, & qu'on cuise le tout à

εἰς κύστιν, καὶ ἕψῃ μαλακῷ καὶ μὴ συντόνῳ πυρί, τὸ ὠχρὸν εἰς τὸ μέσον συνέρχεται πᾶν, τὸ δὲ λευκὸν κύκλῳ περιίσταται.

3. Τῶν δὲ ἀλεκτορίδων αἱ νεοττίδες, τίκτουσι πρῶτον εὐθὺς ἀρχομένου τοῦ ἔαρος· καὶ πλείω δὲ τίκτουσιν ἢ αἱ πρεσβύτεραι· ἐλάττω δὲ τῷ μεγέθει τὰ ἐκ τῶν νεωτέρων. Ὅλως δὲ ἐὰν μὴ ἐπωάζωσιν αἱ ὄρνιθες διαφθείρονται καὶ κάμνουσιν. Ὀχευθεῖσαι δὲ αἱ μὲν ὄρνιθες φρίττουσί τε καὶ ἀποσείονται, καὶ πολλάκις κάρφος περιβάλλονται· ποιοῦσι δὲ τὸ αὐτὸ τοῦτο καὶ τεκοῦσαι ἐνίοτε· αἱ δὲ περιστεραὶ ἐφέλκουσι τὸ ὀῤῥοπύγιον· οἱ δὲ χῆνες καταχολυμβῶσιν. Αἱ δὲ κυήσεις καὶ αἱ τῶν ὑπηνεμίων ᾠῶν συλλήψεις ταχεῖαι γίνονται ταῖς πλείσταις τῶν ὀρνίθων, οἷον καὶ τῇ πέρδικι, ὅταν ὀργᾷ πρὸς τὴν ὀχείαν. Εὰν γὰρ καταπνευθῇ τοῦ ἄῤῥενος, κυίσκεται, καὶ εὐθὺς ἄχρηστος γίνεται πρὸς τὰς θήρας· ὄσφρησιν γὰρ δοκεῖ ἔχειν ἐπίδηλον ὁ πέρδιξ.

Η δὲ τοῦ ᾠοῦ γένεσις μετὰ τὴν ὀχείαν, καὶ ἐκ τοῦ ᾠοῦ πάλιν συμπεττομένου ἡ τοῦ νεοττοῦ γένεσις, οὐκ ἐν ἴσοις χρόνοις συμβαίνει πᾶσιν, ἀλλὰ διαφέρει κατὰ μεγέθη τῶν γεννώντων. Συνίσταται δὲ τὸ τῆς ἀλεκτορίδος ᾠὸν μετὰ τὴν ὀχείαν, καὶ τελειοῦται τὸ ᾠὸν ἐν δέχ᾽ ἡμέραις ὡς ἐπιτοπολύ· καὶ τῆς περιστερᾶς δὲ, ἐν μικρῷ ἐλάττονι. Δύνανται δ᾽ αἱ περιστεραὶ ἤδη τοῦ ᾠοῦ ἐν ὠδῖνι ὄντος, κατέχειν. Εὰν γάρ τι ἐνοχληθῇ ὑπό τινος, ἢ περὶ τὴν νεοττείαν, ἢ πτερὸν ἐκτιλθῇ, ἢ ἄλλό τι πονήσῃ, ἢ καὶ δυσαρεστήσῃ, κατέχει καὶ οὐ τίκτει, μελήσασα. Ιδια δὲ περὶ τὰς περιστερὰς συμβαίνει καὶ τάδε περὶ τὴν ὀχείαν· κύουσί τε γὰρ ἀλλήλας ὅταν μέλλῃ ἀναβαίνειν ὁ ἄῤῥην, πρὶν ἂν ὀχεύσῃ· ὁ μὲν πρεσβύτερος τὸ πρῶτον, ὕστερον μέντοι ἀναβαίνει καὶ μὴ κύσας· οἱ δὲ νεώτεροι αἰεὶ τοῦτο ποιήσαντες ὀχεύουσι. Τοῦτό τε ἴδιον ποιοῦσι, καὶ ἔτι αἱ θήλειαι ἀλλήλαις ἀναβαίνουσιν, ὅταν ὁ ἄῤῥην μὴ παρῇ, κύσασαι ὥσπερ οἱ ἄῤῥενες· καὶ οὐθὲν προϊέμεναι εἰς ἀλλήλας τίκτουσιν ᾠὰ πλείω ἢ τὰ γόνῳ γινόμενα, ἐξ ὧν οὐ

un feu doux & modéré, la totalité du jaune se rassemblera au milieu, & que le blanc formera un cercle autour.

Les jeunes poules commencent à pondre dès le retour du printems, & 3.
elles pondent plus que les vieilles, mais leurs œufs sont moins gros. Généralement parlant, les femelles qui ne couvent point, souffrent de cette privation & en deviennent malades. Après l'accouplement, les femelles frissonnent & secouent leurs plumes ; souvent on les voit jetter autour d'elles des brins de paille. Elles le font aussi quelquefois après avoir pondu. La femelle du pigeon releve alors son croupion : celle de l'oie se va plonger dans l'eau. La plûpart des oiseaux sont prompts à concevoir des œufs féconds ou inféconds ; par exemple, lors que la perdrix est fortement en amour, il suffit que le vent lui apporte l'odeur du mâle, pour la faire concevoir, & dès ce moment elle ne peut plus servir d'appeau : car il paroît que le coq de la perdrix à une odeur fort sensible.

Le tems nécessaire, soit pour la formation de l'œuf après l'accouplement, soit pour celle du petit dans l'œuf, par l'effet de la chaleur, n'est pas le même dans toutes les especes : il varie selon la grandeur des oiseaux. Ordinairement il faut dix jours, à compter de l'accouplement, pour que l'œuf de la poule soit parfaitement formé : & un peu moins de tems pour celui du pigeon. La femelle du pigeon peut, au moment du travail de la ponte, retenir son œuf, si on la trouble, s'il arrive quelque dérangement à son nid, si on lui arrache une plume : en un mot, si quelque chose lui fait mal ou lui donne de l'humeur ; dans ces momens d'inquiétude, elle ne pond point & arrête son œuf. Un autre particularité de l'accouplement des pigeons, c'est qu'ils commencent par se baiser avant que le mâle monte sur la femelle. Les vieux pigeons baisent leur femelle avant de les couvrir la premiere fois, mais ils continuent ensuite sans réitérer leurs baisers : au lieu que les jeunes ne s'accouplent pas une seule fois sans s'être baisés. Les pigeons femelles se couvrent l'une l'autre à défaut de mâle, & elles ne le font, comme les mâles, qu'après s'être baisées ; mais, ne pouvant point se féconder, leurs œufs,

γίνεται νεοττὸς οὐδεὶς, ἀλλ' ὑπηνέμια πάντα τὰ τοιαῦτα ἐστιν.

III. Η δὲ γένεσις ἐκ τοῦ ᾠοῦ τοῖς ὄρνισι συμβαίνει μὲν τὸν αὐτὸν
4. τρόπον πᾶσιν, οἱ δὲ χρόνοι διαφέρουσι τῆς τελειώσεως, καθάπερ εἴρηται. Ταῖς μὲν οὖν ἀλεκτορίσι τριῶν ἡμερῶν καὶ νυκτῶν παρελθουσῶν ἐπισημαίνει τὸ πρῶτον· ταῖς δὲ μείζοσιν αὐτῶν ὄρνισιν, ἐν πλείοσι· ταῖς δ' ἐλάττοσιν, ἐν ἐλάττοσι. Γίνεται δὲ ἐν τούτῳ τῷ χρόνῳ ἤδη ἄνω τὸ ὠχρὸν προεληλυθὸς πρὸς τὸ ὀξὺ, ᾗπερ ἡ ἀρχὴ τοῦ ᾠοῦ, καὶ ἐκλέπεται τὸ ᾠόν· καὶ ὅσον στιγμὴ αἱματίνη ἐν τῷ λευκῷ ἡ καρδία. Τοῦτο δὲ τὸ σημεῖον πηδᾷ καὶ κινεῖται, ὥσπερ ἔμψυχον· καὶ ἀπ' αὐτοῦ δύο πόροι φλεβικοὶ ἔναιμοι ἑλισσόμενοι, οἳ φέρουσιν αὐξανομένου εἰς ἑκάτερον τοῖν χιτώνων τῶν περιεχόντων. Καὶ ὑμὴν δὲ αἱματικὰς ἶνας ἔχων ἤδη περιέχει τὸ λευκὸν κατὰ τὸν χρόνον τοῦτον, ἀπὸ τῶν πόρων τῶν φλεβικῶν· ὀλίγον δ' ὕστερον, καὶ τὸ σῶμα ἤδη ἀποκρίνεται, μικρὸν πρῶτον πάμπαν καὶ λευκόν. Δήλη δ' ἡ κεφαλὴ, καὶ ταύτης οἱ ὀφθαλμοὶ μάλιστα ἐμπεφυσημένοι· καὶ τοῦτο μέχρι πόῤῥω διατελεῖ· ὀψὲ γάρ ποτε μικροὶ γίνονται καὶ συμπίπτουσι. Τοῦ δὲ σώματος τὸ κάτω μέρος οὐδὲν φαίνεται μόριον πρὸς τὸ ἄνω πρῶτον. Τῶν δὲ πόρων τῶν ἐκ τῆς καρδίας τεινόντων, ὁ μὲν φέρει εἰς τὸ κύκλῳ περιέχον, ὁ δὲ εἰς τὸ ὠχρὸν, ὥσπερ ὀμφαλὸς ὤν. Η μὲν οὖν ἀρχὴ τοῦ νεοττοῦ ἐστιν ἐκ τοῦ λευκοῦ, ἡ δὲ τροφὴ διὰ τοῦ ὀμφαλοῦ ἐκ τοῦ ὠχροῦ.

Δεκαταίου δὲ ἤδη ὄντος, ὁ νεοττὸς ὅλος διάδηλος, καὶ τὰ μέρη πάντα. Εχει δ' ἔτι τὴν κεφαλὴν μείζω τοῦ ἄλλου σώματος, καὶ τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς, οὐκ ἔχοντάς πω ὄψιν. Γίνονται δὲ οἱ ὀφθαλμοὶ περὶ τὸν χρόνον τοῦτον ἐξαιρόμενοι μείζους κυάμων, καὶ μέλανες· ἀφαιρουμένου δὲ τοῦ δέρματος, ὑγρὸν ἔνεστι λευκὸν καὶ ψυχρὸν, σφόδρα στίλβον πρὸς τὴν αὐγὴν, στερεὸν δὲ οὐδέν.

quoique venant en plus grand nombre, sont stériles : tous ces œufs ne sont que des *œufs de vent.*

Toutes les especes d'oiseaux se forment également d'un œuf : il n'y a de différence que dans le tems nécessaire pour les faire éclorre, comme je viens de dire. Dans l'œuf de la poule, les premiers signes de la formation du poulet commencent à paroître après trois jours & trois nuits. Ils sont plus tardifs dans les œufs des oiseaux plus gros que les poules ; plus prompts dans ceux des oiseaux plus petits. A cette époque, le jaune est déja monté vers la partie la plus aigue de l'œuf ; c'est à cette partie qu'est le commencement de l'œuf ; c'est où le petit éclot. On y voit d'abord dans le blanc, une espece de point de sang : c'est le cœur. Ce point saute, & il a du mouvement, comme s'il étoit animé. Il donne naissance à deux vaisseaux sanguins de la nature des veines, qui forment plusieurs contours, & qui, à mesure que le petit augmente, se portent à chacune des tuniques environnantes. Vers le même tems le blanc est entouré d'une membrane qui a des fibres sanguines dont les vaisseaux veineux sont le principe. Peu après, on distingue le corps du poulet ; il est encore très-petit & blanc : cependant on reconnoît la tête, & dans la tête, les yeux qui sont très-saillans. Cet état des yeux demeure long-tems le même ; ce n'est qu'après plusieurs jours qu'ils diminuent & s'affaissent. Quant à la partie inférieure du corps, il n'y paroît d'abord aucun membre correspondant aux parties supérieures. Des deux vaisseaux qui partent du cœur, l'un se porte à la membrane extérieure, l'autre va vers le jaune : & sert de cordon ombilical. C'est donc le blanc qui contient le principe de l'animal ; le jaune lui fournit la nourriture : & il la prend par l'ombilic. III. 4.

Le sixieme jour de l'incubation, on voit distinctement le poulet entier & toutes ses parties : sa tête est encore trop grosse pour le reste du corps, & ses yeux très-gros pour sa tête. L'œil n'a point de prunelle, il est fort élevé, plus gros qu'une feve & sa couleur est noire. La peau qui le couvre étant enlevée, on ne trouve dessous qu'une liqueur blanche & froide, très-brillante au grand jour ; mais rien de ferme.

Τὰ μὲν οὖν περὶ τὰ ὄμματα καὶ τὴν κεφαλὴν τοῦτον διάκειται τὸν τρόπον. Ἔχει δ' ἐν τῷ χρόνῳ τούτῳ καὶ τὰ σπλάγχνα ἤδη φανερὰ, καὶ τὰ περὶ τὴν κοιλίαν, καὶ τὴν τῶν ἐντέρων φύσιν· καὶ αἱ φλέβες αἱ ἀπὸ τῆς καρδίας φαινόμεναι τείνειν, πρὸς τῷ ὀμφαλῷ ἤδη γίγνονται. Ἀπὸ δὲ τοῦ ὀμφαλοῦ τέταται φλὲψ, ἡ μὲν πρὸς τὸν ὑμένα τὸν περιέχοντα τὸ ὠχρόν· τὸ δ' ὠχρὸν ἐν τούτῳ τῷ χρόνῳ ὑγρὸν ἤδη ἐστὶ, καὶ πλεῖον ἢ τὸ κατὰ φύσιν· ἡ δὲ ἑτέρα εἰς τὸν ὑμένα τὸν περιέχοντα ὅλον τὸν ὑμένα ἐν ᾧ ὁ νεοττὸς, καὶ τὸν τοῦ ὠχροῦ ὑμένα, καὶ τὸ μεταξὺ τούτων ὑγρόν. Αὐξανομένου γὰρ τοῦ νεοττοῦ κατὰ μικρὸν, τοῦ ὠχροῦ τὸ μὲν ἄνω γίνεται, τὸ δὲ κάτω· ἐν μέσῳ δὲ λευκὸν ὑγρόν· τοῦ δὲ κάτω ὠχροῦ, λευκὸν καὶ κάτωθεν, ὥσπερ τὸ πρῶτον, ὑπῆρχε. Δεκαταίου δὲ ὄντος, τὸ λευκὸν ἔσχατον γίνεται ὀλίγον ἤδη ὂν, καὶ γλίσχρον, καὶ παχὺ, καὶ ὕπωχρον. Τέτακται γὰρ τῇ θέσει ἕκαστα τόνδε τὸν τρόπον. Πρῶτος μὲν καὶ ἔσχατος πρὸς τὸ ὄστρακον ὁ τοῦ ᾠοῦ ὑμὴν, οὐχ ὁ τοῦ ὀστράκου, ἀλλ' ὑπ' ἐκεῖνον. Ἐν δὲ τούτῳ λευκὸν ἔνεστιν ὑγρὸν, εἶτα ὁ νεοττὸς, καὶ ὁ περὶ αὐτὸν ὑμὴν χωρίζων, ὅπως μὴ ᾖ ἐν ὑγρῷ ὁ νεοττός. Ὑπὸ δὲ τὸν νεοττὸν, τὸ ὠχρὸν, εἰς ὃ τῶν φλεβῶν ἔφερεν ἡ ἑτέρα· ἡ δ' ἑτέρα εἰς τὸ περιέχον λευκόν. Τὸ δὲ πᾶν περιέχει ὑμὴν μετὰ ὑγρότητος ἰχωροειδοῦς. Εἶτα ἄλλος ὑμὴν περὶ αὐτὸ ἤδη τὸ ἔμβρυον, ὥσπερ εἴρηται, χωρίζων πρὸς τὸ ὑγρόν. Ὑποκάτω δὲ τούτου, ὠχρὸν ἐν ἑτέρῳ ὑμένι περιειλημμένον, εἰς ὃ τείνει ὀμφαλὸς ὁ ἀπὸ τῆς καρδίας καὶ τῆς μεγάλης φλεβὸς φέρων· ὥστε μὴ εἶναι τὸ ἔμβρυον ἐν οὐδετέρᾳ τῶν ὑγροτήτων·

Περὶ δὲ τὴν εἰκοστὴν, ἤδη φθέγγεταί τε κινούμενος ἔσωθεν, ἄν τις κινεῖ διελών· καὶ ἤδη δασὺς γίνεται, ὅταν ὑπὲρ τὰς εἴκοσι γίγνηται ἡ ἐκκόλαψις τῶν ᾠῶν. Ἔχει δὲ τὴν κεφαλὴν ὑπὲρ τοῦ δεξιοῦ σκέλους ἐπὶ τῇ λαγόνι· τὴν δὲ πτέρυγα ὑπὲρ τῆς κεφαλῆς· καὶ φανερὸς κατὰ τοῦτον τὸν χρόνον, ὅ τε χοριώδης ὑμὴν,

Tel est l'état de la tête & des yeux. On reconnoît dès ce même tems les visceres, l'estomac & les parties qui lui appartiennent, avec les intestins. Les veines qu'on voyoit partir du cœur s'approchent alors de l'ombilic; de cet ombilic partent deux veines, dont la premiere va à la membrane qui enferme le jaune; or le jaune alors devient liquide & plus abondant qu'il ne paroîtroit devoir l'être. La seconde veine se rend à une membrane qui enveloppe & la membrane où le poulet est renfermé, & celle qui contient le jaune, & la liqueur dans laquelle nage l'une & l'autre: parce qu'à mesure que l'accroissement insensible du petit s'opere, le jaune se partage vers le haut & vers le bas, & il s'insinue entre deux une liqueur blanche. Au dessous de la partie inférieure du jaune est encore du blanc, comme il y en avoit d'abord: mais au dixieme jour ce blanc diminue: déja il est visqueux, épais & jaunâtre. Voici donc, au dixieme jour, la distribution des différentes parties de l'oeuf. La premiere & la derniere chose qu'on trouve auprès de la coquille, c'est la membrane commune de l'œuf. Je ne parle point d'une membrane particuliere à la coquille, qui enveloppe encore celle dont il s'agit. La membrane de l'oeuf contient une liqueur blanche, puis le poulet, mais enfermé dans une membrane qui le sépare de cette liqueur. Au dessous du petit, est le jaune auquel aboutit une des veines qui ont été décrites, tandis que l'autre se porte au blanc qui est autour. On trouve d'abord la membrane qui enferme le tout & une humeur qui a la nature de la lymphe; ensuite la membrane qui enferme l'embryon, & qui, comme j'ai dit, le sépare des liqueurs; au dessous est le jaune enveloppé d'une troisieme membrane: c'est là que se porte l'ombilic qui part du cœur & de la grande veine. L'embryon ne nage donc ni dans l'une ni dans l'autre de ces liqueurs.

Le vingtieme jour venu, si l'on détache une partie de la coquille, & qu'on touche le poulet, il commence à piauler & fait quelques mouvemens. Lorsque la durée de l'incubation est prolongée au-delà de vingt jours, il commence alors à se couvrir de duvet. Sa tête est placée sur la cuisse droite, à la région du flanc, & recouverte de l'aîle. On distingue clairement

ὁ μετὰ τὸν τοῦ ὀστράκου ὑμένα τὸν ἔσχατον, εἰς ὃν ἔτεινεν ὁ ἕτερος τῶν ὀμφαλῶν· καὶ ὁ νεοττὸς ἐν τούτῳ δὴ γίνεται τότε ὅλος· καὶ ὁ ἕτερος ὑμὴν, χοριώδης ὢν, ὁ περὶ τὸ ὠχρὸν, εἰς ὃ ἔτεινεν ὁ ἕτερος ὀμφαλός. Ἄμφω δ' ἤστην ἀπό τε τῆς καρδίας καὶ τῆς φλεβὸς τῆς μεγάλης. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ὁ μὲν πρὸς τὸ ἔξω χορίον ὀμφαλὸς τείνων ἀπολύεται τοῦ ζώου συμπεπτωκώς· ὁ δὲ εἰς τὸ ὠχρὸν φέρων, συνήρτηται τοῦ νεοττοῦ πρὸς τὸ ἔντερον τὸ λεπτὸν, καὶ ἔσω τοῦ ὠχροῦ πολὺ ἤδη γίνεται ἐν τῷ νεοττῷ, καὶ ὑπόστημα ἐν τῇ κοιλίᾳ ὠχρόν. Καὶ περίττωμα δὲ ἀφίησι περὶ τὸν χρόνον τοῦτον, πρὸς τὸ ἔξω χορίον. Καὶ ἐν τῇ κοιλίᾳ δὲ ἔχει λευκὸν, καὶ τὸ ἔξω περίττωμα, καὶ ἔσω τὶ ἐγγίνεται λευκόν. Τέλος δὲ τὸ ὠχρὸν, ἀεὶ ἔλαττον γινόμενον καὶ προϊὸν, ἀναλίσκεται πάμπαν, καὶ ἐμπεριλαμβάνεται ἐν τῷ νεοττῷ· ὥστε ἤδη ἐκκεκολαμμένου δεκαταίου, ἄν τις ἀνασχίσῃ, ἔτι πρὸς τῷ ἐντέρῳ μικρόν τι τοῦ ὠχροῦ λείπεται· ἀπὸ δὲ τοῦ ὀμφαλοῦ ἀπολέλυται, καὶ οὐδὲν γίνεται μεταξὺ, ἀλλὰ ἀνήλωται πᾶν. Περὶ δὲ τὸν χρόνον τὸν πρότερον ῥηθέντα, καθεύδει μὲν ὁ νεοττὸς· ἐγείρεται δὲ καὶ ἀναβλέπει κινούμενος, καὶ φθέγγεται· καὶ ἡ καρδία ἅμα τῷ ὀμφαλῷ ἀναφυσᾷ, ὡς ἀναπνέοντος.

Η μὲν οὖν γένεσις ἐκ τοῦ ᾠοῦ τοῖς ὄρνισι τοῦτον ἔχει τὸν τρόπον. Τίκτουσι δὲ αἱ ὄρνιθες ἔνια ἄγονα τῶν ᾠῶν, καὶ τὰ ἐξ ὀχείας γινόμενα· καὶ ἐπωαζουσῶν, οὐδὲν γίνεται ἔκγονον. Τεθεώρηται δὲ τοῦτο μάλιστα ἐπὶ τῶν περιστερῶν.

Τὰ δὲ δίδυμα τῶν ᾠῶν, δύο ἔχει λεκίθους· ὧν τὰ μὲν διείργει τοῦ μὴ εἰς ἄλληλα συγκεχύσθαι τὰ ὠχρὰ τοῦ λευκοῦ λεπτὴ διάφυσις, τὰ δ' οὐκ ἔχει ταύτην τὴν διάφυσιν, ἀλλὰ συμψαύουσιν. Εἰσὶ δ' ἔνιαι ἀλεκτορίδες, αἳ πάντα δίδυμα τίκτουσιν, ὡς ἐπὶ τούτων ὦπται τὸ περὶ τὴν λέκιθον συμβαῖνον. Οκτωκαίδεκα γάρ τις τεκοῦσα ἐξέλεψε δίδυμα, πλὴν ὅσα οὔρινα

à cette époque les deux membranes qui servent l'une & l'autre de chorion : tant celle qui est après la derniere membrane de la coquille dans laquelle le poulet est alors tout entier, & à laquelle l'un des cordons ombilicaux va rendre, que celle qui est autour du jaune & à laquelle rend l'autre cordon ombilical. Ils partent tous deux du cœur & de la grande veine ; mais à ce même tems celui qui va au chorion extérieur s'affaisse & se détache du poulet. Le cordon ombilical qui communique au jaune, est attaché dans le poulet à l'intestin grêle. Une grande partie du jaune a déja passé dans le poulet, & on trouve dans son estomac un sédiment jaune. Au même tems encore, le poulet commence à rendre des excrémens qui se déposent vers le chorion extérieur : il a dans les intestins quelque chose de blanc, & ses excrémens, tant ceux qu'il a dans ses intestins que ceux qu'il a rejettés, sont de la même couleur. A la fin, le jaune qui a toujours été en diminuant & en s'épuisant, est tout-à-fait absorbé ; le poulet l'a consommé en entier. Dix jours après qu'il est éclos, on trouve encore, en l'ouvrant, quelques restes de jaune dans ses intestins. Le poulet se détache du cordon ombilical, sans qu'il en reste absolument aucune trace sur son corps. Pendant l'intervalle qui vient d'être décrit, le poulet dort, mais si on l'agite, il s'éveille, regarde & piaule. On voit son cœur & le cordon ombilical s'élever comme par le mouvement de la respiration.

Tel est le détail de la formation de l'oiseau dans l'œuf ; mais quelquefois il se rencontre des œufs stériles quoiqu'ils soient le fruit de l'accouplement : l'incubation ne fait rien venir de ces œufs. Cette observation a été faite surtout à l'égard des pigeons.

Les œufs qui doivent produire deux petits ont deux jaunes, quelquefois séparés par une legere couche de blanc qui les empêche de se confondre : quelquefois réunis par le défaut de cette séparation. Il y a des poules dont tous les œufs sont doubles : c'est sur leurs œufs qu'on a fait ces observations. De dix-huit œufs qu'une poule couvoit, il sortit deux poulets de chacun, excepté de ceux qui se trouverent clairs. On observa que des deux petits

ἐγένετο. Τὰ μὲν οὖν ἄλλα γόνιμα· πλὴν ὅσα τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον γίνεται τῶν διδύμων· τὸ δὲ τελευταῖον, τερατῶδες.

IV. Τίκτουσι δὲ πάντα μὲν τὰ περιστεροειδῆ δύο, οἷον φάττα

5. καὶ τρυγὼν, ὡς ἐπιτοπολύ· τὰ δὲ πλεῖστα, τρία, τρυγὼν καὶ φάττα. Τίκτει δὲ ἡ μὲν περιστερὰ, ὥσπερ εἴρηται, πᾶσαν ὥραν· τρυγὼν δὲ καὶ φάττα ἐν τῷ ἔαρι, οὐ πλεονάκις ἢ δίς· τίκτει δὲ τὰ δεύτερα, ὅταν τὰ πρότερα γεννηθέντα διαφθαρῇ. Πολλαὶ γὰρ διαφθείρουσιν αὐτὰ τῶν ὀρνίθων. Τίκτει μὲν οὖτως, ὥσπερ εἴρηται, καὶ τρία ποτὲ, ἀλλ' ἐξάγει τε καὶ οὐδέ ποτε δυοῖν πλέον νεοττοῖν· ἐνίοτε δὲ καὶ ἕνα μόνον· τὸ δ' ὑπολειπόμενον τῶν ὠῶν ἀεὶ οὔρινόν ἐστι. Τῶν δὲ πλείστων ὀρνέων οὐδὲν αὐτοετὲς γεννᾷ. Απαντες δὲ οἱ ὄρνιθες, ἐπειδὰν ἅπαξ ἄρξωνται τίκτειν, διὰ τέλους, ὡς εἰπεῖν, ἔχουσι φύσει ᾠά. Αλλ' ἐνίοις, διὰ μικρότητα, οὐ ῥᾴδιον ἰδεῖν. Η δὲ περιστερὰ, ὡς ἐπιτοπολὺ ἄῤῥεν καὶ θῆλυ· καὶ τούτων, ὡς ἐπιτοπολὺ, πρότερον τὸ ἄῤῥεν τίκτει· καὶ τεκοῦσα μίαν ἡμέραν διαλείπει τὰ πολλὰ, εἶτα πάλιν τίκτει θάτερον. Επωάζει δὲ καὶ ὁ ἄῤῥην ἐν τῷ μέρει τῆς ἡμέρας· τὴν δὲ νύκτα, ἡ θήλεια· ἐκπέττεταί τε καὶ ἐκλέπεται ἐντὸς εἴκοσιν ἡμερῶν τὸ γεννώμενον πρότερον τῶν ᾠῶν. Τιτρώσκει δὲ τὸ ᾠὸν τῇ προτέρᾳ ἢ ἐκλέπει· καὶ συνθερμαίνουσι τοὺς νεοττοὺς ἀμφότεροι ἐπί τινα χρόνον· τὸν αὐτὸν δὲ τρόπον, ὅνπερ καὶ τὰ ᾠά. Χαλεπωτέρα δὲ ἡ θήλειά ἐστι περὶ τὴν τεκνοτροφίαν τοῦ ἄῤῥενος, ὥσπερ καὶ τὰ ἄλλα ζῶα, μετὰ τὸν τόκον. Τίκτουσι δὲ τοῦ ἐνιαυτοῦ καὶ δεκάκις καὶ ἑνδεκάκις· αἱ δ' ἐν Αἰγύπτῳ καὶ δωδεκάκις. Οχεύει δὲ καὶ ὀχεύεται ἡ περιστερὰ ἐντὸς τοῦ ἐνιαυτοῦ· καὶ γὰρ ἓξ μηνῶν, ὀχεύει καὶ ὀχεύεται. Τὰς δὲ φάττας καὶ τὰς τρυγόνας ἔνιοί φασιν ὀχεύεσθαι καὶ γεννᾶν καὶ τρίμηνα ὄντα· σημεῖον ποιούμενοι τὴν πολυπλήθειαν αὐτῶν. Εγκυα δὲ γίνεται δέκα καὶ τέτταρας ἡμέρας, καὶ ἐπωάζει ἄλλας τοσαύτας, ἐν ἑτέραις δὲ δέκα καὶ τέτταρσι, πτεροῦνται οὕτως, ὥστε μὴ ῥᾳδίως καταλαμβάνεσθαι.

que chaque œuf donna, l'un étoit moins fort que l'autre. Celui qui sortit le dernier étoit un monstre.

Les oiseaux du genre des pigeons, les ramiers, par exemple, & la tour- IV.
terelle pondent deux œufs à chaque couvée : au moins ordinairement. Le 5.
plus que le ramier & la tourterelle en pondent, c'est trois. Le pigeon pond, comme on l'a dit, en toute saison : le ramier & la tourterelle pondent au printems & ne font pas plus de deux couvées. La seconde a lieu quand la premiere est détruite, car il arrive souvent que les oiseaux brisent eux-mêmes leurs œufs. Quoique ces oiseaux pondent quelquefois trois œufs, ainsi que je le disois, ils n'ont jamais plus de deux petits, quelquefois même ils n'en ont qu'un seul, le troisieme œuf est toujours clair. La plûpart des oiseaux ne produisent point dans l'année où ils sont éclos, mais tous, lorsqu'une fois ils ont commencé à pondre, ne cessent point jusqu'aux derniers momens, pour ainsi-dire, d'avoir des œufs dans le corps, quoique dans quelques-uns ils soient difficiles à voir à cause de leur petitesse. Ordinairement le pigeon produit d'une même couvée un mâle & une femelle, & ordinairement encore, l'œuf qui renferme le mâle est pondu le premier : ensuite la mere laisse passer communément un jour, après quoi elle pond l'autre œuf. Le mâle lui-même couve pendant une partie du jour, la femelle seule couve pendant la nuit. L'œuf le premier pondu est couvé, & le petit éclos, sous l'espace de vingt jours. Le petit perce l'œuf un jour avant celui où il en sort. Lorsqu'il est sorti, le pere & la mere l'échauffent pendant un certain tems : ils se partagent ce soin, de même qu'ils se partagent celui de l'incubation. Pendant qu'ils élevent leurs petits, la femelle est plus méchante que le mâle : il en est de même des femelles des autres Animaux lorsqu'elles ont mis bas. Les pigeons pondent dix & onze fois par an ; & jusques à douze fois en Egypte. Le mâle & la femelle peuvent faire des petits avant l'année révolue ; ils s'accouplent dès qu'ils ont atteint six mois. Quelques-uns prétendent même que les ramiers & les tourterelles s'accouplent à trois mois ; ils se fondent sur la multitude de ces oiseaux. La femelle porte quatorze jours & couve le même tems. Dans un troisieme espace de quatorze jours, les petits se couvrent de plumes, & volent assez bien pour qu'on ne puisse pas les prendre aisément. Le ramier

Βιοῖ δὲ φάττα, ὥς φασι, καὶ τετταράκοντα ἔτη· καὶ αἱ πέρδικες δὲ πλείω ἔτη ἢ ἑκκαίδεκα. Τίκτει δὲ καὶ ἡ περιστερὰ ἀπονεοττεύουσα πάλιν ἐν τριάκοντα ἡμέραις.

V. Ὁ δὲ γὺψ νεοττεύει μὲν ἐπὶ πέτραις ἀπροσβάτοις· διὸ σπά-
6. νιον ἰδεῖν νεοττείαν γυπὸς, καὶ νεοττούς. Καὶ διὰ τοῦτο Ἡρόδοτος ὁ Βρύσσωνος τοῦ σοφιστοῦ πατὴρ, φησὶν εἶναι τοὺς γῦπας ἀφ' ἑτέρας γῆς ἀδήλου ἡμῖν, τοῦτό γε λέγων τὸ σημεῖον, ὅτι οὐδεὶς ἑώρακε γυπὸς νεοττείαν, καὶ ὅτι πολλοὶ ἐξαίφνης φαίνονται ἀκολουθοῦντες τοῖς στρατεύμασι. Τὸ δέ ἐστι χαλεπὸν ἰδεῖν, ὦπται δ' ὅμως. Τίκτουσι δὲ δύο ᾠὰ οἱ γῦπες. Τὰ μὲν οὖν ἄλλα ὅσα σαρκοφάγα οὐχ ὦπται πλεονάκις ἢ ἅπαξ τίκτοντα· ἡ δὲ χελιδὼν δὶς νεοττεύει, μόνον τῶν σαρκοφάγων. Τῶν δὲ νεοττῶν ἄν τις, ἔτι νέων ὄντων, τῆς χελιδόνος τὰ ὄμματα ἐκκεντήσῃ, γίνονται ὑγιεῖς, καὶ βλέπουσιν ὕστερον.

VI. Ὁ δὲ ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο· ὥσπέρ ἐστι καὶ ἐν τοῖς λεγομένοις Μουσαίου ἔπεσιν·

Ὃς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.

Ὡς μὲν οὖν τὰ πολλὰ οὕτω συμβαίνει, ἤδη δὲ καὶ τρεῖς νεοττοὶ ὠμμένοι εἰσίν. Ἐκβάλλει δ' αὐξανομένων τὸν ἕτερον τῶν νεοττῶν, ἀχθόμενος τῇ ἐδωδῇ. Ἅμα δὲ λέγεται ἐν τῷ χρόνῳ τούτῳ ἄπαστος γίνεσθαι, ὅπως μὴ ἁρπάζῃ τοὺς τῶν θηρίων σκύμνους. Οἵ τε οὖν ὄνυχες αὐτοῦ διαστρέφονται ὀλίγας ἡμέρας, καὶ τὰ πτερὰ λευκαίνεται· ὥστε καὶ τοῖς τέκνοις τότε γίνονται χαλεποί. Τὸν δ' ἐκβληθέντα δέχεται καὶ τρέφει ἡ φήνη.

Ἐπῳάζει δὲ περὶ τριάκοντα ἡμέρας· καὶ τῶν ἄλλων δὲ τοῖς μεγάλοις ὁ χρόνος τοσοῦτός ἐστι τῆς ἐπῳάσεως, οἷον χηνὶ καὶ ὠτίδι· τοῖς δὲ μέσοις, περὶ εἴκοσιν, οἷον ἰκτίνῳ καὶ ἱέρακι. Τίκτει δὲ ὁ ἴκτινος, τὰ μὲν πλεῖστα δύο, ἐνίοτε δὲ καὶ τρεῖς ἐξάγει νεοττούς· ὁ δ' αἰτώλιος καλούμενος, ἔστιν ὅτε καὶ τέτταρας. Τίκτει δὲ καὶ ὁ κόραξ οὐ μόνον δύο, ὥσπερ φασί τινες, ἀλλὰ

vit trente ans, dit-on; la perdrix en vit plus de ſeize. La femelle du pigeon pond une ſeconde fois, trente jours après qu'elle a ceſſé de donner ſes ſoins à la couvée précédente.

Le vautour niche ſur des roches inacceſſibles : il eſt rare par cette raiſon, de voir ſon nid & ſes petits. C'eſt ce qui a fait dire à Hérodote, pere de Bryſſon le Sophiſte, que les vautours venoient d'une terre étrangere & inconnue. Il ſe fonde ſur ce que perſonne n'a vu le nid de cet oiſeau, & ſur ce qu'ils paroiſſent tout-à-coup en grandes troupes, à la ſuite des armées. Mais, quoiqu'il ſoit difficile de trouver le nid & les petits du vautour, on en a cependant trouvé. Le vautour n'a que deux œufs. On n'a point vû que les oiſeaux carnaſſiers fiſſent plus d'une ponte dans l'année. L'hirondelle eſt la ſeule de ce genre, qui faſſe deux couvées. Les petits d'hirondelle, auxquels dans les premiers jours de leur naiſſance, on aura crevé les yeux, ſe guériſſent & recouvrent la vue. V. 6.

L'aigle pond trois œufs; il n'en éclot que deux, ainſi que le dit un vers attribué à Muſée : » Il pond trois œufs, fait éclorre deux petits, & n'en élevé » qu'un. « Cette obſervation eſt faite d'après ce qui arrive le plus ſouvent, car on a vu des aigles avoir effectivement trois petits. Lorſque les aiglons grandiſſent, l'aigle chaſſe l'un des deux, parce qu'il eſt las de les nourrir. On dit en effet que dans ce tems là même il ne mange point, de ſorte qu'il ne peut plus enlever les petits des bêtes fauves : ſes ongles ſe contournent pendant quelques jours, & ſes plumes blanchiſſent : c'eſt ce qui le rend cruel envers ſes petits. L'aiglon, chaſſé de ſon nid, eſt reçu & élevé par l'orfraie.. VI.

L'incubation de l'aigle dure trente jours : ce qui s'obſerve auſſi dans les autres eſpeces des grands oiſeaux, tels que l'oie & l'outarde. Les oiſeaux de grandeur moyenne, tels que le milan & l'épervier ne couvent que vingt jours ou environ. Le milan ne pond ordinairement que deux œufs, quelquefois cependant il a juſqu'à trois petits. Le milan qu'on appelle Etolien, en a quelquefois quatre. Ce que quelques-uns ont dit du corbeau, qu'il ne pondoit que deux œufs, n'eſt pas exact : il en pond davantage, & les couve

καὶ πλείω, καὶ ἐπωάζει περὶ εἴκοσιν ἡμέρας, καὶ ἐκβάλλει τοὺς νεοττοὺς ὁ κόραξ. Ποιεῖ δὲ καὶ ἄλλα τῶν ὀρνέων τὸ αὐτὸ τοῦτο. Πολλάκις γὰρ, ὅσα πλείω τίκτει, ἕνα ἐκβάλλουσιν. Οὐ πάντα δὲ τὰ τῶν ἀετῶν γένη ὅμοια περὶ τὰ τέκνα, ἀλλ' ὁ πύγαργος χαλεπός· οἱ δὲ μέλανες εὔτεκνοι περὶ τὴν τροφήν εἰσιν· ἐπεὶ πάντες, ὡς εἰπεῖν, οἱ γαμψώνυχες, ὅταν θᾶττον οἱ νεοττοὶ δύνωνται πέτεσθαι, ἐκβάλλουσι τύπτοντες ἐκ τῆς νεοττίας. Καὶ τῶν ἄλλων δὲ, ὥσπερ εἴρηται, σχεδὸν οἱ πλεῖστοι τοῦτο δρῶσι· καὶ θρέψαντες οὐδεμίαν ἐπιμέλειαν ποιοῦνται τὸ λοιπὸν, πλὴν κορώνης. Αὕτη δὲ ἐπί τινα χρόνον ἐπιμελεῖται· καὶ γὰρ ἤδη πετομένων, σιτίζει παραπετομένους.

VII. Ο δὲ κόκκυξ λέγεται μὲν ὑπό τινων ὡς μεταβάλλει ἐξ ἱέρακος, διὰ τὸ ἀφανίζεσθαι τὸν ἱέρακα περὶ τοῦτον χρόνον, ᾧ ὅμοιός ἐστι. Σχεδὸν δὲ καὶ τοὺς ἱέρακας οὐκ ἔστιν ἰδεῖν, ὅταν θᾶττον φθέγγηται ὁ κόκκυξ, πλὴν ὀλίγας ἡμέρας. Ο δὲ κόκκυξ φαίνεται μὲν ἐπ' ὀλίγον χρόνον τοῦ θέρους· τὸν δὲ χειμῶνα ἀφανίζεται. Εστι δὲ ὁ μὲν ἱέραξ γαμψώνυχος, ὁ δὲ κόκκυξ οὐ γαμψώνυχος. Ετι δὲ οὔτε τὰ περὶ τὴν κεφαλὴν ἔοικεν ἱέρακι, ἀλλ' ἄμφω ταῦτα περιστερᾷ μᾶλλον· ἀλλὰ κατὰ τὸ χρῶμα μόνον προσέοικεν ἱέρακι· πλὴν τοῦ μὲν ἱέρακος τὰ ποικίλα, οἷον γραμμαί εἰσι· τοῦ δὲ κόκκυγος, οἷον στιγμαί. Τὸ μέντοι μέγεθος καὶ ἡ πτῆσις παραπλησία τῷ ἐλαχίστῳ τῶν ἱεράκων ὃς κατὰ τὸν χρόνον τοῦτον ἀφανής ἐστιν ἐπιτοπολὺ ὃν φαίνεται ὁ κόκκυξ· ἐπεὶ ἤδη γε ὤμμένοι εἰσὶν ἄμφω, καὶ κατεσθιόμενος δὲ ὦπται κόκκυξ ὑπὸ ἱέρακος· καίτοι οὐδὲν ποιεῖ τοῦτο τῶν ὁμοιογενῶν ὀρνέων. Νεοττοὺς δὲ κόκκυγος λέγουσιν ὡς οὐδεὶς ἑώρακεν. Ο δὲ τίκτει μὲν, ἀλλ' οὐ ποιησάμενος νεοττείαν, ἀλλ' ἐνίοτε μὲν ἐν τῇ τῶν ἐλαττόνων ὀρνίθων ἐντίκτει, καταφαγὼν τὰ ᾠὰ τὰ ἐκείνων· μάλιστα δὲ ἐν ταῖς τῶν φαττῶν νεοττείαις, καταφαγὼν καὶ τὰ τούτων ᾠά. Τίκτει δὲ ὀλιγάκις μὲν δύο, τὰ δὲ πλεῖστα ἕν.

pendant une vingtaine de jours. Il chasse ses petits du nid. Plusieurs autres oiseaux en font de même ; souvent lorsqu'ils ont trop de petits, ils en chassent un. Cependant tous les aigles ne se ressemblent pas à cet égard : le plus cruel envers ses petits est le pygargue : l'aigle noir les aime au contraire & les nourrit avec soin ; mais à l'exception de celui ci, on peut dire en général que tous les oiseaux qui ont l'ongle recourbé frappent leurs petits pour les chasser du nid, dès qu'ils sont en état de voler. Peut-être pourroit-on en dire autant de la plûpart des autres oiseaux : lorsque leurs petits sont élevés, ils n'en prennent plus aucun soin. La corneille doit être exceptée, elle les soigne pendant un certain tems, & quoiqu'ils volent déja, elle vole avec eux & les nourrit encore.

Quelques personnes prétendent que le coucou n'est qu'une métamorphose de l'épervier, parce que celui des éperviers auquel il ressemble disparoît vers le tems où l'on voit le coucou. Mais ce n'est pas seulement cet épervier qui disparoît alors : tous les autres éperviers cessent également de paroître peu de jours après que le coucou s'est fait entendre. Le coucou ne se montre que peu de tems pendant l'été ; l'hyver on ne le voit point. D'ailleurs, l'ongle de l'épervier est recourbé, celui du coucou ne l'est pas & il ressemble plutôt à l'ongle du pigeon. La tête de cet oiseau n'est point non plus celle de l'épervier, mais plutôt encore celle du pigeon. Sa couleur seule le rapproche de l'épervier, avec cette différence que les taches dont le plumage de l'épervier est marqué forment des especes de lignes, au lieu que celles du coucou ne sont que des points. Il reste la grosseur & le vol, par lesquels le coucou ressemble à l'épervier de la plus petite espece, à celui qui ordinairement disparoît lorsque le coucou se montre. Je dis ordinairement, parce qu'on les a vu l'un & l'autre en même tems ; on a même vu un épervier dévorer un coucou, ce qui n'arrive point entre oiseaux de même espece. Les personnes qui confondent l'un & l'autre en une seule espece, ajoutent que jamais on n'a vu les petits du coucou. La vérité est que sa femelle pond, mais elle ne fait pas de nid. Elle pond quelquefois dans le nid de petits oiseaux, après avoir mangé leurs œufs, & plus particuliérement dans le nid du ramier dont elle mange aussi les œufs. D'ordinaire le coucou ne pond qu'un œuf, rarement il en pond deux. La fauvette est un des oiseaux dans VII.

Τίκτει δὲ καὶ ὑπὸ τὴν τῆς ὑπολαΐδος νεοττείαν· ἡ δὲ ἐκπέπτει καὶ ἐκτρέφει. Γίνεται δὲ πίων καὶ ἡδύκρεως κατὰ τοῦτον τὸν καιρὸν μάλιστα. Γίνονται δὲ καὶ τῶν ἱεράκων οἱ νεοττοὶ ἡδύκρεῳ σφόδρα καὶ πίονες. Νεοττεύει δὲ γένος τι αὐτῶν πόρρω καὶ ἐν ἀποτόμοις πέτραις.

VIII. Επωάζει δὲ τὰ πολλὰ τῶν ὀρνίθων, ὥσπερ εἴρηται περὶ τῶν
7. περιστερῶν, διαδεχόμενα τὰ ἄρρενα τοῖς θήλεσι· τὰ δὲ τοσοῦτον χρόνον ὅσον ἀπολείπει τὸ θῆλυ τροφὴν αὑτῷ πορριζόμενον. Τῶν δὲ χηνῶν αἱ θήλειαί τε ἐπωάζουσι μόναι, καὶ διὰ παντὸς ἐφεδρεύουσι, ὅτανπερ ἄρξωνται τοῦτο ποιεῖν. Πρὸς δὲ τόποις ἑλώδεσί τε, καὶ πόαν ἔχουσι, πάντων τῶν λιμναίων ὀρνίθων αἱ νεοττείαι γίνονται, διόπερ καὶ ἡσυχίαν ἔχοντες ἐπὶ τῶν ᾠῶν, δύνανται τροφήν τινα αὑτοῖς πορίζεσθαι, καὶ μὴ παντάπασιν ἄσιτοι εἶναι. Επωάζουσι δὲ καὶ τῶν κορωνῶν αἱ θήλειαι μόναι, καὶ διαμένουσιν ἐπ' αὐτῶν οὖσαι διὰ παντός. Τρέφουσι δ' αὐτὰς οἱ ἄρρενες, κομίζοντες τὴν τροφὴν αὐταῖς καὶ σιτίζοντες. Τῶν δὲ φαττῶν ἡ μὲν θήλεια, ἀπὸ δείλης ἀρξαμένη, τήν τε νύκτα ὅλην ἐπωάζει, καὶ ἕως ἀκρατίσματος ὥρας· ὁ δ' ἄρρην τὸ λοιπὸν τοῦ χρόνου. Οἱ δὲ πέρδικες δύο ποιοῦνται τῶν ᾠῶν σηκούς· καὶ ἐφ' ᾧ μὲν ἡ θήλεια, ἐπὶ θατέρῳ δὲ ἄρρην ἐπωάζει· καὶ ἐκλέψας ἐκπέμπει ἑκάτερος ἑκάτερα· καὶ τοὺς νεοττοὺς, ὅταν πρῶτον ἐξάγῃ, ὀχεύει αὐτούς.

IX. Ο δὲ ταὼς ζῇ μὲν περὶ εἴκοσι καὶ πέντε ἔτη, γεννᾷ δὲ τριετὴς μάλιστα· ἐν οἷς καὶ τὴν ποικιλίαν τῶν πτερῶν ἀπολαμβάνει· καὶ ἐκλέπει ἐν τριάκονθ' ἡμέραις, ἢ μικρῷ πλείοσιν. Απαξ δὲ τοῦ ἔτους τίκτει μόνον· τίκτει δὲ ᾠὰ δώδεκα, ἢ μικρῷ ἐλάττω. Τίκτει δὲ διαλιπὼν δύο ἢ τρεῖς ἡμέρας, καὶ οὐκ ἐφεξῆς· αἱ δὲ πρωτοτόκοι μάλιστα περὶ ὀκτὼ ᾠά. Τίκτουσι δὲ οἱ ταῴ τὰ ᾠὰ καὶ τὰ ὑπηνέμια. Οχεύονται δὲ περὶ τὸ ἔαρ· γίνεται δὲ καὶ ὁ τόκος εὐθέως μετὰ τὴν ὀχείαν. Πτερορρυεῖ δὲ ἅμα τοῖς πρώτοις

le nid desquels le coucou-dépose ses œufs ; elle les couve & éleve les petits qui en viennent. C'est vers le tems de la ponte que les coucous sont le plus gras & de meilleur goût. Les petits de l'épervier deviennent gras aussi & de très bon goût. Il y a une autre espece de coucou qui fait son nid au loin dans des roches escarpées.

Un grand nombre d'oiseaux se partagent le soin de l'incubation entre le VIII.
mâle & la femelle, comme je l'ai dit du pigeon. Le mâle couve pendant 7.
que la femelle est obligée de quitter pour chercher sa nourriture. Dans l'espece de l'oie, la femelle couve seule, & de l'instant qu'elle a commencé à se mettre sur ses œufs elle ne les quitte plus. Les oiseaux aquatiques font toujours leur nid près des marais & des endroits où il y a de l'herbe, de sorte qu'il ne leur est pas impossible de prendre quelque nourriture sans se déranger de dessus leurs œufs, & qu'ils ne restent pas absolument sans manger. Chez les corneilles, c'est également la femelle qui couve seule, & elle ne quitte point. Le mâle lui apporte de la nourriture & la lui donne. La femelle du pigeon se met sur ses œufs le soir : elle y passe la nuit entiere, & y demeure le lendemain jusqu'au moment où elle mange pour la premiere fois. Le mâle couve le reste du tems. Les perdrix partagent leurs œufs en deux monceaux, dont la femelle couve l'un, & le mâle l'autre. Quand les œufs sont éclos, chacun d'eux conduit l'une & l'autre bande ; & lorsque leurs petits sortent pour la premiere fois, ils les cochent.

La durée de la vie du paon est de vingt-cinq ans, ou environ : c'est à peu IX.
près à trois ans qu'il commence à avoir des petits. C'est à cette même époque que son plumage prend ses couleurs. Il faut trente jours, ou un peu plus, pour que ses œufs éclosent. La femelle ne fait par année qu'une couvée qui est de douze œufs, ou d'un peu moins. Elle ne pond pas ce nombre d'œufs de suite, mais entre la ponte de chacun elle laisse un intervalle de deux ou trois jours. Sa premiere couvée n'est guere que de huit œufs ; elle est sujette a avoir aussi des *œufs de vent*. Les paons s'accouplent vers le printems,

τῶν δένδρων, καὶ ἄρχεται αὖθις ἀπολαμβάνειν τὴν πλήρωσιν ἅμα τῇ τούτων βλαστήσει. Ταῖς δὲ ἀλεκτορίσιν ὑποτιθέασιν αὐτῶν τὰ ᾠὰ ἐπωάζειν οἱ τρέφοντες, διὰ τὸ τὸν ἄῤῥενα, τῆς θηλείας τοῦτο δρώσης, ἐπιπετόμενον συντρίβειν. Διὰ ταύτην δὴ τὴν αἰτίαν καὶ τῶν ἀγρίων ἔνιοι ὀρνίθων ἀποδιδράσκοντες τοὺς ἄῤῥενας, τίκτουσι καὶ ἐπωάζουσιν. Ὑποτίθεται δὲ τοῖς ὄρνισι μάλιστα δύο ᾠά· τοσαῦτα γὰρ δύνανται μόνα ἐπωάζουσαι ἐξάγειν. Ἐπιμελοῦνται δὲ ὅπως μὴ καταβαίνουσα διαλείπῃ τὸν ἐπωασμὸν, παρατιθέντες τροφήν.

Οἱ δὲ ὄρνιθες, περὶ τὴν ὀχείαν τοὺς ὄρχεις μείζους ἔχουσιν ἐπιδήλως· οἱ μὲν μᾶλλον ὀχευτικοὶ, καὶ μᾶλλον ἐπιδήλως, οἷον ἀλεκτρυόνες καὶ πέρδικες· οἱ δὲ μὴ συνεχῶς ἧττον.

X. Περὶ μὲν οὖν τῆς τῶν ὀρνίθων κυήσεως καὶ γενέσεως, τοῦτον
8. ἔχει τὸν τρόπον. Οἱ δὲ ἰχθύες ὅτι μὲν οὐ πάντες ᾠοτοκοῦσιν εἴρηται πρότερον, τὰ μὲν γὰρ σελάχη ζῳοτοκεῖ· ἀλλὰ πρῶτον ᾠοτοκήσαντα ἐν αὐτοῖς, καὶ ἐκτρέφουσιν ἐν αὐτοῖς, πλὴν βατράχου. Ἔχουσι δὲ καὶ τὰς ὑστέρας, ὥσπερ ἐν τοῖς ἄνω ἐλέχθη, διαφόρους οἱ ἰχθύες. Τὰ μὲν γὰρ ᾠοτοκοῦντα δικρόας ἔχει καὶ κάτω· τὰ δὲ σελάχη ὀρνιθωδεστέρας. Διαφέρει δὲ τῆς τῶν ὀρνίθων ὑστέρας, ὅτι οὐ πρὸς τῷ ὑποζώματι ἐνίοις συνίσταται τὰ ᾠὰ, ἀλλὰ μεταξὺ κατὰ τὴν ῥάχιν· ἐκεῖθεν δ' αὐξανόμενα μεταβαίνει.

Τὸ δὲ ᾠὸν γίνεται πάντων τῶν ἰχθύων οὐ δίχροον, ἀλλ' ὁμόχροον. Λευκότερον δὲ ἢ ὠχρότερον, καὶ πρότερον, καὶ ὅταν ἐνῇ ὁ νεοττός. Διαφέρει δὲ ἡ γένεσις ἡ ἐκ τοῦ ᾠοῦ τῶν ἰχθύων τῆς τῶν ὀρνίθων, ᾗ οὐκ ἔχει τὸν ἕτερον ὀμφαλὸν τείνοντα πρὸς τὸν ὑμένα τὸν ὑπὸ τὸ ὄστρακον· τὸν δὲ εἰς τὸ ὠχρὸν τοῖς ὄρνισι τείνοντα πόρον, τοῦτον ἔχει τοῖν δυοῖν μόνον. Ἡ δὲ ἄλλη γένεσις ἤδη πᾶσα ἡ αὐτὴ ἡ ἐκ τοῦ ᾠοῦ, τῶν τε ὀρνίθων καὶ τῶν ἰχθύων. Ἐπ' ἄκρῳ τε γὰρ τούτου γίνεται, καὶ αἱ φλέβες ὁμοίως τείνουσιν ἐκ τῆς καρδίας πρῶτον, καὶ ἡ κεφαλὴ, καὶ τὰ ὄμματα, καὶ τὰ ἄνω,

&

& la femelle pond bientôt après l'accouplement. Le paon perd ses plumes dans le même tems où les feuilles des arbres commencent à tomber ; elles renaissent lorsque le germe des mêmes feuilles commence à se développer. Les personnes qui élevent de ces Animaux font couver leurs œufs par des poules, parce que le paon est sujet à voler sur sa femelle pendant l'incubation & à casser ses œufs. La même raison engage les femelles, dans certaines especes d'oiseaux sauvages, à fuir leur mâle, & à se cacher de lui, soit pour pondre, soit pour couver. Il ne faut pas donner à une poule plus de deux œufs de paon : elle ne pourroit ni en couver, ni en élever davantage. On doit aussi avoir soin que la poule qui couve ces œufs ne les quitte point ; on met à manger auprès d'elle.

Les testicules des oiseaux grossissent sensiblement dans la saison de leurs amours ; & plus, à proportion que les oiseaux sont plus lascifs, tels que le mâle de la poule & de la perdrix. Ils grossissent moins dans ceux qui s'accouplent moins fréquemment.

Des oiseaux & de ce qui regarde la génération & la portée de leurs petits, X.
passons aux poissons. Ils ne sont pas tous ovipares, je l'ai déja observé, 8.
puisque les sélaques sont vivipares : mais ceux-ci même ont d'abord des œufs qui éclosent ; les petits qui en viennent se nourrissent aux dedans des meres. La grenouille marine forme une exception à ce que je dis des sélaques. C'est une autre remarque faite également plus haut, que la matrice des poissons differe selon leurs especes. Les poissons ovipares l'ont partagée en deux, & située plus bas : la matrice des sélaques est plus approchante de celle des oiseaux. Cependant il y a encore cette différence entre leur matrice & celle des oiseaux, que ce n'est point auprès du diaphragme que les œufs de quelques sélaques sont attachés, mais au-dessous, le long de l'épine. Lorsque les œufs augmentent, ils quittent cette place.

Les œufs de quelque poisson que ce soit, sont d'une seule couleur, qui est plus blanche que jaune, soit avant soit après la formation du petit. Le poisson ne se forme pas non plus dans l'œuf de la même maniere que l'oiseau ; il n'a pas ce second cordon ombilical qui tend à la membrane placée sous la coquille, mais uniquement celui qui, dans l'œuf de l'oiseau, va au jaune. Le surplus du détail de la formation du petit dans l'œuf est le même pour l'oiseau & pour le poisson. Celui-ci se forme, de même que le premier, au sommet de l'œuf. Il a également des veines qui partent d'abord du cœur ; la tête, les yeux & les parties supérieures du poisson, sont, comme celles

μέγιστα ὁμοίως πρῶτον· αὐξανομένου δὲ, ἀεὶ ἔλαττον γίνεται τὸ ὠὸν, καὶ τέλος ἀφανίζεται καὶ εἰσδύεται ἔσω, καθάπερ ἐν τοῖς ὄρνισιν ὁ νεοττὸς καλούμενος. Προσπέφυκε δὲ καὶ ὁ ὀμφαλὸς μικρὸν κατώτερον τοῦ στόματος τῆς γαστρός. Ἐστι δὲ νέοις μὲν οὖσιν ὁ ὀμφαλὸς μακρὸς, αὐξανομένοις δ' ἐλάττων, καὶ τέλος μικρὸς, ἕως ἂν εἰσέλθῃ, καθάπερ ἐλέχθη ἐπὶ τῶν ὀρνίθων. Περιέχεται δὲ τὸ ἔμβρυον καὶ τὸ ὠὸν ὑμένι κοινῷ, ὑπὸ δὲ τούτου ἄλλος ἐστὶν ὑμὴν, ὃς περιέχει ἰδίᾳ τὸ ἔμβρυον· μεταξὺ δὲ τῶν ὑμένων ἔνεστιν ὑγρότης. Καὶ ἡ τροφὴ δὲ ὁμοία γίνεται τοῖς ἰχθυδίοις ἐν τῇ κοιλίᾳ, ὥσπερ τοῖς τῶν ὀρνίθων νεοττοῖς· ἡ μὲν λευκὴ, ἡ δὲ ὠχρά.

Τὸ μὲν οὖν σχῆμα τῆς ὑστέρας ὡς ἔχει, ἐκ τῶν ἀνατομῶν θεωρείσθω. Διαφορὰ δέ ἐστιν ἐν αὐτοῖς πρὸς αὐτοὺς, οἷον τοῖς γαλεώδεσι, καὶ πρὸς αὐτοὺς, καὶ πρὸς τὰ πλατέα. Ἐνίοις μὲν γὰρ ἐν τῷ μέσῳ τῆς ὑστέρας περὶ τὴν ῥάχιν προσπέφυκε τὰ ὠὰ, ὥσπερ εἴρηται, οἷον τοῖς σκυλίοις· αὐξανόμενα δὲ περιέρχεται· οὔσης δὲ δικρόας τῆς ὑστέρας, καὶ προσπεφυκυίας πρὸς τῷ ὑποζώματι, ὥσπερ καὶ τῶν ἄλλων τῶν τοιούτων, περιέρχεται εἰς ἑκάτερον τὸ μέρος. Ἔχει δὲ ἡ ὑστέρα καὶ αὐτῶν, καὶ ἡ τῶν ἄλλων τῶν γαλεωδῶν, μικρὸν προελθόν τι ἀπὸ τοῦ ὑποζώματος, οἷον μαστοὺς λευκούς· οἳ κυημάτων μὴ ἐνόντων, οὐκ ἐγγίνονται. Τὰ μὲν οὖν σκύλια καὶ βατίδες ἴσχουσι τὰ ὀστρακώδη, ἐν οἷς ἐγγίνεται ᾠοειδὴς ὑγρότης· τὸ δὲ σχῆμα τοῦ ὀστράκου ὅμοιον ταῖς τῶν αὐλῶν γλώτταις· καὶ πόροι τριχώδεις ἐγγίνονται τοῖς ὀστράκοις. Τοῖς μὲν οὖν σκυλίοις, οὓς καλοῦσί τινες νεβρίους γαλεοὺς, ὅταν περιῤῥαγῇ καὶ ἐκπέσῃ τὸ ὄστρακον, γίνονται οἱ νεοττοί· ταῖς δὲ βατίσιν, ὅταν ἐκτέκωσι, τοῦ ὀστράκου περιῤῥαγέντος, ἐξέρχεται ὁ νεοττός. Ὁ δὲ ἀκανθίας γαλεὸς, πρὸς τῷ ὑποζώματι ἴσχει τὰ ὠὰ ἄνωθεν τῶν μαστῶν· ὅταν δὲ καταβῇ τὸ ὠὸν, ἐπὶ τούτων ἀπολυομένων γίνεται ὁ νεοττός. Τὸν αὐτὸν δὲ τρόπον συμβαίνει ἡ γένεσις καὶ ἐπὶ τῶν ἀλωπέκων.

de l'oiseau, beaucoup plus grosses dans le commencement. A proportion de l'accroissement du poisson, la substance de l'œuf diminue toujours, jusqu'à ce qu'elle disparoisse, absorbée par le petit poisson, comme elle l'est par l'oiseau. L'ombilic est, dans ces deux genres d'Animaux, pareillement attaché au dessous de l'entrée du ventre. Tandis que le poisson est petit, le cordon ombilical est long : il diminue lorsque le poisson croît, & s'accourcit jusqu'à ce qu'il finisse par rentrer, comme il a été dit des oiseaux. Le fœtus & l'œuf sont contenus dans une membrane commune, sous laquelle est une autre membrane particuliere au fœtus : leur intervalle est rempli d'une liqueur. On trouve des alimens dans l'estomac du petit poisson, comme dans celui du petit oiseau, en partie blancs, en partie jaunes.

La forme des différentes matrices des poissons se verra dans les descriptions anatomiques. Il y a des différences à cet égard jusqu'entre des poissons de même genre. La matrice des chiens de mer, par exemple, n'est ni la même dans tous, ni la même que celle des poissons larges. Chez quelques-uns, tels que les petits chiens, les œufs sont attachés, ainsi que je l'ai dit, au milieu de la matrice, vers l'épine : quand ils grossissent ils descendent ailleurs. Je veux dire que la matrice de ces Animaux étant divisée en deux parties, & attachée au diaphragme, de même que celle des autres Animaux de ce genre, les œufs descendent dans chacune de ses branches. On remarque dans la matrice de ces petits chiens, comme dans celle des autres chiens de mer, un petit corps qui s'avance du diaphragme, & qui forme des especes de mamellons blancs. Ils ne paroissent pas quand la femelle n'est pas pleine. Ces mêmes petits chiens, & les raies femelles aussi, ont des especes de coquilles pleines d'une liqueur de la nature de celle que contient l'œuf : ces coquilles ressemblent pour la forme au bec d'une flûte, & ont en dedans des vaisseaux capillaires. Dans l'espece des chiens que l'on appelle *poulains*, le petit se forme après que cette coquille s'est détachée & ouverte. A l'égard des raies, elles pondent, la coquille s'ouvre, & le petit sort. Au contraire de ceux que je viens de décrire, le chien épineux a ses œufs près du diaphragme, au dessus des mamellons dont j'ai parlé. Le petit se forme lorsqu'ils se sont détachés & qu'ils sont descendus. La génération du chien de mer surnommé renard, est la même.

Οἱ δὲ καλούμενοι λεῖοι τῶν γαλεῶν τὰ μὲν ᾠὰ ἴσχουσι μεταξὺ τῶν ὑστερῶν ὁμοίως τοῖς σκυλίοις· περιστάντα δὲ τὰ τοιαῦτα εἰς ἑκατέραν τὴν δικρόαν τῆς ὑστέρας καταβαίνει, καὶ τὰ ζῶα γίνεται, τὸν ὀμφαλὸν ἔχοντα πρὸς τῇ ὑστέρᾳ· ὥστε ἀναλισκομένων τῶν ᾠῶν ὁμοίως δοκεῖν ἔχειν τὸ ἔμβρυον τοῖς τετράποσι. Προσπέφυκε δὲ μακρὸς ὢν ὁ ὀμφαλὸς τῆς μὲν ὑστέρας πρὸς τῷ κάτω μέρει, ὥσπερ ἐκ κοτυληδόνος ἕκαστος ἠρτημένος· τοῦ δ' ἐμβρύου, κατὰ τὸ μέσον, ᾗ τὸ ἧπαρ. Η δὲ τροφὴ ἀνατεμνομένου, κἂν μὴ ἔχῃ τὸ ᾠὸν, ᾠοειδής· χορίον δὲ καὶ ὑμένες ἴδιοι περὶ ἕκαστον γίνονται τῶν ἐμβρύων, καθάπερ ἐπὶ τῶν τετραπόδων. Εχει δὲ τὰ ἔμβρυα τὴν κεφαλὴν, νέα μὲν ὄντα, ἄνω· ἁδρυνόμενα δὲ καὶ τέλεια, κάτω. Εγγίνεται δὲ καὶ ἐν τῇ ἀριστερᾷ ἄῤῥενα, καὶ ἐν τῇ δεξιᾷ θήλεα, καὶ ἐν τῇ αὐτῇ ἅμα καὶ θήλεα καὶ ἄῤῥενα. Καὶ τὰ ἔμβρυα διαιρούμενα, ὁμοίως ὥσπερ ἐπὶ τῶν τετραπόδων, ἔχει τῶν σπλάγχνων ὅσα ἔχει μεγάλα, οἷον τὸ ἧπαρ, καὶ αἱματώδη. Πάντα δὲ τὰ σελαχώδη ἅμα ἔχουσιν ἄνω μὲν πρὸς τῷ ὑποζώματι ᾠὰ, τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω πολλά· κάτω δὲ ἔμβρυα ἤδη. Διὸ πολλὰ κατὰ μῆνα τίκτειν καὶ ὀχεύεσθαι οἴονται τοὺς τοιούτους τῶν ἰχθύων, ὅτι οὐχ ἅμα πάντα προΐενται, ἀλλὰ πολλάκις καὶ πολὺν χρόνον. Τὰ δὲ κάτωθεν ἐν τῇ ὑστέρᾳ ἀναπέττεται καὶ τελεσιουργεῖται.

Οἱ μὲν οὖν ἄλλοι γαλεοὶ καὶ ἐξαφιᾶσι καὶ δέχονται εἰς ἑαυτοὺς τοὺς νεοττοὺς, καὶ αἱ ῥῖναι, καὶ αἱ νάρκαι. Ηδη δὲ ὤφθη νάρκη μεγάλη περὶ ὀγδοήκοντα ἔχουσα ἐν ἑαυτῇ ἔμβρυα. Ο δ' ἀκανθίας μόνος οὐκ εἰσδέχεται τῶν γαλεῶν, διὰ τὴν ἄκανθαν· τῶν δὲ πλατέων, τρυγὼν καὶ βάτος οὐ δέχονται διὰ τὴν τραχύτητα τῆς κέρκου. Οὐκ εἰσδέχεται δ' οὐδὲ βάτραχος τοὺς νεοττοὺς, διὰ τὸ μέγεθος τῆς κεφαλῆς, καὶ τὰς ἀκάνθας. Οὐδὲ γὰρ ζωοτοκεῖ μόνος τούτων, ὥσπερ εἴρηται πρότερον.

Le chien qu'on appelle chien lisse, porte ses œufs entre les deux branches de la matrice, de même que les petits chiens. Ils en garnissent les parois ; delà ils descendent dans chacune de ces branches ; alors se forme l'animal dont le cordon ombilical est adhérent à la matrice, de sorte que quand l'œuf est disparu, il semble que le fœtus soit celui d'un quadrupede. Ce cordon ombilical est long : d'un côté il tient à la partie inférieure de la matrice, & le cordon de chaque fœtus s'y attache dans une cavité particuliere ; de l'autre côté il tient au fœtus, vers son milieu, à la région du foie. En ouvrant le fœtus on trouve dans son intérieur des alimens de la substance de l'œuf, après même que l'œuf ne subsiste plus. Chaque fœtus a son chorion & ses membranes qui l'enveloppent comme les quadrupedes. Leur tête est d'abord en haut : elle se place en bas lorsqu'ils ont grossi & qu'ils sont déja parfaits. Il se trouve & des mâles dans la partie gauche de la matrice, & des femelles dans la droite ; & dans une même branche on trouve des mâles avec des femelles. A l'ouverture du fœtus, on remarque, comme dans ceux des quadrupedes, que tous les visceres que cette espece doit avoir, par exemple le foie, sont fort gros par proportion & pleins de sang. Tout sélaque a dans le même tems, à la partie supérieure de sa matrice, auprès du diaphragme, une quantité d'œufs, les uns gros, les autres petits, & dans la partie inférieure, des embryons déja formés. C'est ce qui a donné lieu à plusieurs personnes de croire que ces poissons concevoient & mettoient bas tous les mois ; leurs petits ne sortant pas tous en même tems, mais à plusieurs reprises qui se succédent pendant assez long-tems. Les fœtus qui restent dans la partie inférieure de la matrice, s'y mûrissent pour ainsi-dire, & y acquierent leur perfection.

Après que les chiens de mer sont sortis du ventre de leur mere, elle les y retire de nouveau. De même la lime & la torpille. On a vu une torpille de grande taille recevoir ainsi environ quatre-vingt petits. Le chien épineux est le seul qui ne puisse pas reprendre ses petits, à cause des épines dont ils sont armés. Dans le genre des poissons larges, la pastenaque & la raie ne reprennent pas leurs petits à cause des aspérités de leur queue : pareillement la grenouille de mer, à raison tant de la grosseur de leur tête que des épines qu'ils portent. Aussi la grenouille de mer, comme je l'ai déja fait remarquer, n'est-elle pas vivipare, exception qui n'appartient qu'à elle seule entre les sélaques.

XI. 9. Αἱ μὲν οὖν πρὸς ἄλληλα διαφοραὶ, τοῦτον ἔχουσι τὸν τρόπον αὐτῶν, καὶ ἡ γένεσις ἡ ἐκ τῶν ᾠῶν. Οἱ δὲ ἄῤῥενες περὶ τὸν χρόνον τῆς ὀχείας τοὺς πόρους ἔχουσι πλήρεις θοροῦ οὕτως ὥστε θλιβομένων ῥεῖν ἔξω τὸ σπέρμα λευκόν. Εἰσὶ δὲ οἱ πόροι δίκροοι, ἀπὸ τοῦ ὑποζώματος καὶ τῆς μεγάλης φλεβὸς ἔχοντες τὴν ἀρχήν. Περὶ μὲν οὖν τὸν χρόνον τοῦτον ἤδη διάδηλοι πρὸς τὴν τῶν θηλειῶν ὑστέραν εἰσὶν οἱ πόροι τῶν ἀῤῥένων· ὅταν δὲ μὴ αὐτὴ ἡ ὥρα, ἧττον διάδηλοι τῷ μὴ συνήθει. Πάμπαν γὰρ ἐνίοις καὶ ἐνίοτε ἄδηλοι γίνονται, ὥσπερ ἐλέχθη περὶ τῶν ὄρχεων ἐν τοῖς ὄρνισιν. Εχουσι δὲ διαφορὰς καὶ ἄλλας πρὸς ἄλληλα οἵ τε θορικοὶ πόροι καὶ οἱ ὑστερικοί· καὶ ὅτι οἱ μὲν προσπεφύκασι τῇ ὀσφύϊ, οἱ δὲ τῶν θηλειῶν πόροι εὐκίνητοί εἰσι, καὶ λεπτῷ ὑμένι προσειλημμένοι. Θεωρείσθωσαν δὲ καὶ οἱ τῶν ἀῤῥένων πόροι, ὡς ἔχουσιν, ἐκ τῶν ἀνατομῶν διαγεγραμμένων.

Επικυΐσκεται δὲ τὰ σελάχη, καὶ κύει τοὺς πλείστους μῆνας ἕξ. Πλειστάκις δὲ ἀποτίκτει ὁ καλούμενος τῶν γαλεῶν ἀστερίας· ἀποτίκτει γὰρ δὶς τοῦ μηνός. Αρχονται δὲ ὀχεύεσθαι μηνὸς μαιμακτηριῶνος. Οἱ δὲ ἄλλοι γαλεοὶ δὶς τοῦ ἔτους τίκτουσι, πλὴν τοῦ σκυλίου· οὗτος δὲ ἅπαξ τοῦ ἐνιαυτοῦ. Τίκτουσι δὲ πάντα τοῦ ἔαρος αὐτῶν· ῥίνη δὲ καὶ τοῦ μετοπώρου πρὸς δύσιν πλειάδος χειμερινὴν, τὸ ὕστερον· τὸ δὲ πρῶτον, τοῦ ἔαρος. Εὐθηνεῖ δι᾽ αὐτῆς μάλιστα μὲν ὁ γόνος ὕστερος. Αἱ δὲ νάρκαι περὶ τὸ φθινόπωρον. Εκτίκτει δὲ τὰ σελάχη πρὸς τὴν γῆν, ἐκ τοῦ πελάγους καὶ τῶν βαθέων ἐπανιόντα, διά τε τὴν ἀλέαν, καὶ διὰ τὸ φοβεῖσθαι περὶ τῶν τέκνων. Τῶν μὲν οὖν ἄλλων ἰχθύων παρὰ τὰς συγγενείας οὐδὲν ὦπται συνδυαζόμενον· ῥίνη δὲ μόνη δοκεῖ τοῦτο ποιεῖν καὶ βάτος· ἔστι γάρ τις ἰχθὺς ὃς καλεῖται ῥινόβατος. Εχει γὰρ τὴν μὲν κεφαλὴν καὶ τὰ ἔμπροσθεν βάτου, τὰ δι᾽ ὄπισθεν ῥίνης, ὡς γινόμενος ἐξ ἀμφοτέρων τούτων τῶν ἰχθύων.

Ce sont là les variétés que j'avois à faire observer entre les poissons, & XI.
ce que j'avois à dire sur leur reproduction par la voie des œufs. Dans la sai- 9.
son de l'accouplement, les vaisseaux destinés chez les mâles à contenir la liqueur séminale, s'en remplissent tellement que, si on les presse, on la fait sortir. Sa couleur est blanche. Les vaisseaux dont je parle sont doubles : ils partent du diaphragme & de la grande veine. On les distingue facilement alors de la matrice des femelles ; hors ce tems, ils sont moins aisés à reconnoître, à moins qu'on n'en ait l'habitude. Quelquefois ils s'obliterent totalement dans certains poissons, comme je l'ai dit des testicules des oiseaux dans leur article. Les vaisseaux qui contiennent la liqueur séminale chez les mâles different encore en plusieurs points de ceux qui forment la matrice dans les femelles ; les premiers sont adhérens au rein, au lieu que la matrice en est détachée, & n'est contenue que par une membrane mince. Au reste, c'est encore dans les descriptions anatomiques qu'il faut voir la figure des vaisseaux spermatiques des mâles.

Les sélaques sont sujets à la superfétation. Ceux qui portent le plus longtems portent six mois. Le chien de mer étoilé est celui qui produit le plus souvent : il a des petits deux fois par mois : son accouplement commence au mois de Septembre. Les autres especes de chiens ne produisent que deux fois dans l'année, & même le petit chien une seule fois : c'est au printems que tous se reproduisent. La seconde portée de la lime vient en automne, vers le coucher d'hyver de la pleïade, la premiere portée étant venue au printems. Les petits de la seconde portée reussissent mieux que ceux de la premiere. La torpille produit également en automne. Les sélaques déposent leurs petits près de la terre : ils quittent alors la haute mer & les lieux où l'eau est profonde. Ils cherchent vers les bords une température plus chaude, & plus de sûreté pour leurs petits. On n'a point vu les poissons d'une espece se joindre pour produire avec les poissons d'une espece différente : la lime seule paroît produire avec la raie, car il y a un poisson qu'on nomme *limeraie ;* il a la tête & les parties antérieures de la raie, les parties postérieures de la lime : comme étant formé de ces deux poissons réunis.

XII. Οἱ μὲν οὖν γαλεοὶ καὶ οἱ γαλεοειδεῖς, οἷον ἀλώπηξ καὶ κύων,
10. καὶ οἱ πλατεῖς ἰχθύες, νάρκη, καὶ βάτος, καὶ λειόβατος, καὶ τρυγὼν, τὸν εἰρημένον τρόπον ζωοτοκοῦσιν ᾠοτοκήσαντες. Δελφὶς δὲ καὶ φάλαινα, καὶ τὰ ἄλλα κήτη, ὅσα μὴ ἔχει βράγχια ἀλλὰ φυσητῆρα, ζωοτοκοῦσιν· ἔτι δὲ πρίστης καὶ βοῦς. Οὐδὲν γὰρ τούτων φαίνεται ἔχον ᾠὰ, ἀλλ' εὐθέως κύημα· ἐξ οὗ διαρθρουμένου γίνεται τὸ ζῶον, καθάπερ ἄνθρωπος καὶ τῶν τετραπόδων τὰ ζωοτόκα. Τίκτει δὲ ὁ μὲν δελφὶς, τὰ μὲν πολλὰ ἓν, ἐνίοτε δὲ καὶ δύο· ἡ δὲ φάλαινα, ἢ δύο τὰ πλεῖστα καὶ πλεονάκις, ἢ ἕν. Ομοίως δὲ τῷ δελφῖνι καὶ ἡ φώκαινα. Καὶ γάρ ἐστιν ὅμοιον δελφῖνι μικρῷ· γίνεται δὲ ἐν τῷ Πόντῳ. Διαφέρει δὲ φώκαινα δελφῖνος· ἔστι γὰρ τὸ μέγεθος ἔλαττον, εὐρύτερον δὲ ἐκ τοῦ νώτου, καὶ τὸ χρῶμα ἔχει κυανοῦν· πολλοὶ δὲ δελφίνων τι γένος εἶναί φασι τὴν φώκαιναν. Αναπνεῖ δὲ πάντα ὅσα ἔχει φυσητῆρα, καὶ δέχεται τὸν ἀέρα· πνεύμονα γὰρ ἔχουσι. Καὶ ὅ γε δελφὶς ὦπται ὅταν καθεύδῃ ὑπέρχων τὸ ῥύγχος καὶ ῥέγχει καθεύδων. Εχει δὲ ὁ δελφὶν ὡς καὶ ἡ φώκαινα γάλα, καὶ θηλάζονται· καὶ εἰσδέχονται δὲ τὰ τέκνα μικρὰ ὄντα. Τὴν δὲ αὔξησιν τὰ τέκνα τῶν δελφίνων ποιοῦνται ταχεῖαν, ἐν ἔτεσι γὰρ δέκα μέγεθος λαμβάνουσι τέλειον. Κύει δὲ δέκα μῆνας. Τίκτει δὲ ὁ δελφὶς ἐν τῷ θέρει, ἐν ἄλλῃ δὲ ὥρᾳ οὐδεμιᾷ. Συμβαίνει δὲ καὶ ἀφανίζεσθαι αὐτὸν ὑπὸ κύνα, περὶ τριάκοντα ἡμέρας. Παρακολουθεῖ δὲ τὰ τέκνα πολὺν χρόνον, καὶ ἔστι τὸ ζῶον φιλότεκνον. Ζῇ ἔτη πολλά· δῆλοι γὰρ ἔνιοι γεγόνασι βιοῦντες πέντε καὶ εἴκοσιν ἔτη, οἱ δὲ τριάκοντα. Αποκόπτοντες γὰρ ἐνίων τὸ οὐραῖον οἱ ἁλιεῖς ἀφιᾶσιν, ὥστε τούτῳ γνορίζουσι τοὺς χρόνους αὐτῶν.

11. Η δὲ φώκη ἔστι μὲν τῶν ἐπαμφοτεριζόντων ζώων· οὐ δέχεται μὲν γὰρ τὸ ὕδωρ, ἀλλ' ἀναπνεῖ· καὶ καθεύδει καὶ τίκτει ἐν τῇ γῇ μὲν, πρὸς τοῖς αἰγιαλοῖς δὲ, ὡς οὖσα τῶν πεζῶν. Διατρίβει

On

On vient de voir de quelle maniere les chiens de mer & tous ceux de XII.
cette espece, le chien renard par exemple & le chien proprement dit : de 10.
quelle maniere aussi les poissons larges, la torpille, la raie, la raie lisse & la pastenaque, mettent au jour des Animaux vivans après avoir eu des œufs. Le dauphin, la baleine, les autres cétacées qui n'ont point de bronches mais des évents, & encore le bœuf marin & le *pristis* sont vraiment vivipares. On ne leur voit point d'œufs ; ils ont dès le premier instant un embryon qui en se perfectionnant devient l'animal même, ainsi que dans l'espece de l'homme & des quadrupedes vivipares. Le dauphin n'a le plus ordinairement qu'un petit : quelquefois deux. La baleine en a communément deux & c'est le plus : cependant quelquefois elle n'en a qu'un. La *phocene* produit comme le dauphin, auquel elle ressemble en petit. Elle se trouve dans la mer du Pont. La *phocene* differe d'ailleurs du dauphin en ce qu'elle est moins grosse, qu'elle a le dos plus large, & que sa couleur est verd d'eau. Plusieurs personnes prétendent que la *phocene* n'est qu'une espece de dauphin. Tous les poissons qui ont des évents respirent & recoivent l'air, car ils ont un poumon. On a vu le dauphin tenir son museau hors de l'eau en dormant : on l'a entendu ronfler. Le dauphin & la *phocene* ont du lait dont ils nourrissent leurs petits. Lorsqu'ils ne sont pas encore bien grands ils les retirent au dedans d'eux-mêmes. Au reste les petits du dauphin croissent promptement : au bout de dix années ils ont atteint leur juste grandeur. La femelle porte dix mois, & la seule saison où elle produise est l'été. Quelquefois les dauphins disparoissent pendant trente jours vers la canicule. Les petits de ce poisson le suivent fort long-tems : il les aime beaucoup. Sa vie est longue : on en a vu arriver à leur vingt-cinquiéme & même à leur trentiéme année. Les pêcheurs s'assurent de la durée de leur vie en coupant la queue à quelques-uns pour les reconnoître.

Le phoque est un animal amphibie. Il n'avale point l'eau, au contraire il 11.
respire l'air ; il dort & fait ses petits à terre, comme s'il étoit du nombre des Animaux terrestres : mais il les fait au bord de la mer. D'un autre côté

δὲ τȣ͂ χρόνȣ τὸ πολὺ, ϰ̀ τρέφεται ἐκ τῆς θαλάσσης, διὸ μετὰ τῶν ἐνύδρων περὶ αὐτῆς λεκτέον. Ζωοτοκεῖ μὲν οὖν εὐθὺς ἐν αὐτῇ, καὶ τίκτει ζῶα, καὶ χορίον ϰ̀ τὸ γάλα προΐεται, ὥσπερ πρόβατον. Τίκτει δ' ἓν ἢ δύο, τὰ δὲ πλεῖστα τρία. Καὶ μαστὸς δ' ἔχει δύο, καὶ θηλάζεται ὑπὸ τῶν τέκνων, καθάπερ τὰ τετράποδα. Τίκτει δὲ ὥσπερ ἄνθρωπος πᾶσαν ὥραν τȣ͂ ἔτους, μάλιστα δὲ ἅμα ταῖς πρώταις αἰξίν. Αγει δὲ, περὶ δωδεκαταῖα ὄντα, τὰ τέκνα εἰς τὴν θάλατταν πολλάκις τῆς ἡμέρας, συνεθίζουσα κατὰ μικρόν· τὰ δὲ καταντη φέρεται, ἀλλ' ȣ̓ βαδίζει, διὰ τὸ μὴ δύνασθαι ἀπερείδεσθαι τοῖς ποσί. Συνάγει δὲ καὶ συστέλλει ἑαυτὴν, σαρκῶδες γάρ ἐστι καὶ μαλακὸν, καὶ ὀστᾶ χονδρώδη ἔχει. Αποκτεῖναι δὲ φώκην χαλεπὸν βιαίως, ἂν μή τις πατάξῃ παρὰ τὸν κρόταφον· τὸ γὰρ σῶμα σαρκῶδες αὐτῆς. Αφίησι δὲ ὁμοίαν φωνὴν βοΐ. Εχει δὲ καὶ τὸ αἰδοῖον ἡ θήλεια ὅμοιον βατίδι· ἅπαντα δὲ τὰ τοιαῦτα ὅμοιον αἰδοῖον ἔχει γυναικί.

XIII. Περὶ μὲν ȣ͂ν τῶν ἐνύδρων, καὶ ζωοτοκούντων, ἢ ἐν αὐτοῖς,
12. ἢ ἔξω, ἡ γένεσις, καὶ τὰ περὶ τὸν τόκον, τȣ͂τον ἔχει τὸν τρόπον. Οἱ δὲ ᾠοτοκοῦντες τῶν ἰχθύων, τὴν μὲν ὑστέραν δικρόαν ἔχουσι, καὶ κάτω, καθάπερ ἐλέχθη πρότερον. Ωοτοκοκοῦσι δὲ πάντες οἱ λεπιδωτοὶ, οἷον λάβραξ, κεστρεὺς, κέφαλος, ἔτελις· καὶ οἱ λευκοὶ καλούμενοι πάντες, καὶ οἱ λεῖοι, πλὴν ἐγχέλυος· ᾠὸν δὲ ἴσχουσι ψαδυρόν. Τȣ͂το δὲ φαίνεται διὰ τὸ τὴν ὑστέραν εἶναι πλήρη πᾶσαν ᾠῶν, ὥστ' ἔν γε τοῖς μικροῖς τῶν ἰχθύων δοκεῖν ᾠὰ μόνον εἶναι δύο· διὰ τὴν σμικρότητα γὰρ ϰ̀ τὴν λεπτότητα, ἄδηλος ἐν αὐτοῖς ἡ ὑστέρα.

Περὶ μὲν ȣ͂ν τῆς ὀχείας πάντων τῶν ἰχθύων εἴρηται πρότερον. Εἰσὶ δὲ τῶν ἰχθύων οἱ μὲν πλεῖστοι, ἄῤῥενες καὶ θήλεις· περὶ δὲ ἐρυθρινοῦ καὶ χάννης ἀπορεῖται, πάντες γὰρ ἁλίσκονται κυήματα ἔχοντες. Συνίστανται μὲν οὖν καὶ ὀχευομένων ᾠὰ τοῖς

il passe la plus grande partie de sa vie dans l'eau, & il y prend sa nourriture : c'est ce qui me détermine à parler de lui après les Animaux aquatiques. Le phoque est absolument vivipare, intérieurement comme extérieurement ; sa femelle met bas des Animaux vivans, enveloppés d'un chorion, & elle a du lait comme une brebis. Ses petits sont au nombre d'un, de deux, &, pour le plus, de trois. Elle a deux mamelles que ses petits tettent de la même maniere que les petits des quadrupedes. Le phoque se reproduit, comme l'homme, dans toutes les saisons de l'année indistinctement : plus ordinairement néanmoins dans la saison où naissent les premieres chevres. Quand ses petits ont environ douze jours, il les conduit à la mer, plusieurs fois par jour, pour les y accoutumer insensiblement ; mais comme leurs pieds ne sont pas encore en état de les soutenir, ils se laissent glisser sur la côte, sans marcher. Le phoque peut aisément retirer son corps & le replier sur lui même, parce qu'il est charnu, souple, & que ses os sont cartilagineux. La grande quantité de chair qu'il a le rend difficile à tuer, si l'on ne le frappe à la temple. Il mugit comme le bœuf. La vulve de la femelle est semblable à celle de la raie : & en général la vulve de tous ces Animaux ressemble à celle de la femme.

Les Animaux aquatiques vivipares soit au dedans d'eux-mêmes, soit seulement à l'extérieur, conçoivent & font leurs petits ainsi que je viens de le décrire. Les poissons ovipares ont, je l'ai déja dit, la matrice composée de deux parties, & placée vers le bas. Les poissons ovipares sont, d'abord tous les poissons à écaille, le loup, par exemple, le muge, le capiton, l'*etelis* ; ensuite tous ceux que l'on appelle blancs, enfin les poissons lisses, à l'exception de l'anguille. Leur œuf est de l'espece sabloneuse. Cette dénomination vient de ce que leur matrice est entiérement remplie de petits œufs, au point qu'on croiroit que dans les petits poissons il n'y a en tout que deux œufs ; leur matrice est d'ailleurs si déliée & si mince qu'on ne l'apperçoit pas. XIII. 12.

J'ai exposé plus haut ce qui regarde l'accouplement des poissons de quelque genre qu'ils soient. Dans le plus grand nombre de leurs especes on reconnoît les deux sexes ; à l'égard du rouget & du serran on est en doute, parce qu'on trouve des œufs dans tous ceux que l'on prend. Les œufs sont

συνδυαζομένοις τῶν ἰχθύων. Ἴσχουσι δὲ καὶ ἄνευ ὀχείας· δηλοῦσι δ᾽ ἔνιοι τῶν ποταμίων. Εὐθὺς γὰρ γενόμενοι, ὡς εἰπεῖν, καὶ μικροὶ ὄντες οἱ φοξῖνοι, κυήματα ἔχουσιν.

Ἀποῤῥαίνουσι δὲ τὰ ᾠὰ, καὶ, καθάπερ λέγεται, τὰ μὲν πολλὰ ᾠὰ οἱ ἄῤῥενες ἀνακάπτουσι, τὰ δ᾽ ἀπόλλυται ἐν τῷ ὑγρῷ· ὅσα δ᾽ ἂν ἐκτέκωσιν εἰς τοὺς τόπους εἰς οὓς ἐκτίκτουσι, ταῦτα σώζεται. Εἰ γὰρ πάντα ἐσώζετο, παμπληθὲς τὸ γένος ἦν ἂν ἑκάστων. Καὶ τούτων δὲ οὐ γίνεται τὰ πολλὰ γόνιμα, ἀλλ᾽ ὅσα ἂν περιῤῥάνῃ ὁ ἄῤῥην τῷ θορῷ. Ὅταν γὰρ ἐκτίκτῃ, παρεπόμενος ὁ ἄῤῥην ἐπιῤῥαίνει ἐπὶ τὰ ᾠὰ τὸν θορόν· καὶ ὅσα περ ἂν ἐπιῤῥανθῇ, ἐκ πάντων γίνεται ἰχθύδια· ἐκ δὲ τῶν ἄλλων, ὅπως ἂν τύχῃ. Ταὐτὸ δὲ συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν μαλακίων. Ὁ γὰρ ἄῤῥην τῶν σηπιῶν, ὅταν ἐκτέκῃ ἡ θήλεια, ἐπιῤῥαίνει τὰ ᾠά· ὅπερ εὔλογον συμβαίνειν καὶ ἐπὶ τῶν ἄλλων μαλακίων· ἀλλ᾽ ἐπὶ τῶν σηπιῶν ὦπται ἐν τῷ παρόντι μόνον. Ἐκτίκτουσι δὲ πρὸς τῇ γῇ οἱ μὲν κωβιοὶ πρὸς τοῖς λίθοις, πλὴν πλατὺ καὶ ψαδυρὸν τὸ ἀποτικτόμενόν ἐστιν. Ὁμοίως δὲ καὶ οἱ ἄλλοι. Ἀλεεινά τε γάρ ἐστι τὰ περὶ τὴν γῆν, καὶ τροφὴν ἔχει μᾶλλον· καὶ πρὸς τὸ μὴ κατεσθίεσθαι ὑπὸ τῶν μειζόνων τὰ κυήματα. Διὸ καὶ ἐν τῷ Πόντῳ περὶ τὸν Θερμώδοντα ποταμὸν οἱ πλεῖστοι τίκτουσι· νήνεμος γὰρ ὁ τόπος καὶ ἀλεεινὸς, καὶ ἔχων ὕδατα γλυκέα. Τίκτουσι δὲ οἱ μὲν ἄλλοι τῶν ᾠοτόκων ἰχθύων ἅπαξ τοῦ ἐνιαυτοῦ, πλὴν τῶν μικρῶν φυκίδων· αὗται δὲ δίς. Διαφέρει δὲ ὁ ἄῤῥην φύκης τῆς θηλείας τῷ μελάντερος εἶναι, καὶ μείζους ἔχειν τὰς λεπίδας.

Οἱ μὲν οὖν ἄλλοι ἰχθύες ἐν γόνῳ τίκτουσι, καὶ τὰ ᾠὰ ἀφιᾶσιν· ἣν δὲ καλοῦσί τινες βελόνην, ὅταν ἤδη ὥρα ᾖ τοῦ τίκτειν, διαῤῥήγνυται, καὶ οὕτω τὰ ᾠὰ ἐξέρχεται. Ἔχει γάρ τινα ὁ ἰχθὺς οὗτος διάφυσιν ὑπὸ τὴν γαστέρα καὶ τὸ ἦτρον, ὥσπερ οἱ τυφλῖναι ὄφεις· ὅταν δ᾽ ἐκτέκῃ, ζῇ, καὶ συμφύεται πάλιν ταῦτα.

le fruit de l'accouplement dans les poiſſons qui s'accouplent, mais ils en ont auſſi ſans qu'aucun accouplement ait précédé. On en a des exemples parmi les poiſſons de riviere. Les phoxins encore tout petits, à peine nés pour ainſi-dire, ont déja des œufs.

Lorſque les poiſſons ont jetté leurs œufs, les mâles en dévorent, à ce qu'on aſſure, un grand nombre : d'autres périſſent dans les flots : ceux-là ſeulement échappent qui ont été dépoſés dans des lieux favorables. Si tous les œufs réuſſiſſoient, chaque eſpece de poiſſons ſeroit trop nombreuſe. Mais entre ceux mêmes qui échappent, le plus grand nombre n'eſt pas fécond : il n'y a que ceux que le mâle a arroſés de ſa liqueur ſéminale. Tandis que la femelle jette ſes œufs, le mâle la ſuit, & jette auſſi la liqueur dont il eſt pourvu. Les œufs qui la reçoivent produiſent des poiſſons ; les autres deviennent ce qu'il plaît au hazard. Il en eſt de même parmi les molluſques. Le mâle de la ſeche arroſe les œufs que la femelle a jettés, & quoique juſqu'à préſent ce fait n'ait été obſervé qu'à l'égard de la ſeche, il y a lieu de croire qu'il n'en eſt pas autrement des autres eſpeces de molluſques. Les poiſſons jettent leurs œufs près de la terre : les goujons le long des pierres. Une particularité par rapport à ceux-ci, c'eſt que leur œuf, après même qu'il eſt ſorti de la femelle eſt large & eſt encore compoſé de grains, ou comme on dit, ſabloneux. Les poiſſons cherchent le voiſinage des terres pour y dépoſer leurs œufs, parce qu'il eſt plus chaud, plus abondant en nourriture, & que leurs petits n'y ſont pas expoſés à être mangés par les grands poiſſons. C'eſt ce qui fait que la plûpart des poiſſons qui habitent la mer du Pont, jettent leurs œufs à l'embouchure du Thermodon, parce qu'elle eſt abritée du vent, chaude, & que l'eau douce s'y trouve abondante. A l'exception des *phycis* de la petite eſpece qui produiſent deux fois l'année, les autres poiſſons ovipares ne produiſent qu'une fois. Dans cette eſpece, le mâle ſe diſtingue de la femelle par ſa couleur plus noire & par ſes écailles plus grandes.

Les poiſſons ont un organe ouvert deſtiné à l'accouplement & à l'émiſſion des œufs : mais dans le poiſſon que quelques-uns appellent aiguille, lorſque le tems de la ponte eſt venu, le ventre ſe déchire & les œufs ſortent par cette ouverture. Ce poiſſon a, comme le ſerpent aveugle, une eſpece de fente ſous la partie la plus baſſe du ventre ; le déchirement qu'il y éprouve ne le fait pas périr ; après l'émiſſion des œufs la plaie ſe réunit.

Η δὲ γένεσις ἐκ τοῦ ὠοῦ ὁμοίως συμβαίνει ἐπί τε τῶν ἔσω ὠοτοκούντων, καὶ ἐπὶ τῶν ἔξω. Επ᾽ ἄκρου τε γὰρ γίνεται, καὶ ὑμένι περιέχεται, καὶ πρῶτον διάδηλοι οἱ ὀφθαλμοὶ μεγάλοι καὶ σφαιροειδεῖς ὄντες· ᾗ καὶ δῆλον ὅτι οὐχ, ὥσπερ τινές φασιν, ὁμοίως γίνονται τοῖς ἐκ τῶν σκωλήκων γινομένοις. Τοὐναντίον γὰρ συμβαίνει ἐπ᾽ ἐκείνων, τὰ κάτω μείζω πρῶτον· ἡ δὲ κεφαλὴ καὶ οἱ ὀφθαλμοὶ, ὕστερον. Οταν δ᾽ ἀναλωθῇ τὸ ὠὸν, γίνονται γυρινώδεις· καὶ τὸ μὲν πρῶτον, οὐδεμίαν τροφὴν λαμβάνοντα, αὐξάνονται ἐκ τῆς ἀπὸ τοῦ ὠοῦ ἐγγενομένης ὑγρότητος· ὕστερον δὲ τρέφονται, ἕως ἂν αὐξηθῶσι, τοῖς ποταμίοις ὕδασι. Τοῦ δὲ Πόντου καθαιρομένου ἐπιφέρεταί τι κατὰ τὸν Ελλήσποντον ὃ καλοῦσι φῦκος· ἔστι δὲ ὠχρὸν τοῦτο. Οἱ δέ φασι τοῦτο ἄνθος εἶναι τοῦ φύκου· ἀφ᾽ οὗ τὸ φύκιον εἶναι. Αρχομένου δὲ γίνεται τοῦ θέρους. Τούτῳ τρέφεται καὶ τὰ ὄστρεα, καὶ τὰ ἰχθύδια τὰ ἐν τοῖς τόποις τούτοις. Φασὶ δέ τινες τῶν θαλαττίων καὶ τὴν πορφύραν ἴσχειν ἀπὸ τούτου τὸ ἄνθος.

XIV. Οἱ δὲ λιμναῖοι καὶ ποτάμιοι τῶν ἰχθύων κυήματα μὲν
13. ἴσχουσι πέντε μῆνας τὴν ἡλικίαν ἔχοντες, ὡς ἐπιτοπολὺ εἰπεῖν· τίκτουσι δὲ τοῦ ἐνιαυτοῦ περιιόντος ἅπαντες· ὥσπερ δὲ καὶ οἱ θαλάττιοι, καὶ οὗτοι οὐκ ἐξαφιᾶσιν οὐδέποτε ἅμα πᾶν, οὔτε αἱ θήλειαι τὸ ὠὸν, οὔτε οἱ ἄῤῥενες τὸν θορὸν, ἀλλ᾽ ἔχουσιν ἀεὶ πλείω ἢ ἐλάττονα, αἱ μὲν ὠὰ, οἱ δὲ θορόν. Τίκτουσι δὲ ἐν τῇ καθηκούσῃ ὥρᾳ· κυπρῖνος μὲν πεντάκις, ἢ ἑξάκις· ποιεῖται δὲ τὸν τόκον μάλιστα ἐπὶ τοῖς ἄστροις· χαλκὶς δὲ τίκτει τρίς· οἱ δὲ ἄλλοι ἅπαξ τοῦ ἐνιαυτοῦ. Τίκτουσι δὲ πάντες ἐν ταῖς προλιμνάσι τῶν ποταμῶν καὶ τῶν λιμνῶν, πρὸς τὰ καλαμώδη, οἷον οἵ τε φοξῖνοι καὶ αἱ πέρκαι. Οἱ δὲ γλανεῖς καὶ αἱ πέρκαι συνεχὲς ἀφιᾶσι τὸ κύημα, ὥσπερ οἱ βάτραχοι. Οὕτω δὲ συνεχές ἐστι τὸ κύημα περιειλιγμένον, ὥστε τό τε τῆς πέρκης, διὰ πλατύτητα ἀναπηνίζονται ἐν ταῖς λίμναις οἱ ἁλιεῖς ἐκ τῶν καλάμων.

La formation du poiſſon dans l'œuf eſt la même, ſoit que les œufs éclo-ſent en dedans de la mere ou hors d'elle. C'eſt toujours au ſommet de l'œuf qu'elle ſe fait : le petit poiſſon y eſt enveloppé d'une membrane. On diſtingue d'abord ſes yeux qui ſont gros & ronds. Cette obſervation prouve au reſte, qu'il n'eſt pas vrai, comme quelques perſonnes l'ont dit, que les poiſſons ſe forment de la même maniere que les Animaux qui viennent de vers, puiſque dans ces derniers, ce ſont au contraire les parties inférieures qui ſont d'abord les plus groſſes, les yeux & la tête étant plus petits. Lorſque la ſubſtance de l'œuf eſt conſommée, le poiſſon eſt replié en rond ſur lui même : il ne prend d'abord aucune nourriture, la liqueur qu'il a tirée de l'œuf ſuffiſant pour le faire croître : il ſe nourrit enſuite d'eau de riviere, juſqu'à ce qu'il ſoit devenu plus fort. Dans le tems où les eaux du Pont ſe purifient, il tombe de cette mer dans l'Helleſpont ce que l'on appelle le *fucus*. C'eſt quelque choſe de jaune que l'on dit être la fleur du *fucus* & dont on fait le fard. Il paroît au commencement de l'été ; les coquillages & les petits poiſſons qui ſe trouvent dans ces lieux en font leur nourriture. Il y a des perſonnes voiſines de la mer qui prétendent que c'eſt delà que la pourpre tire ſa fleur.

Les poiſſons des lacs & des rivieres ont, généralement parlant, des œufs XIV.
dès leur cinquiéme mois : tous ſe reproduiſent avant la fin de leur premiere 13.
année. Semblables aux poiſſons de mer, les femelles ne jettent point à la fois tous leurs œufs, ni les mâles tout leur ſperme. Il en reſte toujours dans les uns & les autres plus ou moins. Les femelles ont des tems marqués pour ſe décharger de leurs œufs. La carpe en jette cinq à ſix fois dans l'année, & c'eſt ſur-tout au lever des conſtellations qu'elle les jette ; le *chalcis*, trois fois ; les autres une ſeule fois. Tous dépoſent leurs œufs au bord des rivieres & des étangs, entre les roſeaux. Les phoxins & les perches peuvent ſervir d'exemple. Les œufs du glanis & de la perche, ſortent liés les uns aux autres, comme ceux des grenouilles. Ils ſont tellement unis & entrelaſſés, ſurtout ceux de la perche qui forment une bande plus large, que les pêcheurs les tirent à eux en les entortillant comme un ruban, autour du roſeau qui porte leur ligne. Les plus grands d'entre les glanis jettent leur œufs dans les lieux

Οἱ μὲν οὖν μείζους τῶν γλανέων ἐν τοῖς βαθέσι ἐκτίκτουσιν, ἔνιοι καὶ κατ' ὀργυιὰς τὸ βάθος· οἱ δ' ἐλάττους αὐτῶν ἐν τοῖς βραχυτέροις, μάλιστα πρὸς ῥίζαις ἰτέας, ἢ ἄλλου τινὸς δένδρου, καὶ πρὸς τῷ καλάμῳ δὲ, καὶ πρὸς τῷ βρύῳ. Συμπλέκονται δὲ πρὸς ἀλλήλους ἐνίοτε καὶ μέγας πρὸς μικρόν· καὶ προσαγόντες τοὺς πόρους πρὸς ἀλλήλους, οὓς καλοῦσί τινες ὀμφαλοὺς ᾗ τὸν γόνον ἀφιᾶσιν, αἱ μὲν τὰ ὠὰ, οἱ δὲ τὸν θορὸν ἐξιᾶσιν· ὅσα δ' ἂν τῷ θορῷ μιχθῇ τῶν ὠῶν, εὐθύς τε λευκότερα φαίνεται, καὶ μείζω ἐν ἡμέρᾳ, ὡς εἰπεῖν. Ὕστερον δὲ ὀλίγον χρόνον δῆλά ἐστι τὰ ὄμματα τοῦ ἰχθύος· τοῦτο γὰρ ἐν πᾶσι τοῖς ἰχθύσιν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις, ἐπιδηλότατόν ἐστιν εὐθὺς, καὶ φαίνεται μέγιστον. Οσων δ' ἂν ὠῶν ὁ θορὸς μὴ θίγῃ, καθάπερ καὶ ἐπὶ τῶν θαλαττίων, ἀχρεῖον τὸ ὠὸν τοῦτο, καὶ ἄγονόν ἐστιν. Απὸ δὲ τῶν γονίμων ὠῶν αὐξανομένων τῶν ἰχθύων, ἀποκαθαίρεται οἷον κέλυφος· τοῦτο δ' ἐστὶν ὑμὴν ὁ περιέχων τὸ ὠὸν καὶ τὸ ἰχθύδιον. Οταν δὲ μιγῇ τῷ ὠῷ ὁ θορὸς, σφόδρα γίνεται κολλῶδες τὸ συνεστηκὸς ἐξ αὐτῶν πρὸς ταῖς ῥίζαις, ἢ ὅπου ἂν ἐκτέκωσιν· οὗ δ' ἂν πλεῖστον ἐκτέκωσιν, ὠοφυλακεῖ ὁ ἄῤῥην, ἡ δὲ θήλεια ἀπέρχεται τεκοῦσα. Εστι δὲ βραδυτάτη μὲν ἐκ τῶν ὠῶν ἡ τῶν γλανέων αὔξησις· διὸ προσεδρεύει ὁ ἄῤῥην καὶ τετταράκοντα καὶ πεντήκοντα ἡμέρας, ὅπως μὴ κατεσθίηται ὁ γόνος ὑπὸ τῶν παρατυχόντων ἰχθύων. Δευτέρα δὲ βραδυτῆτι ἡ τοῦ κυπρίνου γένεσις· ὅμως δὲ ταχέως καὶ τούτων ὁ σωζόμενος διαφεύγει γόνος. Τῶν δ' ἐλαττόνων ἐνίων, καὶ τριταίων ὄντων, ἤδη ἰχθύδιά ἐστι. Λαμβάνει δὲ αὔξησιν τὰ ὠὰ, ὧν ἂν ἐπιψαύσῃ ὁ θορὸς, καὶ αὐθημερὸν, καὶ ἔτι ὕστερον. Τὰ μὲν οὖν τοῦ γλάνιος γίνεται ὅσον ὄροβος· τὰ δὲ τῶν κυπρίνων καὶ τῶν τοιούτων, ὅσον κέγχρος.

Ταῦτα μὲν οὖν τοῦτον τὸν τρόπον τίκτει καὶ γεννᾷ. Χαλκὶς δὲ τίκτει ἐν τοῖς βαθέσιν ἀθρόα καὶ ἀγελαῖα. Ον δὲ καλοῦσι

οὐ

où il y a beaucoup d'eau : quelques-uns choisissent un fonds de la hauteur d'un homme. Les petits glanis déposent leurs œufs dans des bas fonds, près des racines, soit de saule, soit de quelque autre arbre : près des roseaux : près de la mousse. Il n'est pas sans exemple qu'un grand glanis & un petit s'unissent l'un à l'autre. Ils approchent réciproquement ces conduits que quelques-uns nomment leur ombilic, d'où sort ce qui doit les reproduire, c'est-à-dire des œufs de la part de la femelle, & du sperme de la part du mâle. Tous les œufs qui sont arrosés de ce sperme blanchissent sur le champ, & grossissent, pour ainsi-dire, dès le jour même ; bientôt les yeux du petit glanis paroissent : car cette partie est dans tous les poissons, ainsi que dans les autres Animaux, celle qui se distingue d'abord le plus aisément, & qui occupe le plus d'espace. Ceux des œufs sur lesquels la liqueur du mâle n'a point été répandue, ne produisent rien & demeurent stériles, comme il arrive par rapport aux œufs des poissons de mer. Les œufs fécondés étant parvenus à leur grosseur, il s'en détache une espece d'enveloppe : c'est la membrane qui renfermoit l'œuf & le petit poisson. La liqueur seminale jettée sur l'œuf rend le tout fort gluant, de sorte qu'il s'attache, soit aux racines, soit aux autres lieux où il tombe. La femelle, après avoir jetté ses œufs, se retire : le mâle reste dans les endroits où ils sont en plus grande quantité, pour les garder. Les œufs du glanis sont les plus lents de tous à éclorre, c'est pourquoi le mâle reste jusqu'à quarante & cinquante jours à les garder, pour qu'ils ne soient pas la proie des poissons qui passeroient. Après ce poisson, le plus lent à croître est la carpe : néanmoins ceux de ses petits qui échappent sont d'assez bonne heure en état de fuir. Dans quelques-unes des especes plus petites, le poisson est déja formé dès le troisieme jour. Les œufs arrosés de la liqueur du mâle grossissent le jour même, & ils continuent à grossir les jours suivans. Ceux du glanis deviennent gros comme des graines d'ers ; ceux de la carpe, & autres de ce genre, comme des grains de millet.

C'est assez parler de la génération & des œufs de ces poissons. Le *chalcis* jette ses œufs drus & rassemblés dans les lieux profonds. Celui qu'on nomme

ψύλωνα, πρὸς τοῖς αἰγιαλοῖς, ἐν ὑπηνέμοις ἀγελαίως δὲ καὶ οὗτος. Κυπρῖνος δὲ καὶ βαλῖνος, καὶ οἱ ἄλλοι πάντες, ὡς εἰπεῖν, ὠθοῦνται μὲν πρὸς τὰ βραχέα πρὸς τὸν τόκον. Μιᾷ δὲ θηλείᾳ πολλάκις ἀκολουθοῦσιν ἄῤῥενες καὶ τρεισκαίδεκα, καὶ τεσσαρεσκαίδεκα. Τῆς δὲ θηλείας ἀφιείσης τὸ ὠὸν καὶ ὑποχωρούσης, ἐπακολουθοῦντες ἐπιῤῥαίνουσι τὸν θορόν· ἀπόλλυται δὲ τὰ πλεῖστα αὐτῶν· διὰ γὰρ τὸ ὑποχωροῦσαν τίκτειν τὴν θήλειαν, σκεδάννυται τὸ ὠὸν, ὅταν ὑπὸ ῥεύματος ληφθῇ, καὶ μὴ προσπέσῃ πρὸς ὕλην. Καὶ γὰρ οὐδὲ ὠοφυλακεῖ τῶν ἄλλων ἔξω γλάνιος οὐθεὶς, πλὴν ἐὰν ἀθρόῳ γόνῳ ἑαυτοῦ περιτύχῃ ὁ κυπρῖνος· τοῦτον δέ φασιν ὠοφυλακεῖν. Θορὸν δὲ πάντες ἔχουσιν οἱ ἄῤῥενες, πλὴν ἐγχέλυος· αὕτη δὲ οὔτε θορὸν, οὔτε ὠόν. Οἱ μὲν οὖν κεστρεῖς, ἐκ τῆς θαλάττης ἀναβαίνουσιν εἴς τε τὰς λίμνας καὶ τοὺς ποταμούς· αἱ δ' ἐγχέλυς, τοὐναντίον ἐκ τούτων εἰς τὴν θάλασσαν.

XV. Οἱ μὲν οὖν πλεῖστοι, ὥσπερ εἴρηται, τῶν ἰχθύων γίνονται
14. ἐξ ὠῶν. Οὐ μὴν ἀλλ' ἔνιοι καὶ ἐκ τῆς ἰλύος, καὶ ἐκ τῆς ἄμμου γίνονται, καὶ τῶν τοιούτων γενῶν ἃ γίνεται ἐκ συνδυασμοῦ καὶ ὠῶν, ἐν τέλμασιν ἄλλοις τε, καὶ οἵοις περὶ Κνίδον φασὶν εἶναί ποτε· ἃ ἐξηραίνετο μὲν ὑπὸ κύνα, καὶ ἡ ἰλὺς ἅπασα ἐξηρεῖτο· ὕδωρ δὲ ἤρχετο ἐγγίνεσθαι ἅμα τοῖς πρώτοις γιγνομένοις ὑετοῖς· ἐν τούτῳ δὲ ἰχθύδια ἐνεγίνετο ἀρχομένου τοῦ ὕδατος. Ην δὲ κεστρέων τι γένος τοῦτο, ὃ οὐδὲ γίνεται μὲν ἐξ ὀχείας, μέγεθος ἡλίκα μαινίδια μικρά· ὠὸν δὲ τούτων εἶχεν οὐδὲν, οὐδὲ θορόν. Γίνεται δὲ καὶ ἐν ποταμοῖς ἐν τῇ Ἀσίᾳ, ὅπου διαῤῥέουσιν εἰς θάλασσαν, ἰχθύδια μικρὰ, ἡλίκα ἑψητοὺ ἕτερα, τὸν αὐτὸν τρόπον τούτοις.

Ενιοι δὲ καὶ οὕτως φασὶ τοὺς κεστρεῖς φύεσθαι πάντας, οὐκ ὀρθῶς λέγοντες· ἔχουσαι γὰρ φαίνονται καὶ ὠὰ αἱ θήλειαι αὐτῶν, καὶ θορὸν οἱ ἄῤῥενες· ἀλλὰ γένος τί ἐστιν αὐτῶν τοιοῦτον, ὃ φύεται ἐκ τῆς ἰλύος καὶ τῆς ἄμμου.

psylon les jette le long des bords & dans les endroits qui sont sous le vent. Il jette aussi ses œufs en nombre dans un même lieu. La carpe, le *balin*, & presque tous les autres préferent les lieux où il y a peu d'eau. Souvent on voit treize ou quatorze mâles suivre une seule femelle : à mesure qu'elle jette ses œufs en avançant, les mâles qui la suivent les arrosent. Mais le plus grand nombre de ces œufs périt, parce que, comme la femelle les jette en changeant de place, ceux qui ne tombent point contre quelque chose qui les arrête sont entraînés par le courant & dissipés çà & là. Il n'y a d'ailleurs que le glanis qui garde exactement ses œufs. On dit que le mâle de la carpe les garde; mais seulement lorsqu'il s'en trouve une quantité rassemblée dans le même lieu. Tous les mâles des poissons, excepté celui de l'anguille, ont leur liqueur seminale. L'anguille n'a ni sperme ni œufs. Ces poissons descendent des fleuves & des lacs dans la mer : à la différence des muges qui remontent de la mer dans les fleuves & les lacs.

Quoique le plus grand nombre des poissons se reproduise d'œufs, ainsi XV.
que je l'ai exposé, quelques-uns néanmoins viennent soit du limon, soit du 14.
sable, & ce sont des poissons de la même espece que ceux qui sont nés d'un œuf, & qui sont le fruit d'un accouplement. Ces sortes de poissons se produisent dans différens marais, & singuliérement dans ceux qu'on dit avoir été autrefois aux environs de Cnide. Ils tarissoient dans le tems de la canicule, & tout le limon devenoit absolument sec. L'eau commençoit à y revenir avec les premieres pluies, & à peine y étoit-elle, qu'il s'y formoit de petits poissons. C'étoit une espece de muges, d'un genre qui ne se reproduit point par l'accouplement : ils n'étoient pas plus grands que de petites *mænides*; & on ne leur trouvoit ni œuf ni sperme. Il se forme de la même maniere, en Asie, à l'embouchure des fleuves, d'autres petits poissons, de la grosseur de ceux dont on fait des sauces.

Il y a des personnes qui disent que tous les muges généralement se forment de cette maniere, mais ces personnes sont dans l'erreur, puisque dans le genre des muges on trouve des femelles qui ont des œufs, & des mâles qui ont du sperme. Ce n'est donc qu'une espece particuliere de muges qui vient du limon & du sable.

Οτι μὲν ὖν γίνεται αὐτόματα ἔνια, οὔτε ἐξ ὠῶν, οὔτε ἐξ ὀχείας, φανερὸν ἐκ τέτων. Οσα δὲ μήτε ὠοτοκεῖ, μήτε ζωοτοκεῖ, ἅπαντα γίνεται, τὰ μὲν ἐκ τῆς ἰλύος, τὰ δ' ἐκ τῆς ἄμμου, καὶ τῆς ἐπιπολαζέσης σήψεως. Οἷον καὶ τῆς ἀφύης ὁ καλέμενος ἀφρὸς γίνεται ἐκ τῆς ἀμμώδους γῆς· καὶ ἔστιν αὕτη ἡ ἀφύη ἀναυξὴς καὶ ἄγονος· καὶ ὅταν πλείων γένηται χρόνος, ἀπόλλυται, ἄλλη δὲ πάλιν ἐπιγίνεται. Διὸ ἔξω χρόνου τινὸς ὀλίγου, πᾶσαν, ὡς εἰπεῖν, τὴν ἄλλω γίνεται ὥραν· διαμένει γὰρ ἀρξαμένη ἀπὸ ἀρκτούρου μετοπωρινοῦ μέχρι τῦ ἔαρος. Σημεῖον δ' ὅτι ἐνίοτ' ἐκ τῆς γῆς ἀνέρχεται, ἁλιευομένων γὰρ, ἐὰν ᾖ ψύχος μὲν, ἐχ ἁλίσκεται, ἐὰν δὲ εὐδία, ἁλίσκεται, ὡς ἐκ τῆς γῆς ἀνιοῦσα πρὸς τὴς ἀλέαν. Καὶ ἑλκόντων καὶ ἀναξυομένης τῆς γῆς πλεονάκις, πλείων γίνεται καὶ βελτίων. Αἱ δὲ ἄλλαι ἀφύαι χείρους, διὰ τὸ ταχέως λαμβάνειν αὔξησιν.

Γίνονται δὲ ἐν τοῖς ἐπισκίοις καὶ ἑλώδεσι τόποις, ὅταν εὐημερίας γενομένης ἀναθερμαίνηται ἡ γῆ· οἷον περὶ Αθήνας ἐν Σαλαμῖνι, καὶ πρὸς τῷ Θεμιστοκλείῳ, καὶ ἐν Μαραθῶνι· ἐν γὰρ τέτοις τοῖς τόποις γίνεται ὁ ἀφρός. Φαίνεται δὲ ἐν μὲν τόποις τοιέτοις, καὶ εὐημερίαις τοιαύταις. Γίνεται δὲ καὶ ἐνιαχῦ, ὁπόταν ὕδωρ πολὺ ἐκ τῦ οὐρανοῦ γένηται, ἐν τῷ ἀφρῷ τῷ γιγνομένῳ ἀπὸ τῦ ὀμβρίου ὕδατος· διὸ καὶ καλεῖται ἀφρός· καὶ ἐπιφέρεται ἐνίοτε ἐπιπολῆς τῆς θαλάττης, ὅταν εὐημερία ᾖ, ἐν ᾧ συστρέφεται οἷον ἐν τῇ κόπρῳ τὰ σκωλήκια μικρά· ὕτως ἐν τέτῳ ὁ ἀφρὸς, ὅπου ἂν συστῇ ἐπιπολῆς. Διὸ πολλαχῦ προσφέρεται τῦ πελάγους ἡ ἀφύη αὕτη· καὶ εὐθηνεῖ δὲ, καὶ ἁλίσκεται πλείστη, ὁπόταν ἔνυγρον καὶ εὐδιεινὸν γένηται τὸ ἔτος.

Η δὲ ἄλλη ἀφύη γόνος ἰχθύων ἐστίν· ὁ μὲν καλούμενος κωβίτης, κωβιῶν τῶν μικρῶν καὶ φαύλων, οἳ καταδύνουσιν εἰς τὴν γῆν. Εκ δὲ τῆς φαληρικῆς γίγνονται μὲν ἄραδες· ἐκ δὲ τέτων τριχίδες· ἐκ δὲ τῶν τριχίδων, τριχίαι· ἐκ δὲ μιᾶς ἀφύης,

Ces observations seroient suffisantes pour établir qu'il y a des Animaux qui se produisent d'eux-mêmes, & qui ne viennent ni d'un œuf ni d'un accouplement. Mais de plus tous ceux qui ne sont ni ovipares ni vivipares ne viennent que du limon, ou du sable, ou de quelques matieres qui pourrissent & nagent sur l'eau. Telle est l'aphye qu'on nomme écume. Elle naît d'une terre sablonneuse, & cette espece particuliere d'aphye ne croît ni ne se reproduit. Lorsqu'elle a subsisté un certain tems, elle périt : mais il s'en forme d'autres, de sorte qu'on en trouve à peu près en toute saison indistinctement, sauf un court intervalle. En effet après s'être formée, elle vit depuis le lever de l'arcture en automne, jusqu'au printems. Une preuve que l'aphye dont je parle sort de terre de tems à autre, c'est que ceux qui la pêchent n'en peuvent point prendre lorsqu'il fait froid. Ils en prennent quand le tems est doux, comme si elle sortoit de terre pour chercher la chaleur. De plus, pour en trouver un plus grand nombre & de meilleures, il n'y a qu'à gratter souvent la terre au fonds de l'eau & l'attirer à la surface. Les autres aphyes sont moins bonnes, parce qu'elles prennent leur croissance trop promptement.

Les aphyes se forment dans les lieux ombragés & marécageux, lorsque de beaux jours échauffent la terre. On le voit autour d'Athènes, à Salamine, vers cette partie du Pirée qui porte le nom de Thémistocle, à Marathon ; c'est dans ces lieux que se forme l'aphye nommée *écume :* elle y paroît aux jours sereins. L'aphye se forme encore en certains lieux dans l'écume que la pluie produit lorsqu'elle tombe du ciel avec abondance, & c'est même delà que vient son nom d'*écume*. Dans les beaux jours on voit quelquefois cette aphye portée avec l'écume sur la surface de la mer, s'y agiter comme les petits vers dans le fumier, c'est pouquoi elle est portée sur la mer tantôt d'un côté, tantôt de l'autre. Dans les années chaudes & humides, elle est plus grasse & plus abondante.

Les autres aphyes sont le produit de différens poissons. Celle que l'on nomme *goujonne* vient de petits goujons qui ne valent rien, & qui se fourrent dans la terre. De la *phalerique* se forment les *arades :* de celles-ci les *trichides*, & des *trichides* les *trichies*. Ce qu'on appelle les *encrasicholes* ne naissent

οἷον τῆς ἐν τῷ Αθηναίων λιμένι, οἱ ἐγκρασίχολοι καλούμενοι. Ἐςι δὲ καὶ ἄλλη ἀφύη ἣ γόνος ἐςὶ μαινίδων καὶ κεςρέων· ὁ δὲ ἀφρὸς ὁ ἄγονος, ὑγρός ἐςι, καὶ διαμένει ὀλίγον χρόνον, καθάπερ εἴρηται πρότερον. Τέλος γὰρ λείπεται κεφαλὴ καὶ ὀφθαλμοί· πλὴν νῦν εὕρηται τοῖς ἁλιεῦσι πρὸς τὸ διακομίζειν. Αλιζομένη γὰρ πλείω μένει χρόνον.

XVI. Αἱ δ' ἐγχέλυες ὔτ' ἐξ ὀχείας γίνονται, ὔτ' ὠοτοκοῦσιν, ὐδ'
15. ἐλήφθη ποτὲ ὔτε θορὸν ἔχουσα οὐδεμία, ὔτ' ὠόν· ὔτ' ἀνασχισθεῖσα, ἐντὸς θορικοὺς πόρους, οὔτε ὑςερικοὺς ἔχουσα· ἀλλὰ τῦτο ὅλον τὸ γένος τῶν ἐναίμων ὐ γίνεται ὔτε ἐξ ὀχείας, ὔτε ἐξ ὠῶν. Φανερὸν δέ ἐςιν ὅτι οὕτως ἔχει· ἐν ἐνίαις γὰρ τελματώδεσι λίμναις, τῦ τε ὕδατος παντὸς ἐξαντληθέντος, καὶ τῦ πηλοῦ ἐξωσθέντος, γίνονται πάλιν, ὓ ἂν ὕδωρ γένηται ὄμβριον· ἐν δὲ τοῖς αὐχμοῖς ὐ γίνονται, ὐδ' ἐν ταῖς διαμενούσαις λίμναις· καὶ γὰρ ζῶσι καὶ τρέφονται ὀμβρίῳ ὕδατι. Οτι μὲν ὖν ὔτε ἐξ ὀχείας, ὔτε ἐξ ὠῶν γίνονται, φανερόν ἐςι. Δοκοῦσι δέ τισι γεννᾷν, ὅτι ἐνίαις τῶν ἐγχελύων ἑλμίνθια ἐγγίνονται· ἐκ τύτων γὰρ οἴονται γίγνεσθαι ἐγχέλυς. Τῦτο δ' ἐςὶν οὐκ ἀληθές· ἀλλὰ γίγνονται ἐκ τῶν καλουμένων γῆς ἐντέρων· ἃ αὐτόματα συνίςαται ἐν τῷ πηλῷ, καὶ ἐν τῇ γῇ ἐνίκμῳ. Καὶ ἤδη εἰσὶν ὠμμέναι αἱ μὲν ἐκδύνυσαι ἐκ τύτων· αἱ δὲ ἐν διακνιζομένοις καὶ διαιρουμένοις γίνονται φανεραί. Καὶ ἐν τῇ θαλάττῃ δὲ, καὶ ἐν τοῖς ποταμοῖς γίνονται τὰ τοιαῦτα, ὅταν ᾖ μάλιςα σῆψις· τῆς μὲν θαλάσσης, πρὸς τοῖς τοιύτοις τόποις ὓ ἂν ᾖ φῦκος· τῶν δὲ ποταμῶν καὶ λιμνῶν περὶ τὰ χείλη· ἐνταῦθα
16. γὰρ ἡ ἀλέα ἰσχῦσα σήπει. Περὶ μὲν ὖν τῆς τῶν ἐγχέλυων γενέσεως, τῦτον ἔχει τὸν τρόπον.

XVII. Τὺς δὲ τόκους οὔτε πάντες οἱ ἰχθύες ποιοῦνται τὴν αὐτὴν ὥραν, ὔθ' ὁμοίως, ὔτε κύουσι τὸν ἴσον χρόνον. Πρὸ μὲν οὖν τῆς ὀχείας ἀγέλαι γίνονται ἀῤῥένων καὶ θηλειῶν, ὅταν δὲ περὶ

que d'une certaine aphye ſemblable à celle qui ſe trouve dans le port d'Athènes. Il y a encore d'autres aphyes qui ſont le produit des *mænides* & des muges. L'aphye *écume*, qui n'engendre point, eſt humide & vit peu, comme je l'ai déja fait obſerver. A la fin il n'en reſte que la tête & les yeux. Mais aujourd'hui les pêcheurs ont trouvé le moyen de la tranſporter & de la conſerver en la ſalant.

Les anguilles ne viennent point d'œufs ni d'un accouplement. On n'en a jamais pris qui euſſent ſoit œufs, ſoit ſperme : en les diſſéquant on ne leur trouve ni les conduits qui ſont le réſervoir de la liqueur ſéminale, ni ceux qui forment la matrice. Toute cette claſſe d'Animaux, quoiqu'ils ayent du ſang, ne vient ni d'œufs ni d'un accouplement. La preuve de ce fait, eſt que dans certains étangs bourbeux où l'eau a été entiérement épuiſée, & d'où l'on a retiré même la vaſe, il s'y forme de nouveau des anguilles quand l'eau de la pluie y tombe. Fait-il trop ſec, il ne ſe forme point d'anguilles, pas même dans les étangs qui demeurent pleins, parce que c'eſt l'eau de la pluie qui leur donne la vie & qui les nourrit. Ces faits prouvent ſenſiblement que les anguilles ne viennent ni d'œufs ni par ſuite d'accouplement; quelques perſonnes néanmoins ont penſé qu'elles engendroient, parce qu'on leur trouve quelquefois de petits vers, & on a dit que c'étoit ces vers qui produiſoient les anguilles : mais le fait n'eſt point exact. Les anguilles viennent des vers que l'on nomme *entrailles de la terre*, qui ſe forment d'eux-mêmes dans la vaſe & dans la terre humide. On en a vu ſortir de la peau de ces vers : d'autres fois en ouvrant & en diſſéquant ces vers on en trouve. Elles naiſſent de ces ſortes de vers & dans la mer & dans les rivieres, aux lieux où la putréfaction eſt plus abondante, c'eſt-à-dire, à l'égard de la mer dans les endroits où il y a du *fucus*, & pour les rivieres & les étangs le long de leurs bords : car la chaleur qui s'y maintient opere la putréfaction. 16.
C'eſt ainſi que ſe produiſent les anguilles.

XVI. 15.

Les poiſſons ne jettent pas leurs œufs tous dans la même ſaiſon, ni de la même maniere; tous ne les portent pas le même eſpace de tems. Aux approches de la ſaiſon de l'accouplement, les mâles & les femelles ſe réuniſſent XVII.

τὴν ὀχείαν καὶ τοὺς τόκους ὥσι, συνδυάζονται. Κύουσι δὲ τούτων ἔνιοι ὀ πλείους τριάκονθ' ἡμερῶν· οἱ δὲ ἐλάττω χρόνον· πάντες δὲ ἐν χρόνοις διαιρουμένοις εἰς τὸν τῶν ἑβδομάδων ἀριθμόν. Κύουσι δὲ πλεῖστον χρόνον οὓς καλοῦσί τινες μαρίνους. Σάργος δὲ κυΐσκεται μὲν περὶ τὸν ποσειδεῶνα μῆνα· κύει δὲ ἡμέρας τριάκοντα· καὶ ὃν καλοῦσί τινες χειλῶνα τῶν κεστρέων, καὶ ὁ μύξων, τὴν αὐτὴν ὥραν καὶ ἴσον χρόνον κύουσι τῷ σάργῳ. Πονοῦσι δὲ τῇ κυήσει πάντες· διὸ μάλιστα τὴν ὥραν ταύτην ἐκπίπτουσι· φέρονται γὰρ οἰστρῶντες πρὸς τὴν γῆν, καὶ ὅλως ἐν κινήσει περὶ τὸν χρόνον τοῦτον διατελοῦσιν ὄντες, ἕως ἂν ἐκτέκωσι· καὶ μάλιστα ὁ κεστρεὺς τοῦτο ποιεῖ τῶν ἰχθύων· ὅταν δ' ἐκτέκωσιν, ἡσυχάζουσι. Πολλοῖς δὲ τῶν ἰχθύων πέρας ἐστὶ τοῦ τίκτειν, ὅταν ἐγγένηται σκωλήκια ἐν τῇ γαστρί· ἐγγίνεται γὰρ μικρὰ καὶ ἔμψυχα, ἃ ἐξελαύνει τὰ κυήματα.

Οἱ δὲ τόκοι γίνονται τοῖς μὲν ῥυάσι, τοῦ ἔαρος· καὶ τοῖς πλείστοις δὲ περὶ τὴν ἐαρινὴν ἰσημερίαν· τοῖς δ' ἄλλοις οὐχ ἡ αὐτὴ ὥρα τοῦ ἔτους, ἀλλὰ τοῖς μὲν τοῦ θέρους, τοῖς δὲ περὶ τὴν μετοπωρινὴν ἰσημερίαν. Τίκτει δὲ πρῶτον τῶν τοιούτων, ἀθερίνη· τίκτει δὲ πρὸς τῇ γῇ· κέφαλος δὲ ὕστατος. Δῆλον δ', ἐκ τοῦ πρῶτον ταύτης φαίνεσθαι τὸν γόνον, τοῦ δὲ ὕστατον. Τίκτει δὲ καὶ κεστρεὺς ἐν τοῖς πρώτοις· καὶ σάλπη τοῦ θέρους ἀρχομένου ἐν τοῖς πλείστοις, ἐνιαχοῦ δὲ καὶ μετοπώρου. Τίκτει δὲ καὶ ὁ αὐλωπίας, ὃν καλοῦσιν ἀνθίαν, τοῦ θέρους. Μετὰ δὲ τούτους, ὁ χρύσοφρυς, καὶ λάβραξ, καὶ μόρμυρος, καὶ ὅλως οἱ καλούμενοι δρομάδες. Ὕστατοι δὲ τῶν ἀγελαίων, τρίγλη, καὶ κορακῖνος· τίκτουσι δὲ οὗτοι περὶ τὸ μετόπωρον. Τίκτει δὲ ἡ τρίγλη ἐπὶ τῷ πηλῷ· διὸ ὀψὲ τίκτει· πολὺν γὰρ χρόνον ὁ πηλὸς ψυχρός ἐστιν. Ο δὲ κορακῖνος ὕστερον τῆς τρίγλης, ἐπὶ τῶν φυκίων ἐκπορευόμενος, διὰ τὸ βιοτεύειν ἐν τοῖς πετραίοις χωρίοις· κύει δὲ πολὺν χρόνον. Αἱ δὲ μαινίδες τίκτουσι μετὰ τροπὰς

par troupes : lorſque le moment de l'accouplement & de la ſortie des œufs eſt venu, ils ſe joignent. Quelques-uns portent trente jours, c'eſt le plus long terme : d'autres portent moins de tems, mais toujours pendant un tems diviſible en un certain nombre de ſemaines. Ceux qui portent le plus long-tems ſont les poiſſons que quelques-uns nomment *marins*. Le ſarge conçoit vers le mois de Décembre ; il porte trente jours. Celui qu'on nomme la groſſe levre conçoit, ainſi que le morveux, dans la même ſaiſon, & ils portent le même tems que le ſarge. Tous ſont malades alors : c'eſt pourquoi on les voit, dans ce tems principalement, ſe jetter vers la terre, où ils ſemblent portés par une ſorte de fureur ; & ils ne ceſſent de s'agiter juſqu'à ce qu'ils ayent jetté leurs œufs, le muge eſt celui de tous qui s'agite alors davantage. Après cette opération ils ſont plus tranquilles. La plupart des poiſſons ceſſent de pouvoir ſe reproduire lorſqu'il leur vient certains vers dans le ventre. Ce ſont de petits vers qui ſont animés & qui font ſortir ce que la nature deſtinoit à reproduire le poiſſon.

A l'égard du tems où les poiſſons jettent leurs œufs, c'eſt le printems pour ceux qu'on nomme *ruades :* en général c'eſt, pour la plûpart des poiſſons, l'équinoxe du printems : les autres les jettent ou en été, ou vers l'équinoxe d'automne. Entre ces poiſſons, celui qui jette ſes œufs le premier eſt l'épi : il les dépoſe près de la terre. Le capiton eſt le dernier. La preuve en eſt que ce ſont les petits épis qui ſe montrent les premiers, & les petits capitons que l'on voit les derniers. Le muge eſt encore un des premiers à ſe reproduire ; la ſaupe fait ordinairement ſes œufs au commencement de l'été : il y a des endroits où elle retarde juſqu'en automne. L'*aulopias* qu'on nomme *anthias* jette ſes œufs l'été. Après lui viennent la dorade, le loup, le *mormure*, & tous les autres que l'on nomme *coureurs*. Le ſurmulet & le coracin ſont les derniers parmi ceux qui vivent en troupe, ils ne jettent leurs œufs que vers l'automne. Le ſurmulet les jette ſur la vaſe ; & c'eſt ce qui le porte à retarder, parce qu'elle demeure long tems froide. Le coracin eſt encore plus tardif que le ſurmulet, & il va jetter ſes œufs ſur le *fucus*, parce qu'il habite des endroits pierreux : il porte d'ailleurs long-tems. Les *mænides* ſe reproduiſent après le ſolſtice d'hyver. Entre les autres poiſſons, la plûpart de ceux qui habitent

χειμερινάς. Τῶν δ' ἄλλων ὅσοι πελάγιοι, οἱ πολλοὶ θέρους τίκτουσι· σημεῖον δὲ, ὅτι οὐχ ἁλίσκονται τὸν χρόνον τοῦτον.

Πολυγονώτατον δέ ἐστι τῶν ἰχθύων ἡ μαινίς· τῶν δὲ σελαχῶν βάτραχος· ἀλλὰ σπάνιοί εἰσι διὰ τὸ ἀπόλλυσθαι ῥαδίως· τίκτει γὰρ ἀθρόα ἅμα πρὸς τῇ γῇ. Ολως δὲ ὀλιγοτόκα μέν ἐστι τὰ σελάχη, διὰ τὸ ζωοτοκεῖν. Σώζεται δὲ μάλιστα ταῦτα διὰ τὸ μέγεθος.

Οψίγονον δέ ἐστι καὶ ἡ καλουμένη βελόνη· καὶ αἱ πολλαὶ αὐτῶν πρὸ τοῦ τίκτειν, διαῤῥήγνυνται ὑπὸ τῶν ᾠῶν. Ισχει δὲ οὐχ οὕτω πολλὰ ὡς μεγάλα· καὶ ὥσπερ τὰ φαλάγγια δὲ, περικέχυνται καὶ περὶ τὴν βελόνην· ἐκτίκτει γὰρ πρὸς αὐτήν· κἄν τις θίγῃ, φεύγουσιν. Η δὲ ἀθερίνη, τίκτει τρίβουσα τὴν κοιλίαν πρὸς τὴν ἄμμον.

Διαῤῥήγνυνται δὲ καὶ οἱ θύννοι ὑπὸ τῆς πιμελῆς. Ζῶσι δὲ ἔτη δύο. Σημεῖον δὲ τούτου ποιοῦνται οἱ ἁλιεῖς· ἐκλιπουσῶν γάρ ποτε τῶν θυννίδων ἐνιαυτὸν, τῷ ἐχομένῳ ἔτει καὶ οἱ θύννοι ἐξέλιπον. Δοκοῦσι δ' ἐνιαυτῷ εἶναι πρεσβύτεροι τῶν πηλαμύδων. Οχεύονται δὲ οἱ θύννοι καὶ οἱ σκόμβροι περὶ τὸν ἐλαφηβολιῶνα φθίνοντα· τίκτουσι δὲ περὶ τὸν ἑκατομβαιῶνα ἀρχόμενον. Τίκτουσι δὲ οἷον ἐν θυλάκῳ τὰ ᾠά. Η δὲ αὔξησίς ἐστι τῶν θυννίδων ταχεῖα. Οταν γὰρ τέκωσιν οἱ ἰχθύες ἐν τῷ Πόντῳ, γίγνονται ἐκ τοῦ ᾠοῦ ἃς καλοῦσιν οἱ μὲν σκορδύλας, Βυζάντιοι δὲ αὐξίδας· διὰ τὸ ἐν ὀλίγαις ἡμέραις αὐξάνεσθαι· καὶ ἐξέρχονται μὲν τοῦ φθινοπώρου ἅμα τοῖς θύννοις, εἰσπλέουσι δὲ τοῦ ἔαρος, ἤδη οὖσαι πηλαμύδες. Σχεδὸν δὲ καὶ οἱ ἄλλοι πάντες ἰχθύες ταχεῖαν λαμβάνουσι τὴν αὔξησιν· πάντα δ' ἐν τῷ Πόντῳ θᾶττον. Παρ' ἡμέραν γὰρ, καὶ ἅμιαι πολλαὶ ἐπιδήλως αὔξονται. Ολως δὲ δεῖ νομίζειν τοῖς αὐτοῖς ἰχθύσι μὴ ἐν τοῖς αὐτοῖς τόποις, μήτε τῆς ὀχείας καὶ κυήσεως εἶναι τὴν αὐτὴν ὥραν, μήτε τοῦ τόκου καὶ τῆς εὐημερίας· ἐπεὶ καὶ οἱ καλούμενοι κορακῖνοι ἐνιαχοῦ τίκτουσι

la haute mer se reproduisent en été : on le conclut de ce qu'il ne s'en prend point en cette saison.

La *manide* est le plus fécond des poissons ; & la grenouille marine le plus fécond des sélaques. Cependant on voit peu de ces grenouilles, parce qu'elles sont sujettes à périr : la grenouille déposant ses œufs tous ensemble auprès de la terre. En général, les sélaques étant vivipares produisent peu ; mais leur grandeur fait qu'ils échappent plus facilement aux accidens qui font périr les autres poissons.

Le poisson nommé aiguille est encore de la classe de ceux qui se reproduisent tard. Beaucoup d'aiguilles ont le ventre déchiré par la masse de leurs œufs, ce qui néanmoins ne vient pas tant du nombre de ces œufs, que de leur grosseur. Les petits de l'aiguille se repandent autour d'elle & l'entourent comme font ceux de la phalange : car ils éclosent auprès d'elle ; mais, si quelqu'un approche la main, ils prennent la fuite. L'épi se frotte le ventre contre le sable pour se débarrasser de ses œufs.

Le ventre des thons est sujet à se fendre, comme celui des aiguilles, mais c'est par l'excès de graisse. Ils vivent deux ans : les pêcheurs le conjecturent de ce que les femelles des thons ayant manqué une année, les thons manquerent l'année suivante : car les thons paroissent être âgés d'un an de plus que les pelamides. Les thons s'accouplent, ainsi que les macquereaux, à la fin de Février, & ils jettent vers le commencement de Juin. Les œufs qu'ils jettent sont comme dans un sac. Les femelles des thons croissent promptement, en voici la preuve. Lorsqu'ils ont jetté leurs œufs dans la mer du Pont, il en naît ce que l'on appelle les *scordyles*, & à Byzance les *auxides*, nom qui leur a été donné parce qu'elles grossissent en peu de jours. Ces *scordyles* sortent du Pont en automne avec les thons, & y reviennent au printems, étant déja pélamides. Presque tous les autres poissons croissent aussi en peu de tems, & tous plus promptement encore dans la mer du Pont. Un grand nombre de bonitons, par exemple, y grandissent chaque jour à vue d'œil. Au reste, il faut observer que tout ceci a été déterminé à peu près sur ce qui arrive le plus communément, car, & le tems de l'accouplement, & celui de la gestation, & celui de l'émission des œufs, & celui de la croissance des petits poissons

περὶ τὸν πυραμηῖόν· ἀλλὰ τοῦ ὡς ἐπιτοπολὺ γιγνομένου ἐςόχαςαι τὰ εἰρημένα.

Ἴσχουσι δὲ καὶ οἱ γόγγροι κυήματα· ἀλλ' οὐκ ἐν πᾶσι τοῖς τόποις ὁμοίως τοῦτο ἐπίδηλον· οὐδὲ τὸ κύημα σφόδρα φανερὸν, διὰ τὴν πιμελήν· ἴσχει γὰρ μακρὸν, ὥσπερ καὶ οἱ ὄφεις· ἀλλ' ἐπὶ τὸ πῦρ τιθέμενον διάδηλον ποιεῖ. Η μὲν γὰρ πιμελὴ θυμιᾶται καὶ τήκεται· τὰ δὲ πηδᾷ καὶ ψοφεῖ ἐκθλιβόμενα. Ετι δ' ἄν τις ψηλαφᾷ καὶ τρίβῃ τοῖς δακτύλοις, τὸ μὲν ςέαρ λεῖον φαίνεται, τὸ δὲ ὠὸν, τραχύ. Ενιοι μὲν οὖν γόγγροι ςέαρ μόνον ἔχουσιν, ὠὸν δ' οὐδέν· οἱ δὲ τοὐναντίον, ςέαρ μὲν οὐδὲν, ὠὸν δὲ τοιοῦτον οἷον εἴρηταί μοι νῦν.

17. Περὶ μὲν οὖν τῶν ἄλλων ζώων καὶ πλωτῶν, καὶ πτηνῶν, καὶ περὶ τῶν πεζῶν ὅσα ὠοτοκεῖ, σχεδὸν εἴρηται περὶ πάντων· περί τε ὀχείας, καὶ κυήσεως, καὶ γενέσεως, καὶ τῶν ἄλλων τῶν ὁμοιοτρόπων τούτοις.

XVIII. Περὶ δὲ τῶν πεζῶν ὅσα ζωοτοκεῖ, καὶ περὶ ἀνθρώπου, λεκτέον τὰ συμβαίνοντα τὸν αὐτὸν τρόπον. Περὶ μὲν οὖν ὀχείας εἴρηται, καὶ ἰδίᾳ καὶ κοινῇ κατὰ πάντων. Πάντων δὲ τῶν ζώων κοινὸν τὸ περὶ τὴν ἐπιθυμίαν καὶ τὴν ἡδονὴν ἐπτοῆσθαι τὴν ἀπὸ τῆς ὀχείας μάλιςα. Τὰ μὲν οὖν θήλεα χαλεπώτατα ὅταν ἐκτέκωσι πρῶτον· οἱ δὲ ἄρρενες περὶ τὴν ὀχείαν. Οἵ τε γὰρ ἵπποι δάκνουσι τοὺς ἵππους, καὶ καταβάλλουσι καὶ διώκουσι τοὺς ἱππέας· καὶ οἱ ὗες οἱ ἄγριοι χαλεπώτατοι, καίπερ ἀσθενέςατοι περὶ τὸν καιρὸν τοῦτον ὄντες, διὰ τὴν ὀχείαν· καὶ πρὸς ἀλλήλους μὲν ποιοῦνται μάχας θαυμαςὰς, θωρακίζοντες ἑαυτοὺς, καὶ ποιοῦντες τὸ δέρμα ὡς παχύτατον ἐκ παρασκευῆς, πρὸς τὰ δένδρα διατρίβοντες, καὶ τῷ πηλῷ μολύνοντες πολλάκις, καὶ ξηραίνοντες ἑαυτούς. Μάχονται δὲ πρὸς ἀλλήλους, ἐξελαύνοντες ἐκ τῶν συοφορβίων οὕτω σφοδρῶς, ὥςε πολλάκις ἀμφότεροι ἀποθνήσκουσιν.

Ὡσαύτως δὲ καὶ οἱ ταῦροι, καὶ οἱ κριοὶ, καὶ οἱ τράγοι.

varient selon les climats. Il y a des lieux où les coracins ne jettent leurs œufs que vers le tems où on moissonne le froment.

Les congres ont des œufs comme les autres poissons, mais ces œufs sont plus ou moins faciles à appercevoir selon les lieux que les congres habitent; en général ils ne sont pas fort apparens à cause de la graisse du congre. Ses œufs sont rangés en long dans son corps, comme ils le sont dans le serpent. Le moyen de les reconnoître, c'est de mettre sur le feu la partie où ils se trouvent; la graisse se liquefie & s'enflamme, tandis que les œufs sautent, pétillent & éclatent. On peut encore se convaincre de leur existence, en maniant cette partie, & la froissant entre les doigts. On distingue alors la matiere sebacée qui paroît lisse, & les œufs qui sont rudes : encore faut-il convenir qu'il y a des congres où l'on ne trouve que de cette matiere sebacée & point d'œufs; d'autres au contraire où l'on ne trouve point de partie sebacée, mais seulement des œufs tels que je viens de les décrire.

Après avoir traité de l'accouplement, de la gestation, de la naissance des Animaux qui nagent, de ceux qui volent, & de ceux qui marchant sur la surface de la terre, sont ovipares; après être entré dans le 17. détail de ces objets & des objets analogues à l'égard de presque toutes les XVIII. especes de ces Animaux, il faut se livrer au même détail par rapport aux Animaux, qui, marchant sur la surface de la terre, sont vivipares, & par rapport à l'homme. J'ai déja parlé de leur accouplement, & de ce qu'ils ont tous à cet égard, ou de commun, ou de particulier. Une observation générale, c'est que l'ardeur de se joindre & le plaisir que les Animaux ressentent dans cet acte, les agite plus vivement que toute autre passion. Les femelles ne sont plus traitables dès qu'elles ont des petits, ni les mâles aux approches de l'accouplement. Les chevaux se mordent les uns les autres, ils renversent ceux qui les montent & courent sur eux. Les sangliers sont aussi plus féroces alors, quoiqu'ils soient affoiblis par l'effet de la copulation. Ils se livrent des combats terribles & s'y préparent en se rendant en quelque sorte le cuir plus épais & se faisant comme des cuirasses. Ils se frottent contre les arbres & se vautrent à plusieurs reprises dans la boue qu'ils laissent sécher sur leur corps. On les voit s'élancer du lieu où ils paissent avec tant de violence les uns contre les autres, que souvent ils périssent tous deux.

Il en est de même des taureaux, des béliers, des boucs. Ils paissoient

Πρότερον γὰρ ὄντες σύννομοι ἕκαστοι, περὶ τοὺς καιροὺς τῆς ὀχείας μάχονται, διαστάμενοι πρὸς ἀλλήλους. Χαλεπὸς δὲ καὶ ὁ κάμηλος περὶ τὴν ὀχείαν ὁ ἄῤῥην, ἐάν τε ἄνθρωπος, ἐάν τε κάμηλος πλησιάζῃ· ἵππῳ μὲν γὰρ ὅλως ἀεὶ πολεμεῖ. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἀγρίων. Καὶ γὰρ ἄρκτοι, καὶ λύκοι, καὶ λέοντες, χαλεποὶ τοῖς πλησιάζουσι γίνονται περὶ τὸν καιρὸν τοῦτον· πρὸς ἀλλήλους δ' ἧττον μάχονται, διὰ τὸ μὴ ἀγελαῖον εἶναι μηδὲν τῶν τοιούτων ζώων. Χαλεπαὶ δὲ καὶ αἱ θήλειαι ἄρκτοι ἀπὸ τῶν σκύμνων, ὥσπερ καὶ αἱ κύνες ἀπὸ τῶν σκυλακίων. Εξαγριαίνονται δὲ καὶ οἱ ἐλέφαντες περὶ τὴν ὀχείαν. Διόπερ φασὶν οὐκ ἐᾶν αὐτοὺς ὀχεύειν τὰς θηλείας τοὺς θρέψαντας ἐν τοῖς Ινδοῖς. Εμμανεῖς γὰρ γινομένους ἐν τοῖς χρόνοις τούτοις, ἀνατρέπειν τὰς οἰκήσεις αὐτῶν, ἅτε φαύλως ᾠκοδομημένας, καὶ ἄλλα πολλὰ ἐργάζεσθαι. Φασὶ δὲ καὶ τὴν τῆς τροφῆς δαψίλειαν πραοτέρους αὐτοὺς παρέχειν, καὶ προσάγοντες δὲ αὐτοῖς ἑτέρους, κολάζονται καὶ δουλοῦνται, προστάττοντες τύπτειν τοῖς προσαγομένοις.

Τὰ δὲ πολλάκις ποιούμενα τὰς ὀχείας, καὶ μὴ κατὰ μίαν ὥραν, οἷον τὰ συνανθρωπευόμενα, ὗές τε καὶ κύνες, ἧττον τὰ τοιαῦτα φαίνεται ποιοῦντα, διὰ τὴν ἀφθονίαν τῆς ὁμιλίας.

Τῶν δὲ θηλειῶν ὁρμητικῶς ἔχουσι πρὸς τὸν συνδυασμὸν μάλιστα μὲν ἵππος, ἔπειτα βοῦς. Αἱ μὲν οὖν ἵπποι αἱ θήλειαι ἱππομανοῦσιν· ὅθεν καὶ ἐπὶ τὴν βλασφημίαν τὸ ὄνομα αὐτῶν ἐπιφέρουσιν ἀπὸ μόνου τῶν ζώων, τὴν ἐπὶ τῶν ἀκολάστων περὶ τὸ ἀφροδισιάζεσθαι. Λέγονται δὲ καὶ ἐξανεμοῦσθαι περὶ τὸν καιρὸν τοῦτον· διὸ ἐν Κρήτῃ οὐκ ἐξαιροῦσι τὰ ὀχεῖα ἐκ τῶν θηλειῶν. Οταν δὲ τοῦτο πάθωσι, θέουσιν ἐκ τῶν ἄλλων ἵππων. Εστι δὲ τὸ πάθος ὅπερ ἐπὶ τινῶν λέγεται, τὸ καπρίζειν. Θέουσι δὲ οὔτε πρὸς ἕω, οὔτε πρὸς δυσμὰς, ἀλλὰ πρὸς ἄρκτον, ἢ νότον. Οταν δὲ ἐμπέσῃ τὸ πάθος, οὐδένα ἐῶσι πλησιάζειν, ἕως ἂν ἢ ἀπείπωσι

tranquillement en troupes : l'amour les ſépare, & les excite au combat. Le chameau ne ſouffre plus ni l'approche de l'homme, ni celle même de ſon ſemblable. Je ne parle point de l'approche du cheval : le chameau eſt toujours en guerre avec lui. Mêmes effets parmi les Animaux ſauvages ; la rencontre de l'ours, du loup, du lion, devient alors plus dangereuſe. S'ils ſe battent moins les uns contre les autres, c'eſt parce que dans ces eſpeces les individus ne vivent point en troupe. La préſence de ſes petits rend l'ourſe furieuſe, & la chienne pareillement. L'éléphant lui-même devient farouche dans la ſaiſon de ſes amours : on prétend que c'eſt ce qui fait que dans les Indes, où l'on en nourrit, on ne les laiſſe pas couvrir leurs femelles. La fureur les tranſporte en ces momens ; ils renverſent leurs habitations aſſez peu ſolidement conſtruites, & font beaucoup d'autres ravages. On les tranquilliſe, ajoute-t-on, en leur donnant beaucoup à manger, & l'on amene auprès d'eux d'autres éléphans, qui les frappent au commandement qu'on leur en fait, & qui les réduiſent.

La liberté de ſe ſatisfaire rend ces effets de l'amour moins ſenſibles dans les Animaux tels que le chien, le porc & autres qui vivent avec l'homme, & dont l'accouplement n'eſt pas borné à une ſaiſon unique dans l'année, mais peut ſe réitérer à divers tems.

Entre les femelles des Animaux, la plus ardente eſt la cavalle, puis la vache. Les cavalles ſont folles du mâle : delà vient que le nom qu'on donne à une femme libertine pour l'inſulter, eſt pris des Animaux de cette eſpece, à l'excluſion de toute autre. On prétend que dans les momens de chaleur, une cavalle peut être fécondée par le vent : c'eſt pourquoi, en Crete, on a l'attention alors de ne pas ſéparer d'elles les étalons. Quand les cavalles ſont en cet état, ce que quelques-uns appellent faire la laye, elles courent loin des autres chevaux, ſans jamais diriger leur route vers le levant ou le couchant, mais uniquement vers le nord ou le midi. Elles ne ſouffrent pas que perſonne les approche, & elles vont juſqu'à ce que la fatigue les excéde,

διὰ τὸν πόνον, ἢ πρὸς θάλασσαν ἔλθωσι· τότε δ' ἐκβάλλουσί τι. Καλῦσι δὲ καὶ τῦτο, ὥσπερ ἐπὶ τῦ τικτομένου, ἱππομανές. Ἐςι δ' οἷον ἡ καπρία· καὶ ζητῦσι τῦτο μάλιςα πάντων οἱ περὶ τὰς φαρμακείας. Περὶ δὲ τὴν ὥραν τῆς ὀχείας, συγκύπτουσί τε πρὸς ἀλλήλας μᾶλλον ἢ πρότερον, καὶ τὴν κέρκον κινοῦσι πυκνὰ, καὶ τὴν φωνὴν ἀφιᾶσιν ἀλλοιοτέραν, ἢ κατὰ τὸν ἄλλον χρόνον. Ἐκρεῖ δὲ αὐταῖς ἐκ τῦ αἰδοίυ ὅμοιον γονῇ, λεπτότερον δὲ πολὺ ἢ τὸ τῦ ἄῤῥενος· καὶ καλοῦσι τῦτο τινὲς ἱππομανὲς, ἀλλ' ὐ τὸ ἐπὶ τοῖς πώλοις ἐπιφυόμενον· ἐργῶδες δὲ εἶναί φασι λαβεῖν· κατὰ μικρὸν γὰρ ῥεῖ. Καὶ οὐροῦσι δὲ πολλάκις, ὅταν σκυζῶσι, καὶ πρὸς αὑτὰς παίζυσι. Τὰ μὲν οὖν περὶ τὺς ἵππυς, τῦτον ἔχει τὸν τρόπον.

Αἱ δὲ βόες ταυρῶσιν. Οὕτω δὲ σφρόδρα καταχώχιμαι γίνονται τῷ πάθει, ὥςε μὴ δύνασθαι αὐτῶν κρατεῖν, μηδὲ λαμβάνεσθαι τὺς βυκόλους. Δῆλαι δέ εἰσι καὶ αἱ ἵπποι καὶ αἱ βόες ὅταν ὀργῶσι πρὸς τὴν ὀχείαν, καὶ τῇ ἐπάρσει τῶν αἰδοίων, καὶ τῷ πυκνὰ οὐρεῖν αἱ βόες, ὥσπερ αἱ ἵπποι. Ἔτι δὲ αἵ γε βόες ἐπὶ τὺς ταύρους ἀναβαίνυσι, καὶ παρακολουθοῦσιν αἰεὶ, καὶ παριςᾶσι. Πρότερα δὲ τὰ νεώτερα ὀργᾷ πρὸς τὴν ὀχείαν, καὶ ἐν τοῖς ἵπποις καὶ ἐν τοῖς βυσί. Καὶ ὅταν εὐημερίαι γίνονται, καὶ τὰ σώματα εὖ ἔχωσι, μᾶλλον ὀργῶσιν.

Αἱ μὲν οὖν ἵπποι, ὅταν ἀποκείρωνται, ἀποπαύονται τῆς ὁρμῆς μᾶλλον, καὶ γίνονται κατηφέςεραι. Οἱ δὲ ἄῤῥενες ἵπποι διαγινώσκουσι τὰς θηλείας συννόμυς ταῖς ὀσμαῖς, κἂν ὀλίγας ἡμέρας ἀλλαχόθι ἅμα γένωνται πρὸ τῆς ὀχείας· κἂν ἀναμιχθῶσιν ἀλλήλοις, ἐξελαύνουσι δάκνοντες, καὶ νέμονται χωρὶς, ἕκαςοι τὰς ἑαυτῶν ἔχοντες. Διδόασι δ' ἑκάςῳ περὶ τριάκοντα, ἢ μικρῷ πλείυς. Ὅταν δὲ προσίῃ ἄῤῥην, συςρέψας εἰς ταὐτὸ, καὶ περιδραμὼν κύκλῳ, προσελθὼν μάχεται· κἂν τις κινῆται, δάκνει καὶ κωλύει.

ou qu'elles soient arrivées au bord de la mer. Alors elles laissent couler une humidité que l'on appelle *hippomanes*, d'un nom commun avec ce corps que le poulain apporte en naissant : cela est semblable à ce qu'on nomme la *capria ;* mais les faiseurs de breuvages recherchent de préférence l'*hippomanes*. Dans le tems de leurs amours, les cavalles se penchent réciproquement les unes sur les autres plus que de coutume ; elles agitent fréquemment leur queue, & leur hennissement n'est plus le même. Il distille de leurs parties génitales une liqueur semblable à la sémence du mâle : beaucoup plus claire néanmoins. C'est à cette liqueur que quelques personnes donnent le nom d'*hippomanes*, & non à l'excroissance que le poulain apporte en naissant. Elle est, à ce que l'on assure, fort difficile à recueillir, parce qu'elle ne coule qu'en petite quantité. Alors aussi les cavalles urinent fréquemment & elles jouent entre elles : voilà quant à ce qui regarde cette espece.

Pour exprimer l'état d'une vache en chaleur, on dit qu'elle veut le taureau. Quelquefois la passion qui posséde les vaches est telle, qu'il devient impossible à leur conducteur de les prendre & de s'en rendre maître. On connoît que les cavalles & les vaches entrent en chaleur, au gonflement de leurs parties naturelles, & à ce qu'elles urinent plus fréquemment. De plus, on voit les vaches monter sur les taureaux : elles les suivent partout, sans les quitter. Les femelles les plus jeunes sont celles qui entrent les premieres en chaleur, dans l'espece du cheval & dans celle du bœuf. Lorsqu'elles se portent bien & que le tems est beau, elles sont plus ardentes.

Les jumens qui ont le crin coupé ont moins de vivacité pour le mâle, & sont plus tristes. Les chevaux distinguent à l'odorat celles avec lesquelles ils ont accoutumé de paître, quand on ne les auroit laissés que peu de jours ensemble avant le tems de l'accouplement. Si on les confond avec d'autres, les chevaux chassent celles-ci à coup de dents, & ils vont paître chacun à part avec ses femelles. On donne à un étalon trente jumens ou à peu près : peu de plus. Un autre cheval approche-t-il ? le premier, en tournant autour d'un même point, l'enferme dans un cercle & vient l'attaquer. Si quelque jument remue, le cheval la mord & l'oblige de se tenir en repos.

Ο δὲ ταῦρος, ὅταν ὥρα τῆς ὀχείας ᾖ, τότε γίνεται σύννομος, καὶ μάχεται τοῖς ἄλλοις· τὸν δὲ πρότερον χρόνον μετ' ἀλλήλων εἰσίν· ὃ καλεῖται ἀτιμαγελεῖν. Πολλάκις γὰρ οἵ γε ἐν τῇ Ηπείρῳ ἐ φαίνονται τριῶν μηνῶν. Ολως δὲ τὰ ἄγρια πάντα, ἢ τὰ πλεῖστα, ἐ συννέμονται ταῖς θηλείαις πρὸ τῆς ὥρας τῦ ὀχεύειν, ἀλλ' ἐκκρίνονται, ὅταν εἰς ἡλικίαν ἔλθωσι, καὶ χωρὶς βόσκονται τὰ ἄῤῥενα τῶν θηλειῶν.

Καὶ αἱ ὕες ὅταν ἔχουσι πρὸς τὴν ὀχείαν ὁρμητικῶς, ὃ καλεῖται καπρᾷν, ὠθοῦνται καὶ πρὸς τὺς ἀνθρώπους. Περὶ δὲ τὰς κύνας τὸ τοιῦτο πάθος καλεῖται σκυζᾷν. Επαρσις μὲν οὖν τοῖς θήλεσιν ἐγγίνεται τῶν αἰδοίων, ὅταν πρὸς τὴν ὀχείαν ὁρμῶσι, καὶ ὑγρασία περὶ τὸν τόπον· αἱ δὲ ἵπποι καὶ ἀποῤῥαίνουσι λευκὴν ὑγρότητα περὶ τὸν καιρὸν τῦτον.

Καθάρσεις δὲ γίνονται μὲν καταμηνίων, ἐ μὴν ὅσαι γε ταῖς γυναιξὶν, οὐδενὶ τῶν ἄλλων ζώων. Τοῖς μὴν ἐν προβάτοις καὶ αἰξὶν, ἐπειδὰν ᾖ ὥρα ὀχεύεσθαι, ἐπισημαίνει πρὸ τῦ ὀχεύεσθαι· καὶ ἐπειδὰν ὀχευθῶσι γίνονται τα σημεῖα, εἶτα διαλείπει, μέχρις ἐ ἂν μέλλωσι τίκτειν. Τότε δ' ἐπισημαίνει, καὶ ἔτω γινώσκεσιν ὅτι ἐπίτοκά εἰσιν οἱ ποιμένες. Επειδὰν δὲ τέκῃ, κάθαρσις γίνεται πολλὴ, τὸ μὲν πρῶτον ἐ σφόδρα αἱματώδης, ὕστερον μέντοι σφόδρα· βοὶ δὲ, καὶ ὄνῳ, καὶ ἵππῳ, πλείω μὲν τέτων διὰ τὸ μέγεθος, ἐλάττω δὲ κατὰ λόγον πολλῷ. Η μὲν ἐν βῦς ὅταν ὀργᾷ πρὸς τὴν ὀχείαν ἡ θήλεια, καθαίρεται κάθαρσιν βραχεῖαν ὅσον ἡμικοτύλιον, ἢ μικρῷ πλεῖον. Καιρὸς δὲ γίνεται τῆς ὀχείας μάλιστα περὶ τὴν κάθαρσιν.

Ιππος δὲ τῶν τετραπόδων ἁπάντων εὐτοκώτατον, καὶ λοχίων καθαρώτατον, καὶ ἐλαχίστην προΐεται αἵματος ῥύσιν, ὡς κατὰ τὸ τῦ σώματος μέγεθος.

Μάλιστα δὲ καὶ ταῖς βῦσὶ καὶ ταῖς ἵπποις τὰ καταμήνια ἐπισημαίνει, διαλιπόντα δὲ δίμηνον καὶ τετράμηνον, καὶ ἑξάμηνον.

Le taureau paît avec les vaches dans la saison de l'accouplement, & c'est alors que les taureaux se battent. Dans d'autres tems, ils vivent ensemble; ils dédaignent le troupeau : c'est l'expression dont on se sert. Souvent en Epire, on ne les voit pas paroître de trois mois. Parmi les Animaux sauvages, ou au moins parmi la plupart, le mâle ne vit point avec les femelles avant le tems de la copulation. Dans ces especes, les individus s'éloignent les uns des autres lorsqu'ils sont devenus adultes : les mâles ne vivent point avec les femelles.

Les truies en chaleur attaquent même les hommes. Nous désignons cet état des truies par un mot particulier, & de même pour les chiennes. Le gonflement des parties naturelles, l'humidité qui s'y montre, sont les signes que la femelle est en chaleur. Dans les cavalles, c'est une liqueur blanche qui distille d'elles.

Les femelles des Animaux sont sujettes à des écoulemens menstruels, mais dans aucune femelle ils ne sont aussi abondans que chez les femmes. Chez les brebis & les chevres, ces signes se montrent au tems de la copulation, avant qu'elle ait lieu. Ils paroissent encore après l'accouplement, puis ils cessent jusqu'à ce que la femelle soit près de mettre bas; leur retour annonce qu'elle va bientôt faire ses petits. Après qu'elle les a faits, elle a un écoulement considérable, de matieres peu sanguinolentes d'abord, mais qui le deviennent ensuite beaucoup. La vache, l'anesse & la jument ont un flux pareil; plus abondant parce que ces Animaux sont plus grands, mais beaucoup moindre que la proportion de leur corps ne le demanderoit. La vache en chaleur a un flux qui dure peu; il ne produit gueres au delà d'un demi cotyle. Le vrai moment de donner le taureau à une vache est vers le tems de ce flux.

La jument est, de toutes les femelles des quadrupedes, celle qui met bas avec le plus de facilité, qui vuide le plus parfaitement les lochies, & qui perd le moins de sang, eu égard au volume de son corps.

Le flux menstruel est particuliérement sensible dans les vaches & les jumens, mais il cesse pendant deux, quatre & six mois. Pour le découvrir

ἀλλ' ἐ δυνατὸν γνῶναι μὴ παρεπομένῳ, μηδὲ συνήθει σφόδρα· διὸ ἔνιοι ἐκ οἴονται γίνεσθαι αὐτοῖς. Τοῖς δ' ὀρεῦσι τοῖς θήλεσιν ἐδὲν γίνεται καταμήνιον, ἀλλὰ τὸ ἔρον παχύτερον τὸ τῆς θηλείας. Ολως μὲν οὖν τὸ τῆς κύστεως περίττωμα τοῖς τετράποσι παχύτερον ἢ τὸ τῶν ἀνθρώπων· τὸ δὲ τῶν προβάτων καὶ τῶν αἰγῶν τῶν θηλειῶν παχύτερον ἔτι ἢ τὰ τῶν ἄῤῥενων· ὄνου δὲ λεπτότερον τὸ τῶν θηλειῶν· βοὸς δὲ δριμύτερον τὸ τῆς θηλείας. Μετὰ δὲ τὲς τόκους, ἁπάντων τῶν τετραπόδων παχύτερον τὸ ἔρον γίνεται, καὶ μᾶλλον τῶν ἐλάττω προιεμένων κάθαρσιν. Τὸ δὲ γάλα γίνεται, ὅταν ὀχεύεσθαι ἄρχωνται, πυοειδές· χρήσιμον δὲ γίνεται ἐπειδὰν τέκωσιν ὕστερον. Κύοντα δὲ τὰ πρόβατα καὶ αἶγες, πιότερα γίνονται, καὶ ἐσθίουσι μᾶλλον· καὶ βόες δὲ ὡσαύτως, καὶ τὰ ἄλλα τὰ τετράποδα πάντα. Ορμητικώτατα μὲν οὖν, ὡς ἐπιτοπολὺ εἰπεῖν, πρὸς τὴν ὀχείαν, τὴν ἐαρινὴν ὥραν ἐστίν. Οὐ μὴν τὰ πάντα γε ποιεῖται τὸν αὐτὸν καιρὸν τῆς ὀχείας, ἀλλὰ πρὸς τὴν ἐκτροφὴν τῶν τέκνων ἐν τοῖς καθήκουσι καιροῖς.

18. Αἱ μὲν ἐν ἥμεροι ὕες κύουσι τέτταρας μῆνας, τίκτουσι δὲ τὰ πλεῖστα εἴκοσι πλὴν ἂν πολλὰ ἐκτέκωσιν, οὐ δύνανται ἐκτρέφειν πάντα. Γηράσκουσαι δὲ τίκτουσι μὲν ὁμοίως, ὀχεύονται δὲ βραδύτερον· κυίσκονται δὲ ἐκ μιᾶς ὀχείας, ἀλλὰ πολλάκις ἐπιβιβάσκουσι, διὰ τὸ ἐκβάλλειν μετὰ τὴν ὀχείαν τὴν καλουμένην ὑπό τινων καπρίαν. Τἔτο μὲν ἐν συμβαίνει πάσαις· ἔνιαι δὲ ἅμα τέτῳ καὶ τὸ σπέρμα προίενται. Εν δὲ τῇ κυήσει ὃ ἂν βλαφθῇ τῶν τέκνων, καὶ τῷ μεγέθει πηρωθῇ, καλεῖται μετάχοιρον. Τἔτο δὲ γίνεται ὅπου ἂν τύχῃ τῆς ὑστέρας. Οταν δὲ γεννήσῃ, τῷ πρώτῳ τὸν πρῶτον παρέχει μαστόν.

Θυῶσαν δὲ οὐ δεῖ εὐθὺς βιβάζειν, πρὶν ἂν μὴ τὰ ὦτα καταβάλλῃ· εἰ δὲ μὴ, ἀναθυᾷ πάλιν· ἂν δὲ ὀργῶσαν βιβάσῃ, μία ὀχεία, ὥσπερ εἴρηται, ἀρκεῖ. Συμφέρει δὲ ὀχεύοντι μὲν τῷ

il faut être accoutumé à obſerver, & ſuivre exactement ces Animaux : delà quelques perſonnes ont penſé qu'ils n'y étoient point ſujets. La femelle du mulet n'a point d'écoulement de ce genre : ſeulement ſon urine eſt plus épaiſſe que celle du mâle. En général les excrémens qui ſe dépoſent dans la veſſie ſont plus épais chez les quadrupedes qu'ils ne le ſont chez l'homme. L'urine des brebis & des chevres eſt auſſi plus épaiſſe que celle de leur mâle ; au contraire, dans l'eſpece de l'âne, l'urine de la femelle eſt plus claire : l'urine de la vache eſt plus aigre que celle du taureau. Toutes les femelles des quadrupedes ont encore l'urine plus épaiſſe après qu'elles ont mis bas ; elle l'eſt d'autant plus que ce qu'elles perdent en mettant bas eſt moins conſidérable. Lorſqu'elles commencent à recevoir le mâle, leur lait devient comme du pus ; il redevient bon quelque tems après que leurs petits ſont nés. Les brebis & les chevres engraiſſent, & elles mangent davantage dans le tems où elles ſont pleines : de même les vaches & toutes les autres femelles de quadrupedes. Le printems eſt, à parler généralement, la ſaiſon où les Animaux ſe recherchent avec le plus d'ardeur : néanmoins tous ne s'accouplent pas dans cette ſaiſon ; ils le font au tems qui eſt convenable pour qu'il y ait de quoi nourrir leurs petits lorſqu'ils naîtront.

La femelle du porc domeſtique porte quatre mois. Le plus grand nombre 18.
de petits qu'elle donne, c'eſt vingt : mais lorſqu'elle en a ce grand nombre elle ne peut pas les nourrir tous. La vieilleſſe n'ôte point la fécondité aux truies, ſeulement elles deviennent plus pareſſeuſes à s'accoupler. Quoiqu'elles conçoivent par l'effet d'un ſeul acte, il faut leur donner le mâle pluſieurs fois, parce qu'après l'accouplement elles rejettent ce que quelques-uns nomment la *capria*. Toutes laiſſent couler alors la liqueur à laquelle on donne ce nom, mais quelques-unes rejettent en même tems la ſemence qu'elles ont reçue du mâle. On appelle *arriere-porcs*, ceux des petits qui ont été bleſſés pendant la durée de la geſtation, & qui n'ont pas acquis leur juſte grandeur. Cet accident peut leur arriver dans quelque partie de la matrice qu'ils ſe trouvent placés. Lorſque la truie a mis bas, elle donne à celui de ſes petits qui eſt né le premier, le premier mammelon.

Il ne faut pas préſenter à la truie le mâle dès les premiers momens où elle entre en chaleur, mais attendre que ſes oreilles ſoient pendantes : autrement elle demanderoit le mâle une ſeconde fois. S'il la couvre après que cette

κάπρῳ παρέχειν κριθὰς, τετοκυίᾳ δὲ τῇ ὑΐ, κριθὰς ἑφθάς. Εἰσὶ δὲ τῶν ὑῶν αἱ μὲν εὐθὺς καλλίχοιροι· αἱ δ᾽ ἐπαυξανόμεναι, τὰ τέκνα καὶ τὰς δέλφακας χρηστὰς γεννῶσι. Φασὶ δέ τινες, ἐὰν τὸν ἕτερον ὀφθαλμὸν ἐκκοπῇ ἡ ὗς, ἀποθνήσκειν διὰ ταχέων ὡς ἐπιτοπολύ. Ζῶσι δ᾽ αἱ πλεῖσται μὲν περὶ ἔτη πεντεκαίδεκα, ἔνιαι δὲ καὶ τῶν εἴκοσιν ὀλίγον ἀπολείπουσι.

XIX. Τὰ δ᾽ πρόβατα κυίσκεται μὲν ἐν τρισὶν ἢ τέτταρσιν ὀχείαις·
19. ἂν δὲ ὕδωρ ἐπιγένηται μετὰ τὴν ὀχείαν, ἀνακυίσκει· ὁμοίως δὲ καὶ αἱ αἶγες. Τίκτουσι δὲ τὰ μὲν πλεῖστα δύο, ἐνίοτε δ᾽ καὶ τρία, ἤδη δὲ καὶ τέτταρα. Κύει δὲ πέντε μῆνας πρόβατον καὶ αἴξ, διὸ ἐν ἐνίοις τόποις, ὅσοι ἀλεεινοί εἰσι, καὶ ἐν οἷς εὐημεροῦσι καὶ τροφὴν ἄφθονον ἔχουσι, δὶς τίκτουσι. Ζῇ δὲ αἲξ μὲν περὶ ἔτη ὀκτὼ, πρόβατον δὲ δέκα· τὰ δὲ πλεῖστα, ἐλάττω, πλὴν οἱ ἡγεμόνες τῶν προβάτων· οὗτοι δὲ καὶ πεντεκαίδεκα. Ἐν ἑκάστῃ γὰρ ποίμνῃ κατασκευάζουσιν ἡγεμόνα τῶν ἀρρένων, ὃς ὅταν ὀνόματι κληθῇ ὑπὸ τοῦ ποιμένος, προηγεῖται· συνεθίζουσι δὲ τοῦτο δρᾷν ἐκ νέων. Τὰ δὲ περὶ τὴν Αἰθιοπίαν πρόβατα ζῇ καὶ δώδεκα καὶ τρισκαίδεκα ἔτη· καὶ αἶγες δὲ καὶ δέκα καὶ ἕνδεκα.

Ὀχεύει δὲ καὶ ὀχεύεται ἕως ἂν ζῇ, καὶ πρόβατον καὶ αἴξ. Διδυμοτοκοῦσι δὲ καὶ πρόβατα καὶ αἶγες, διά τε εὐβοσίαν, καὶ ἐὰν ὁ κριὸς, ἢ ὁ τράγος, ᾖ διδυμοτόκος, ἢ ἡ μήτηρ. Θηλύγονα δὲ καὶ ἀρρενόγονα γίνεται, διά τε τὰ ὕδατα· ἔστι γὰρ τὰ μὲν θηλύγονα, τὰ δὲ ἀρρενόγονα καὶ διὰ τὰς ὀχείας. Ὡσαύτως δὲ καὶ βορείοις μὲν ὀχευόμενα, ἀρρενοτοκεῖ μᾶλλον· νοτίοις δὲ θηλυτοκεῖ. Μεταβάλλει δὲ καὶ τὰ θηλυτοκοῦντα, καὶ ἀρρενοτοκεῖ· δεῖ δὲ ὁρᾷν ὀχευόμενα πρὸς βορέαν. Τὰ δὲ εἰωθότα πρωὶ ὀχεύεσθαι, ἐὰν ὀψὲ ὀχευθῇ τις, οὐχ ὑπομένουσι τοὺς κριούς.

Λευκὰ δὲ τὰ ἔκγονα γίνεται καὶ μέλανα, ἐὰν ὑπὸ τῇ τοῦ κριοῦ γλώττῃ λευκαὶ φλέβες ὦσιν ἢ μέλαιναι· λευκὰ μὲν, ἐὰν

premiere ardeur eſt paſſée, un ſeul accouplement ſuffit, comme je viens de le dire. On donne avec ſuccès de l'orge au porc qui doit couvrir la truie, & à elle-même après qu'elle a mis bas : mais pour la truie, il faut faire bouillir l'orge. Il y a des truies qui, dès les premieres portées ont des petits de bonne eſpece ; d'autres truies ne les ont tels, ſoit mâles, ſoit femelles, qu'après qu'elles ont pris plus de force. On aſſure que ſi une truie perd un œil, elle meurt bientôt après : que, du moins, cela arrive le plus ſouvent. Le terme commun de la vie des truies eſt de quinze ans : quelques-unes atteignent leur vingtiéme année ou peu s'en faut.

Les brebis deviennent pleines à la troiſiéme ou quatriéme fois qu'elles re- XIX.
çoivent le mâle. S'il tombe de la pluie après l'accouplement, elles avortent. 19.
De même les chevres. Leur portée eſt, pour le plus, de deux petits : quelquefois de trois : on a même des exemples de portées de quatre petits. La durée de la geſtation des brebis & des chevres eſt de cinq mois, c'eſt pourquoi dans quelques pays où le climat eſt tempéré, où il fait beau, & où elles ont une nourriture abondante, elles produiſent deux fois. La chevre vit environ huit ans, & la brebis dix : la plupart néanmoins n'arrivent pas à cet âge. Les chefs de troupeau vont juſqu'à quinze ans. C'eſt un mâle que les bergers dreſſent dans chaque troupeau pour conduire les autres. Il vient à leur tête lorſque le berger l'appelle par ſon nom ; on l'y accoutume tout petit. Aux environs de l'Ethiopie les brebis vivent douze & treize ans ; les chevres, dix & onze.

Dans l'eſpece de la chevre & de la brebis, le mâle & la femelle conſervent la faculté d'engendrer & de concevoir tant qu'ils vivent. La production de deux petits à la fois eſt l'effet ou de l'abondance de la nourriture, ou de ce que le pere & la mere ſont eux-mêmes nés jumeaux. Ils ont des mâles ou des femelles ſelon la différence des eaux qui peuvent occaſionner cette variété, ou ſelon le vent qui ſouffle lors de l'accouplement. Si c'eſt le vent du nord, il vient plutôt des mâles, & des femelles au contraire ſi c'eſt le vent du midi. On peut produire un changement, & faire qu'une mere qui ne portoit que des femelles ait des mâles, en la tenant les yeux tournés vers le nord pendant l'accouplement. Si une brebis eſt accoutumée à recevoir le mâle le matin, & qu'on veuille le lui donner le ſoir, elle ne le recevra pas.

Les agneaux ſont noirs ou blancs, ſelon que le belier a ſous la langue des veines blanches ou noires : la couleur de ces veines décide de celle des agneaux.

λευκαί· μέλανα δὲ ἐὰν μέλαιναι· ἐὰν δὲ ἀμφότεραι, ἀμφότερα· πυῤῥὰ δὲ ἐὰν πυῤῥαί. Τὰ δὲ τὸ ἁλυκὸν ὕδωρ πίνοντα, πρότερον ὀχεύεται. Δεῖ δὲ ἁλίζειν πρὶν τεκεῖν, καὶ ἐπειδὰν τέκῃ, καὶ ἔαρος αὖθις.

Αἰγῶν δὲ ἡγεμόνα οὐ καθιστᾶσιν οἱ νομεῖς, διὰ τὸ μὴ μόνιμον εἶναι τὴν φύσιν αὐτῶν, ἀλλ' ὀξεῖαν καὶ εὐκίνητον. Τῶν δὲ προβάτων ἐὰν μὲν τὰ πρεσβύτερα ὁρμᾷ πρὸς τὴν ὀχείαν κατὰ τὴν τεταγμένην ὥραν, φασὶν οἱ ποιμένες σημεῖον εὐετηρίας εἶναι τοῖς προβάτοις· ἐὰν δὲ τὰ νεώτερα, κακοθηνεῖν τὰ πρόβατα.

XX. Τῶν δὲ κυνῶν μὲν γένη πλείω. Ὀχεύει δὲ κυνῶν ἡ Λακωνικὴ
20. μὲν ὀκτάμηνος, καὶ ὀχεύεται· καὶ τὸ σκέλος δὲ αἴροντες οὐροῦσιν ἤδη ἔνιοι περὶ τὸν χρόνον τοῦτον. Κυΐσκεται δὲ κυὼν ἐκ μιᾶς ὀχείας· δῆλον δὲ τοῦτο γίνεται μάλιστα ἐν τοῖς κλέπτουσι τὰς ὀχείας· ἅπαξ γὰρ ἐπιβάντες πληροῦσι.

Κύει δὲ ἡ μὲν Λακωνικὴ ἕκτον μέρος τοῦ ἐνιαυτοῦ· τοῦτο δέ ἐστιν ἡμέραι ἑξήκοντα, κἂν ἄρα μιᾷ, ἢ δυσὶν, ἢ τρισὶ πλείονας ἡμέρας, καὶ ἐλάττους μιᾷ. Τυφλὰ δὲ γίνεται αὐτῇ τὰ σκυλάκια, ὅταν τέκῃ, δώδεκα ἡμέρας. Τεκοῦσα δὲ πάλιν ὀχεύεται ἕκτῳ μηνὶ, καὶ οὐ πρότερον. Ἔνιαι δὲ κύουσι τῶν κυνῶν τὸ πέμπτον μέρος τοῦ ἐνιαυτοῦ· τοῦτο δέ ἐστιν ἡμέραι ἑβδομήκοντα καὶ δύο. Τυφλὰ δὲ γίνεται τὰ σκυλάκια τούτων τῶν κυνῶν ἡμέρας δεκατέσσαρας. Ἔνιαι δὲ κύουσι μὲν τέταρτον μέρος τοῦ ἐνιαυτοῦ· τοῦτο δέ ἐστι τρεῖς μῆνες ὅλοι· τυφλὰ δὲ γίνεται τούτων τὰ σκυλάκια ἑπτακαίδεκ' ἡμέραις. Δοκεῖ δὲ σκυζᾷν τὸν ἴσον χρόνον κύων. Τὰ δὲ καταμήνια ταῖς κυσὶν ἑπτὰ ἡμέραις γίνεται. Συμβαίνει δὲ ἅμα καὶ ἔπαρσις αἰδοίου. Ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐ προσίενται ὀχείαν, ἀλλ' ἐν ταῖς μετὰ ταύτας ἑπτὰ ἡμέραις. Τὰς γὰρ πάσας δοκεῖ σκυζᾷν ἡμέρας τέτταρας καὶ δέκα, ὡς ἐπιτοπολύ· οὐ μὴν ἀλλὰ καί τισι καὶ περὶ ἑκκαίδεκ' ἡμέρας γεγένηται τοῦτο τὸ πάθος. Ἡ δ' ἐν τοῖς τόκοις κάθαρσις γίνεται ἅμα

Ils

Ils ſont noirs & blancs, ſi le belier a des veines de l'une & l'autre couleur, & roux lorſque les veines ſont rouſſes. Les brebis auxquelles on donne de l'eau ſalée entrent plutôt en chaleur. Il eſt à propos de ſaler leur eau avant qu'elles aient mis bas, après, & au printems.

Les bergers n'ont point de chef pour les troupeaux de chevres. Le naturel de ces Animaux n'eſt pas aſſez tranquille, il eſt trop vif & trop alerte. Lorſque, dans la ſaiſon ordinaire, les vieilles brebis ſont les plus ardentes pour le mâle, c'eſt, ſuivant les bergers, l'annonce d'une bonne année pour les brebis : l'ardeur des jeunes brebis eſt le préſage d'une mauvaiſe année.

Les chiens ſe partagent en pluſieurs eſpeces. Ceux de Laconie s'accouplent à huit mois. Dans cette eſpece on voit des mâles lever dès cet âge la cuiſſe pour uriner. Un ſeul accouplement rend une chienne mere. Les accouplemens furtifs de ces Animaux en ſont une preuve ſenſible; il ſuffit qu'un mâle ait couvert une chienne une ſeule fois pour qu'elle ſoit pleine. XX. 20.

La chienne de Laconie porte la ſixieme partie d'un an, c'eſt-à-dire ſoixante jours : quelquefois un jour ſoit de plus ſoit de moins, ou deux ou trois de plus. Ses petits ne voyent clair que douze jours après leur naiſſance. Six mois après avoir mis bas, la chienne revient en chaleur, mais pas plutôt. Il y a d'autres chiennes qui portent la cinquiéme partie d'un an, ou ſoixante & douze jours ; leurs petits ſont quatorze jours ſans voir. Chez d'autres encore, le tems de la geſtation eſt de la quatriéme partie d'un an, c'eſt-à-dire de trois mois entiers : leurs petits ſont aveugles pendant dix-ſept jours. La durée de la chaleur des chiennes paroît ſuivre ces proportions. Leurs menſtrues ſont de ſept jours, & pendant le même tems leurs parties génitales ſe gonflent. Ce n'eſt point alors qu'elles admettent le mâle, mais dans les ſept jours qui ſuivent. Je fais ce calcul, parce que le plus ordinaire eſt que leur chaleur dure quatorze jours, quoique chez quelques-unes elle dure ſeize jours ou à peu près. Les écoulemens qui ont lieu lorſque les chiennes mettent

τοῖς σκυλακίοις τικτομένοις. Ἐςι δ' αὕτη παχεῖα καὶ φλεγματώδης· καὶ τὸ πλῆθος, ὅταν τέκωσιν, ἀπισχναίνεται ἔλαττον ἢ κατὰ σῶμα.

Τὸ δὲ γάλα αἱ κύνες ἴσχουσι πρὸ τοῦ τεκεῖν, ὡς ἐπιτοπολὺ, ἡμέρας πέντε. Οὐ μὴν ἀλλ' ἐνίαις καὶ ἑπτὰ γίνεται πρότερον, καὶ τέτταρσι. Χρήσιμον δ' εὐθὺς τὸ γάλα, ὅταν τέκωσιν. Ἡ δὲ Λακωνικὴ, μετὰ τὴν ὀχείαν τριάκονθ' ἡμέραις ὕςερον. Τὸ μὲν οὖν πρῶτον παχύ ἐςι, χρονιζόμενον δὲ γίνεται λεπτότερον. Διαφέρει δὲ παχύτητι τὸ κύνειον πρὸς τὸ τῶν ἄλλων ζώων, μετὰ τὸ ὕειον καὶ δασυπόδειον.

Γίνεται δὲ σημεῖον καὶ ὅταν ἡλικίαν ἔχωσι τοῦ ὀχεύεσθαι· ὥσπερ γὰρ τοῖς ἀνθρώποις, ἐπὶ ταῖς θηλαῖς τῶν μαστῶν ἐπιγίνεται ἀνοίδησίς τις, καὶ χόνδρον ἴσχουσι. Οὐ μὴν ἀλλ' ἔργον, μὴ συνήθει ὄντι, καταμαθεῖν ταῦτα· οὐ γὰρ ἔχει μέγεθος οὐδὲν τὸ σημεῖον. Τῇ μὲν οὖν θηλείᾳ τοῦτο συμβαίνει· τῷ δ' ἄῤῥενι οὐδὲν τούτων. Τὸ δὲ σκέλος αἴροντες οὐροῦσιν οἱ ἄῤῥενες, ὡς μὲν ἐπιτοπολὺ, ὅταν ἑξάμηνοι ὦσι. Ποιοῦσι δέ τινες τοῦτο καὶ ὕςερον, ἤδη ὀκτάμηνοι ὄντες, καὶ πρότερον ἢ ἑξάμηνοι· ὡς γὰρ ἁπλῶς εἰπεῖν, ὅταν ἰσχύειν ἄρξωνται αὐτὸ ποιοῦσιν. Αἱ δὲ θήλειαι πᾶσαι καθεζόμεναι οὐροῦσιν· ἤδη δέ τινες καὶ τούτων ἄρασαι τὸ σκέλος οὔρησαν. Τίκτει δὲ καὶ κύων σκυλάκια δώδεκα, τὰ πλεῖςα· ὡς δ' ἐπιτοπολὺ πέντε, ἢ ἕξ· ἤδη δὲ καὶ ἓν ἔτεκέ τις. Αἱ δὲ Λακωνικαὶ, ὡς ἐπιτοπολὺ, καὶ ὀκτώ. Ὀχεύονται δὲ αἱ θήλειαι, καὶ ὀχεύουσιν οἱ ἄῤῥενες, ἕως ἂν ζῶσιν. Ἴδιον δὲ ἐπὶ τῶν Λακωνικῶν συμβαίνει πάθος· πονήσαντες γὰρ μᾶλλον δύνανται ὀχεύειν, ἢ ἀργοῦντες.

Ζῇ δὲ τῶν Λακωνικῶν κυνῶν ὁ μὲν ἄῤῥην ἔτη δέκα· ἡ δὲ θήλεια περὶ ἔτη δώδεκα· τῶν δὲ ἄλλων κυνῶν αἱ πλεῖςαι, περὶ ἔτη τετταρακαίδεκα, ἢ πεντεκαίδεκα· ἔνιαι δὲ καὶ εἴκοσι· διὸ καὶ Ὅμηρόν τινες οἴονται ὀρθῶς ποιῆσαι, τῷ εἰκοςῷ ἔτει ἀποθανόντα

bas, sortent en même tems que leurs petits : ils sont d'une consistance épaisse & muqueuse, & ce qu'elles perdent après avoir mis bas n'est pas aussi considérable que la proportion de leur corps le demanderoit.

L'ordinaire est que les chiennes ayent du lait cinq jours avant de mettre bas, quelquefois sept, quelquefois aussi quatre seulement. Leur lait est bon dès que leurs petits sont nés. La chienne de Laconie a du lait trente jours après qu'elle a été couverte ; il est épais d'abord : mais avec le tems il s'éclaircit. Si l'on compare le lait de la chienne à celui des autres Animaux, quant à l'épaisseur, il faut le mettre après le lait de la truie & du dasypode.

L'âge où les chiennes deviennent fécondes, a ses indices. Leurs mamelles éprouvent une sorte de gonflement, comme il arrive à celles des femmes, & elles acquiérent du ressort. Cependant, si l'on n'y est pas habitué, il est difficile de s'appercevoir de ces indices, parce que l'augmentation que les mamelles reçoivent n'est pas bien considérable. Voilà pour les femelles : les mâles n'ont rien de pareil ; on peut seulement observer que, pour l'ordinaire, ils commencent à uriner en levant la cuisse, à six mois ; quelques-uns ne le font que plus tard, à huit mois ; quelques-uns aussi plutôt, avant six : & en général c'est lorsqu'ils commencent à être forts qu'ils urinent de cette maniere. Toutes les chiennes s'accroupissent pour uriner : cependant il n'est pas sans exemple que quelques-unes le fassent en levant la cuisse. Le plus grand nombre de petits qu'une chienne ait d'une même portée, c'est douze : communément leur portée est de cinq ou de six. On a vu une chienne avoir une portée d'un seul petit. Les chiennes de Laconie en ont ordinairement huit. Le terme de la fécondité, soit des femelles, soit des mâles, n'est, dans cette espece, que celui de la vie. Une observation particuliere aux chiens de Laconie, c'est que ceux d'entre eux qui travaillent sont plus propres à saillir que ceux qui demeurent oisifs.

Le chien de Laconie vit dix ans : sa femelle environ douze. La plupart des autres chiennes vivent quatorze & quinze ans, quelques-unes jusqu'à vingt : aussi est-ce avec raison, observent quelques personnes, qu'Homere fait mourir le chien d'Ulysse à sa vingtiéme année. Dans l'espece des chiens

τὸν κύνα τȣ̃ Οδυσσέως. Επὶ μὲν ȣ̃ν τῶν Λακωνικῶν, διὰ τὸ πονεῖν τȣ̀ς ἄῤῥενας μᾶλλον, μακροβιώτεραι αἱ θήλειαι τῶν ἀῤῥένων· ἐπὶ δὲ τῶν ἄλλων, λίαν μὲν ȣ̓κ ἐπίδηλον· μακροβιώτεροι δὲ ὅμως οἱ ἄῤῥενες τῶν θηλειῶν εἰσίν.

Οδόντας δὲ κύων ȣ̓ βάλλει πλὴν τȣ̀ς καλουμένους κυνόδοντας· τȣ́τȣς δ' ὅταν ὦσι τετράμηνοι, ὁμοίως αἵ τε θήλειαι καὶ οἱ ἄῤῥενες. Διὰ δὲ τὸ τȣ́τȣς μόνȣς βάλλειν, ἀμφισβητȣ̃σί τινες. Οἱ μὲν γὰρ διὰ τὸ δύο μόνȣς βάλλειν, ὅλως ȣ̓ φασι· χαλεπὸν γὰρ ἐπιτυχεῖν τȣ́τοις· οἱ δὲ ὅταν ἴδωσι τȣ́τους, ὅλως οἴονται βάλλειν καὶ τȣ̀ς ἄλλους. Τὰς δὲ ἡλικίας ἐκ τῶν ὀδόντων σκοπȣ̃σιν. Οἱ μὲν γὰρ νέοι λευκȣ̀ς καὶ ὀξεῖς ἔχουσιν, οἱ δὲ πρεσβύτεροι μέλανας καὶ ἀμβλεῖς.

XXI. 21. Βοῦς δὲ πληροῖ μὲν ὁ ἄῤῥην ἐκ μιᾶς ὀχείας· βαίνει δὲ σφοδρῶς, ὥστε συγκάμπτεσθαι τὴν βοῦν. Εὰν δὲ ἁμάρτῃ τῆς ὁρμῆς, εἴκοσιν ἡμέρας διαλείπουσα προσίεται πάλιν ἡ θήλεια τὴν ὀχείαν. Οἱ μὲν ȣ̃ν πρεσβύτεροι τῶν ταύρων, ȣ̓δ' ἀναβαίνουσι πλεονάκις ἐπὶ τὴν αὐτὴν τῆς αὐτῆς ἡμέρας, ἐὰν μὴ ἄρα διαλιπόντες. Οἱ δὲ νεώτεροι, καὶ τὴν αὐτὴν βιάζονται πλεονάκις, καὶ ἐπὶ πολλὰς ἀναβαίνουσι, διὰ τὴν ἀκμήν. Ηκιστα δὲ λάγνον τῶν ἀῤῥένων ἐστὶ βȣ̃ς. Οχεύει δὲ ὁ νικῶν τῶν ταύρων· ὅταν δ' ἐξαδυνατήσῃ διὰ τὴν λαγνείαν, ἐπιτίθεται ὁ ἡττώμενος καὶ κρατεῖ πολλάκις. Οχεύει δὲ τὰ ἄῤῥενα καὶ ὀχεύεται τὰ θήλεα, ἐνιαύσια ὄντα πρῶτον ὥστε καὶ γεννᾳν· ȣ̓ μὴν ἀλλὰ τό γε ὡς ἐπιτοπολὺ, ἐνιαύσιοι καὶ ὀκτάμηνοι· τὸ δὲ ὁμολογούμενον μάλιστα, διετεῖς. Κύει δὲ ἐννέα μῆνας, δεκάτῳ δὲ τίκτει· ἔνιοι δὲ διισχυρίζονται δέκα μῆνας κύειν, ἡμερῶν ὀλίγων. Ο τι δὲ ἂν ἔμπροσθεν ἐξενεχθῇ τῶν εἰρημένων χρόνων, ἐκβόλιμόν ἐστι, καὶ ȣ̓ ζῇ, ἔτι κἂν μικρὸν προτερήσῃ τῷ τόκῳ· μαλακαὶ γὰρ καὶ ἀτελεῖς γίνονται αἱ ὁπλαί. Τίκτει δὲ ἓν τὰ πλεῖστα, ὀλιγάκις δὲ δύο.

Καὶ τίκτει καὶ ὀχεύει ἕως ἂν ζῇ. Ζῇ δ' ὡς ἐπιτοπολὺ περὶ

de Laconie, les femelles vivent plus long-tems que les mâles, parce que les mâles fatiguent davantage; dans les autres especes on n'a point d'observation bien précise, on sait seulement que les mâles vivent plus long-tems que les femelles.

Le chien conserve ses premieres dents, excepté celles qu'on appelle canines; mâle ou femelle, il perd celles-ci à quatre mois. Comme il ne perd point les autres dents, les sentimens de quelques personnes sont divisés sur ce sujet. Les uns disent que le chien ne perd point du tout de dents, parce qu'il est difficile de rencontrer ces deux dents, les seules qui lui tombent; les autres au contraire, qui voyent celles-ci tomber, pensent que toutes tombent également. On connoît l'âge du chien par les dents. Jeune, il les a blanches & pointues; plus vieux, il les a noires & émoussées.

Un seul accouplement rend la vache pleine : mais le taureau la couvre XXI.
avec tant de violence qu'elle est obligée de plier sous lui. Si ses efforts ont 21.
été inutiles, la vache laisse passer vingt jours, après lesquels elle le reçoit une seconde fois. Les taureaux âgés ne couvrent pas la même vache plusieurs fois en un jour : ils laissent quelque intervalle : les jeunes ayant plus de vigueur couvrent la même vache plusieurs fois, & en couvrent plusieurs en un jour. Dans cette espece, le mâle n'est nullement lascif. De deux taureaux qui se sont battus, c'est le vainqueur qui saillit les vaches, mais après qu'il a perdu ses forces avec elles, le vaincu revient l'attaquer & souvent il triomphe à son tour. Les mâles commencent à saillir & les femelles à les recevoir à un an; leur accouplement à cet âge peut être fécond; plus ordinairement néanmoins il ne l'est qu'à un an & huit mois : deux ans est même l'âge où on le reconnoît tel plus généralement. La vache porte neuf mois & met bas dans le dixieme : quelques-uns soutiennent qu'elle porte dix mois, à peu de jours près. Si son petit sort avant les termes que je viens d'indiquer, ce n'est qu'un avorton qui ne vit pas, quand même il s'en faudroit peu que ces termes fussent complets, parce que les cornes de ses pieds sont molles, & ne sont pas encore formées. Chaque portée est ordinairement d'un seul veau : rarement de deux.

Le taureau & la vache demeurent féconds toute leur vie, dont le terme

πενλεκαίδεκα ἔτη ἡ θήλεια· καὶ ἄῤῥενες δὲ, ἐὰν ἐκτμηθῶσιν. Ενιαι δὲ ζῶσι καὶ εἴκοσιν ἔτη, καὶ ἔτι πλείω, ἐὰν εὔφορον ἔχωσι τὸ σῶμα. Καὶ γὰρ τῶν βοῶν τὲς τομίας ἐθίζουσι, καὶ καθιςᾶσι τῶν βοῶν ἡγεμόνας, ὥσπερ τῶν προβάτων, καὶ ζῶσιν οὗτοι πλείω χρόνον τῶν ἄλλων, διά τε τὸ πονεῖν, καὶ διὰ τὸ νέμεσθαι ἀκέραιον νομήν. Ακμάζει δὲ μάλιςα πενλαετὴς ὤν· διὸ καὶ Ομηρόν φασι πεποιηκέναι τινὲς ὀρθῶς ποιήσαντα, ἄρσενα πενλαέτηρον· καὶ τὸ, βοὸς ἐννεώροιο· δύνασθαι γὰρ ταὐτόν.

Τὲς δ' ὀδόντας βάλλει βοῦς διετὴς, καὶ οὐχ ἀθρόους, ἀλλ' ὥσπερ ἵππος· τὰς δὲ ὁπλὰς, ὁπόταν ποδαγρᾷ, ἐκ ἀποβάλλει, ἀλλ' οἰδεῖ μόνον σφόδρα τὲς πόδας.

Τὸ δὲ γάλα, ὅταν τέκῃ, χρήσιμον γίνεται· ἔμπροσθεν δ' ἐκ ἔχει γάλα. Τὸ δὲ πρῶτον γινόμενον γάλα, ὅταν παγῇ, ἔτω γίνεται σκληρὸν, ὥσπερ λίθος· τῦτο δὲ συμβαίνει, ἐὰν μή τις μίξῃ ὕδατι. Νεώτεραι δ' ἐνιαυσιαίων ἐκ ὀχεύονται, πλὴν ἐάν τι τεραλῶδες· ἤδη δέ τινες καὶ τετράμηνοι ὠχεύθησαν. Αρχονται δὲ τῆς ὀχείας περὶ τὸν θαργηλιῶνα μῆνα καὶ τὸν σκιῤῥοφοριῶνα αἱ πλεῖςαι. Οὐ μὴν ἀλλ' ἔνιαι καὶ μέχρι τῦ μετοπώρου κυίσκονται. Οταν δὲ πολλαὶ κύωσι, καὶ προσδέχωνται τὴν ὀχείαν σφόδρα, δοκεῖ σημεῖον εἶναι καὶ χειμῶνος καὶ ἐπομβρίας. Αἱ δὲ συνήθειαι γίνονται μὲν ταῖς βεσὶν ὥσπερ ταῖς ἵπποις· ἧττον δέ.

XXII. 22. Ιππος δ' ἄρχεται ὀχεύειν ὁ μὲν ἄῤῥην διετὴς, καὶ ἡ θήλεια διετὴς ὀχεύεσθαι· ταῦτα μέντοι ὀλίγα ἐςὶ, καὶ τὰ ἔκγονα τέτων ἐλάττω καὶ ἀσθενικώτερα. Ως δ' ἐπιτοπολὺ, ἄρχονται ὀχεύειν τριετεῖς ὄντες, καὶ αἱ ἵπποι ὀχεύεσθαι· καὶ ἐπιδιδόασι δὲ ἀεὶ πρὸς τὸ βέλτιον τὰ ἔκγονα γίνεσθαι, μέχρι ἐτῶν εἴκοσι. Κύει δ' ἕνδεκα μῆνας, δωδεκάτῳ δὲ τίκτει. Πληροῖ δ' ὁ ἵππος οὐκ ἐν τεταγμέναις ἡμέραις, ἀλλ' ἐνίοτε μὲν ἐν μιᾷ, ἢ δυσὶν, ἢ τρισίν· ἐνίοτε δὲ πλείοσι. Θᾶττον δ' ἐπιβαίνων πληροῖ ὄνος ἢ ἵππος· ἡ δὲ ὀχεία ἐκ ἐπίπονος τῶν ἵππων, ὥσπερ ἡ τῶν βοῶν.

commun pour les vaches eſt de quinze ans. Il eſt le même pour les mâles qui ont été châtrés. Il y a des vaches qui vivent vingt ans & au delà, lorſqu'elles ſont bien conſtituées. Les pâtres choiſiſſent un des mâles châtrés pour conduire les autres bœufs, comme on le fait dans les troupeaux de moutons. Ceux-là vivent plus long-tems, ſoit parce qu'ils travaillent, ſoit parce qu'ils ont une meilleure nourriture. Le bœuf entre dans ſa plus grande vigueur à cinq ans : c'eſt pourquoi on approuve ces expreſſions d'Homere : *Un mâle de cinq ans, un bœuf de neuf ans*, car à l'une de ces deux époques il eſt auſſi fort qu'à l'autre.

Le bœuf perd ſes premieres dents à deux ans : elles lui tombent comme au cheval, & non toutes à la fois. Les douleurs de goutte dont il eſt attaqué ne lui font pas perdre la corne, mais ſes pieds enflent conſidérablement.

La vache n'a point de lait avant de vêler : après qu'elle a mis bas, ſon lait eſt bon, mais le premier lait qu'elle donne, devient, en ſe caillant, dur comme une pierre, ſi l'on n'y met de l'eau. C'eſt un prodige que des vaches reçoivent le mâle avant leur premiere année révolue : quelques-unes l'ont reçu à quatre mois. L'accouplement commence dans cette eſpece, pour le plus grand nombre, vers les mois d'Avril & Mai : cependant il y a des vaches qui ne deviennent pleines qu'en Automne. Lorſqu'on voit beaucoup de vaches pleines, & qu'elles recherchent ardemment le mâle, c'eſt un préſage de mauvais tems & de pluie. Les vaches ſont ſujettes à des écoulemens périodiques, comme les cavalles, mais en moindre quantité.

Dans l'eſpece du cheval, le mâle & la femelle commencent à s'accoupler XXII.
à deux ans. Cela néanmoins n'eſt pas commun, & les poulains qu'ils ont à 22.
cet âge ſont petits & foibles. Le plus ordinaire eſt qu'ils commencent à s'accoupler à trois ans. Juſqu'à ce qu'ils ayent atteint leur vingtiéme année, la beauté de leurs poulains va toujours croiſſant. La jument porte onze mois, elle met bas au douzieme. Le nombre des accouplemens néceſſaires pour que le cheval rende ſa femelle mere, n'eſt pas fixe : quelquefois elle le devient dès le premier jour, quelquefois le ſecond jour ſeulement, ou le troiſieme, ou même plus tard. L'effet de l'accouplement de l'âne eſt plus prompt que l'effet de celui du cheval, mais l'accouplement du cheval n'eſt pas fatiguant

Λαγνέςαʼον δὲ καὶ τῶν θηλειῶν καὶ τῶν ἀῤῥένων ἵππος μετ' ἄνθρωπόν ἐςιν. Η δὲ τῶν νεωτέρων ὀχεία γίνεται παρὰ τὴν ἡλικίαν, ὅταν εὐβοσία καὶ ἀφθονία γένηται τροφῆς. Εςι μὲν οὖν ὡς ἐπιτοπολὺ μονοτόκος· τίκτει μέντοι ποτὲ καὶ δύο, τὰ πλεῖςα. Καὶ ἡμίονος δὲ ἤδη ἔτεκέ τις δύο· ἃ κρίνουσιν ἐν τέρασιν. Οχεύει μὲν οὖν ἵππος καὶ τριακοντάμηνος· ὥςε δὲ καὶ γεννᾷν ἀξίως, ὅταν παύσηται βάλλων· ἤδη δέ τινες καὶ βάλλοντες ἐπλήρωσαν, ὥς φασιν· ἂν μὴ φύσει ἄγονοι τυγχάνωσιν ὄντες.

Εχει μὲν οὖν ὀδόντας τεσσαράκοντα, βάλλει δὲ τοὺς μὲν πρώτους τέτταρας τριακοντάμηνος, τοὺς μὲν δύο ἄνωθεν, τοὺς δὲ δύο κάτωθεν. Επειδὰν δὲ γένηται ἐνιαυτὸς, βάλλει τὸν αὐτὸν τρόπον τέτταρας, δύο μὲν ἄνωθεν, δύο δὲ κάτωθεν· καὶ πάλιν, ὅταν ἄλλος ἐνιαυτὸς γένηται, ἑτέρους τέτταρας τὸν αὐτὸν τρόπον. Τεττάρων δὲ ἐτῶν παρελθόντων καὶ ἓξ μηνῶν, οὐκέτι βάλλει οὐδένα. Ηδη δέ τις εὐθὺς τὸ πρῶτον ἅμα πάντας ἐξέβαλε· καὶ ἄλλος ἅμα τοῖς τελευταίοις ἅπαντας· ἀλλὰ τὰ τοιαῦτα γίνεται ὀλιγάκις· ὥςε σχεδὸν συμβαίνει, ὅταν τεττάρων ἐτῶν ᾖ καὶ ἓξ μηνῶν, χρήσιμον εἶναι πρὸς τὴν γένεσιν μάλιςα. Εἰσὶ δὲ οἱ πρεσβύτεροι τῶν ἵππων γονιμώτεροι, καὶ οἱ ἄῤῥενες τῶν ἀῤῥένων, καὶ αἱ θήλειαι τῶν θηλειῶν. Αναβαίνουσι δὲ καὶ ἐπὶ τὰς μητέρας οἱ ἵπποι, καὶ ἐπὶ τὰς θυγατέρας· καὶ τότε δοκεῖ τέλειον εἶναι τὸ ἱπποφόρβιον, ὅταν ὀχεύωσιν ἑαυτῶν τὰ ἔκγονα. Οἱ δὲ Σκύθαι ἱππεύουσι ταῖς κυούσαις ἵπποις ὅταν θᾶττον ςραφῇ τὸ ἔμβρυον, καὶ φασὶ γίνεσθαι αὐτὰς εὐτοκωτέρας. Τὰ μὲν οὖν ἄλλα τετράποδα τίκτει κατακείμενα, διὸ καὶ πλάγια προέρχεται τὰ ἔμβρυα πάντων· ἡ δὲ ἵππος ἡ θήλεια, ὅταν ἤδη πλησίον ᾖ τῆς ἀφέσεως, ὀρθὴ ςᾶσα, προΐεται τὸ ἔκγονον.

Ζῶσι δὲ τῶν ἵππων οἱ πλεῖςοι περὶ ὀκτωκαίδεκα ἔτη, καὶ εἴκοσι, ἔνιοι δὲ πέντε καὶ εἴκοσι, καὶ τριάκοντα· ἐὰν δέ τις θεραπεύῃ, ἐκτείνει καὶ πρὸς τὰ πεντήκοντα. Ο δὲ μακρότατος βίος

comme

comme celui du taureau. C'est l'espece, après celle de l'homme, où les individus de l'un & de l'autre sexe sont plus lascifs. Les jeunes chevaux s'accouplent avant l'âge ordinaire, lorsqu'on leur fournit une nourriture ample & succulente. Rarement la jument a-t-elle plus d'un poulain : si quelquefois elle en a deux, c'est le plus. On a vu aussi une mule avoir deux mulets : ce sont des événemens qu'on met au nombre des prodiges. Un cheval peut saillir à trente mois, mais c'est lorsque ses premieres dents sont tombées qu'il donne des poulains de bonne qualité, à moins qu'il ne soit naturellement stérile. Il y a eu, dit-on, des femelles qui sont devenues pleines, tandis que leurs dents tomboient.

Le cheval a quarante dents ; à trente mois il perd les quatre premieres, deux en haut & deux en bas ; l'année révolue, il en perd quatre autres, deux en haut & deux en bas, & après une troisieme année, il en perd encore quatre de même. Quand il est arrivé à quatre ans & demi, il ne lui en tombe plus. On a vu un cheval perdre toutes ses dents à la fois avec les premieres, & un autre avec les dernieres ; mais ces exemples sont rares. Ainsi c'est à quatre ans & demi que, dans l'ordre commun, un cheval fait un bon étalon. Les chevaux âgés, & de même les jumens, sont plus propres à la propagation que les autres. Un étalon couvre sa mere ; il couvre également celle qui est née de lui, & on regarde un haras comme complet lorsque les jeunes jumens peuvent être couvertes par leur pere. Les Scythes montent leurs jumens d'abord après que le fœtus s'est retourné ; ils prétendent que cet exercice rend leur délivrance plus facile. Les autres quadrupedes se couchent pour mettre bas : c'est pourquoi leurs petits viennent tous sur le côté ; au lieu que la jument prête à mettre bas se tient debout & fait ses petits en cet état.

La plupart des chevaux vivent environ dix-huit à vingt ans ; quelques-uns vingt-cinq & trente, & même, si l'on en a soin, ils vont jusqu'à cinquante ; mais pour prendre le terme commun, la plus longue vie des chevaux

τῶν ἵππων ἐςὶν, ὡς ἐπιτοπολὺ, τριάκοντα ἔτη· ἡ δὲ θήλεια, ὡς ἐπιτοπολὺ, πέντε καὶ εἴκοσιν ἔτη· ἤδη δέ τινες καὶ τετταράκοντα ἔτη βεβιώκασιν. Ελάττω δὲ χρόνον βιοῦσιν οἱ ἄῤῥενες τῶν θηλειῶν, διὰ τὰς ὀχείας, καὶ ἰδίᾳ τρεφόμενοι τῶν ἐν τοῖς ἱπποφορβίοις. Η μὲν οὖν θήλεια πέντε ἐτῶν, τέλος λαμβάνει μήκους καὶ ὕψους· ὁ δὲ ἄῤῥην ἓξ ἐτῶν. Μετὰ δὲ ταῦτα ἐν ἄλλοις ἓξ ἔτεσι, τὸ πλῆθος λαμβάνει τοῦ σώματος, καὶ ἐπιδίδωσι μέχρις ἐτῶν εἴκοσι, καὶ ἀποτελοῦνται. Τελειοῦνται δὲ τὰ θήλεα τῶν ἀῤῥένων ἔμπροσθεν· ἐν δὲ τῇ γαςρὶ, τὰ ἄῤῥενα τῶν θηλειῶν, καθάπερ καὶ ἐπὶ τῶν ἀνθρώπων. Τὸ αὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἄλλων ζώων, ὅσα πλείω τίκτει.

Θηλάζειν δέ φασι τὸν μὲν ἡμίονον ἑξάμηνον, εἶτα οὐκέτι προσίεσθαι, διὰ τὸ σπᾶσθαι καὶ πονεῖν· τὸν δὲ ἵππον πλείω χρόνον. Ακμάζει δὲ καὶ ἵππος καὶ ἡμίονος μετὰ τοὺς βόλους· ὅταν δὲ πάντας ὦσι βεβληκότες, οὐ ῥᾴδιον γνῶναι τὴν ἡλικίαν. Διὸ καὶ λέγουσι γνώρισμα ἔχειν, ὅταν ἄβολος ᾖ· ὅταν δὲ βεβληκὼς, οὐκ ἔχειν. Ολως δὲ μάλιςα γνωρίζεται ἡ ἡλικία μετὰ τοὺς βόλους τῷ κυνόδοντι. Τῶν μὲν γὰρ ἐπταετῶν, γίνεται μικρὸς, διὰ τὴν τρίψιν· κατὰ τοῦτον γὰρ ἐμβάλλεται ὁ χαλινός· τῶν δὲ μὴ ἐπταετῶν, μέγας μὲν, ἀλλὰ μὴ ἀπηρτημένος· τῶν δὲ νέων, ὀξὺς καὶ μικρός.

Οχεύει δὲ ὁ μὲν ἄῤῥην πᾶσάν τε ὥραν, καὶ ἕως ἂν ζῇ· καὶ ἡ θήλεια δ' ὀχεύεται ἕως ἂν ζῇ. Καὶ πᾶσαν δὲ ὥραν, ἐὰν μή τις δεσμὸν ἢ ἄλλην τινὰ προσενέγκῃ ἀνάγκην. Ωρα δὲ οὐκ ἀφαιρεῖται οὐδεμία τεταγμένη τοῦ ὀχεύεσθαι καὶ ὀχεύειν· οὐ μέντοι γε ὅτ' ἔτυχε γενομένης τῆς ὀχείας, δύνανται ἃ ἂν γεννήσωσιν, ἐκτρέφειν. Εν Οποῦντι δὲ, ὁ φορβίου ἵππος ὤχευεν ἐτῶν ὢν τεσσαράκοντα· ἔδει δὲ τὰ πρόσθια σκέλη συνεπαίρειν. Αρχονται δ' ὀχεύεσθαι αἱ ἵπποι τοῦ ἔαρος. Οταν δὲ τέκῃ ἡ ἵππος, οὐκ εὐθὺς πίμπλαται, ἀλλὰ διαλείπει χρόνον, καὶ τίκτει ἀμείνω

eſt de trente ans pour le mâle, vingt-cinq pour la femelle, quoique l'on ait vu des jumens aller à quarante. Les étalons vivent moins que les femelles, parce qu'ils s'uſent à les ſervir. Les chevaux qu'on nourrit en particulier vivent moins auſſi que ceux qui ſont dans les haras. Lorſque la jument a atteint cinq ans, & le cheval ſix, ils ne croiſſent plus en longueur ni en hauteur. Pendant les ſix années ſuivantes, ils prennent du corps & achevent de ſe former : ils profitent même toujours juſqu'à vingt ans. La femelle une fois née, acquiert ſa perfection plutôt que le mâle, mais dans l'intervalle de la conception à la naiſſance, c'eſt, comme dans l'eſpece humaine, le mâle qui ſe forme plutôt. Il en eſt de même chez les autres Animaux qui ont pluſieurs petits d'une portée.

Le mulet ne tette, dit-on, que juſqu'à ſix mois ; après ce tems, la mere ne le ſouffre plus, parce qu'il lui fait du mal en la tirant trop fort. Le cheval, dit-on encore, tette plus long-tems. Le cheval & le mulet ſont dans le tems de leur force après la chûte de leurs premieres dents : ces dents une fois tombées, il eſt difficile de conoître leur âge : auſſi dit-on qu'ils marquent tant qu'ils n'ont point jetté leurs dents, & qu'ils ne marquent plus après. Les premieres dents tombées, c'eſt par l'examen de la dent canine que l'on peut le plus ſûrement connoître leur âge. A ſept ans elle eſt courte parce que le frottement du mords qui ſe place auprès, l'a uſée ; avant cet âge elle eſt plus longue, mais elle n'eſt pas encore entiérement ſortie. Dans les jeunes chevaux, elle eſt courte & aigue.

Le cheval eſt capable de ſaillir en toute ſaiſon & tant qu'il vit ; la jument eſt également en état de produire tant qu'elle vit, & elle peut auſſi concevoir en toute ſaiſon, à moins qu'on ne la lie, ou qu'on n'y mette quelque autre obſtacle. Mais quoiqu'il n'y ait point de tems marqué où ces Animaux ne puiſſent s'accoupler, ils ne peuvent pas élever leurs petits quelque ſoit indiſtinctement la ſaiſon où ils les conçoivent. A Opunte on a vu l'étalon d'un haras ſaillir encore à quarante ans, mais il falloit l'aider à lever les jambes de devant. Les jumens commencent à recevoir le mâle au printems. Lorſqu'elles ont mis bas, elles ne deviennent pas pleines ſur le champ ; il y a un intervalle. Le plus ſûr eſt de ne les faire porter que la quatriéme ou la cinquiéme

τετάρτῳ ἢ πέμπτῳ ἔτει μετὰ τὸν τόκον· ἕνα δ' ἐνιαυτὸν καὶ πάμπαν ἀνάγκη διαλείπειν, καὶ ποιεῖν ὥσπερ νεόν. Ἵππος μὲν οὖν διαλείπουσα τίκτει, ὥσπερ εἴρηται· ἡμίονος δὲ συνεχῶς. Γίνονται δὲ τῶν ἵππων αἱ μὲν καὶ ἄτεκνοι ὅλως· αἱ δὲ συλλαμβάνουσι μὲν, οὐ δύνανται δὲ ἐκφέρειν· σημεῖον δὲ τῶν τοιούτων λέγουσιν εἶναι, τὸ ἔμβρυον ἀνασχιζόμενον ἔχειν ἄλλα νεφροειδῆ περὶ τοὺς νεφροὺς, ὥστε δοκεῖν τέτταρας εἶναι νεφρούς.

Ὅταν δὲ τέκῃ ἡ ἵππος, τότε χόριον εὐθὺς κατεσθίει, καὶ ἀπεσθίει τοῦ πώλου ὃ ἐπιφύεται ἐπὶ τοῦ μετώπου τῶν πώλων, ὃ καλεῖται ἱππομανές. Ἔστι δὲ τὸ μέγεθος ἔλαττον μικρὸν ἰσχάδος· τὴν δὲ ἰδέαν πλατὺ, περιφερὲς, μέλαν. Τοῦτο ἐάν τις φθῇ λαβὼν, καὶ ὀσφρῆται ἡ ἵππος, ἐξίσταται καὶ μαίνεται πρὸς τὴν ὀσμήν. Διὸ καὶ τοῦτο αἱ φαρμακίδες ζητοῦσι καὶ συλλέγουσιν.

Ἐὰν δὲ ὀχευομένην ἵππον ὑπὸ ἵππου ὄνος ὀχεύσῃ, διαφθείρει τὸ ἔμβρυον τὸ ἐνυπάρχον.

Ἵππων δὲ ἡγεμόνα οὐ καθιστᾶσιν οἱ ἱπποφορβοὶ, ὥσπερ βοῶν, διὰ τὸ μὴ μόνιμον εἶναι τὴν φύσιν αὐτῶν, ἀλλ' ὀξεῖαν καὶ εὐκίνητον.

XXIII. 23. Ὄνος δὲ ὀχεύει μὲν καὶ ὀχεύεται τριακοντάμηνος, καὶ βάλλει τοὺς πρώτους ὀδόντας· τοὺς δὲ δευτέρους ἕκτῳ μηνὶ, καὶ τοὺς τρίτους καὶ τοὺς τετάρτους ὡσαύτως· τούτους δὲ γνώμονα καλοῦσι, τοὺς τετάρτους. Ἤδη δὲ καὶ ἐνιαυσία ὄνος ἐκύησεν, ὥστε καὶ ἐκτραφῆναι. Ἐξουρεῖ δὲ, ὅταν ὀχευθῇ, τὴν γονὴν, ἐὰν μὴ κωλύηται· διὸ τύπτουσι μετὰ τὴν ὀχείαν εὐθὺς, καὶ διώκουσι. Τίκτει δὲ δωδεκάτῳ μηνί. Τίκτει δὲ τὰ μὲν πολλὰ ἕν· μονοτόκον γάρ ἐστι φύσει· τίκτει δ' ἐνίοτε καὶ δύο. Ὁ μὲν οὖν ὄνος ἐπαναβὰς διαφθείρει τὸ τοῦ ἵππου ὄχευμα, ὥσπερ εἴρηται· ὁ δὲ ἵππος τὸ τοῦ ὄνου οὐ διαφθείρει, ὅταν ᾖ ὀχευομένη ἡ ἵππος ὑπὸ τοῦ ὄνου. Ἴσχει δὲ γάλα κύουσα δεκάμηνος οὖσα· τίκτουσα δὲ βιβάζεται ἑβδόμῃ ἡμέρᾳ, καὶ μάλιστα δέχεται τὸ πλῆσμα ταύτῃ τῇ ἡμέρᾳ

année : mais au moins il faut leur en laisser une pour se refaire. La jument met donc, comme je viens de l'observer, un intervalle d'une portée à l'autre, au lieu que la mule porte sans interruption. Entre les jumens il s'en trouve de totalement stériles, & d'autres qui conçoivent mais qui ne peuvent porter leur fruit à bien. On dit qu'on connoît ces dernieres à ce que, si l'on dissé-que leur fœtus, on y voit auprès des reins deux autres corps semblables, comme s'il avoit quatre reins.

Lorsque la jument a mis bas, elle dévore sur le champ le chorion. Elle arrache & mange aussi une excroissance qui est sur le front du poulain, & que l'on nomme *hippomanes*. C'est un corps un peu moins gros qu'une figue, d'une forme platte, arrondie & noir. Si l'on previent la jument & qu'on en-leve l'*hippomanes*, mais qu'elle sente où on l'a mis, cette odeur la met hors d'elle & la rend furieuse. C'est pour cette raison que les femmes qui font des breuvages recherchent l'*hippomanes* & le recueillent avec soin.

Si une jument, après avoir été couverte par un cheval l'est par un âne, cet accouplement fait périr le fœtus déja existant.

Dans un haras on n'a point de cheval qui soit le conducteur des autres, comme dans les troupeaux de bœufs. Le cheval n'est pas naturellement assez tranquille. Son caractere vif & alerte ne le permet pas.

Les ânes & les ânesses s'accouplent à trente mois. C'est à ce même âge XXIII.
qu'ils jettent leurs premieres dents. Ils perdent les secondes six mois après ; 23.
les troisiemes & les quatriemes dans des intervalles semblables. On appelle les quatriemes, la *marque*. Il y a un exemple d'une ânesse qui devint pleine à un an, & dont le petit s'éleva. En quittant le mâle, l'ânesse rejette la liqueur séminale, à moins qu'on ne l'empêche. C'est pourquoi quand elle sort d'avec lui, on la fait courir en la frappant. Elle met bas au douzieme mois, le plus souvent un seul poulain, car naturellement elle ne porte qu'un petit ; quelquefois aussi elle en a deux. J'ai dit que l'âne qui couvre une jument déja couverte par un cheval, fait périr le fruit du premier accouple-ment : il n'en est pas de même du cheval qui couvre une jument qu'un âne a saillie ; il ne fait point périr le petit de l'âne. L'ânesse a du lait au dixie-me mois de la gestation de son petit, & on peut lui donner le mâle sept jours après qu'elle a mis bas. C'est même à ce moment qu'elle retient avec

βιβασθεῖσα. Λαμβάνει δὲ καὶ ὕστερον· ἐὰν δὲ μὴ τέκῃ πρὶν τὸ γνῶμα λείπειν, οὐκέτι λαμβάνει πλῆσμα, οὐδὲ κυίσκεται τοῦ λοιποῦ βίου παντός. Τίκτειν δὲ οὐ θέλει οὔτε ὁρωμένη ὑπὸ ἀνθρώπου, οὔτε ἐν τῷ φωτὶ, ἀλλ' εἰς τὸ σκότος ἀπάγουσιν, ὅταν μέλλῃ τίκτειν. Τίκτει δὲ διὰ βίου, ἐὰν τέκῃ πρὶν τὸ γνῶμα λείπειν.

Βιοῖ δὲ ὄνος πλείω τριάκοντα ἐτῶν, καὶ ἡ θήλεια τοῦ ἄρρενος πλείω ἔτη. Οταν δὲ ἵππος ὀχεύῃ ὄνον, ἢ ὄνος ἵππον, πολὺ μᾶλλον ἐξαμβλοῖ, ἢ ὅταν τὰ ὁμογενῆ ἀλλήλοις μιχθῇ, οἷον ἵππος ἵππῳ, ἢ ὄνος ὄνῳ.

Αποβαίνει δὲ καὶ ὁ τῆς κυήσεως χρόνος, ὅταν μιχθῇ ἵππος καὶ ὄνος, κατὰ τὸ ἄρρεν· λέγω δὲ ἐφ' ὅσον χρόνον τοῦτο γίνεται, ἐξ ὁμογενῶν γινόμενον. Τὸ δὲ μέγεθος τοῦ σώματος, καὶ τὸ εἶδος, καὶ ἡ ἰσχὺς, μᾶλλον τῷ θήλει ἀφομοιοῦται τοῦ γενομένου. Αν δὲ συνεχῶς μίσγηται, καὶ μὴ διαλείπῃ χρόνον τινὰ οὕτως ὀχευόμενα, ταχέως τὸ θῆλυ ἄγονον γίνεται. Διὸ συνεχῶς οὐ μίσγουσιν οἵ γε περὶ τὰ τοιαῦτα πραγματευόμενοι, ἀλλὰ διαλείπουσί τινα χρόνον. Οὐ προσδέχεται δὲ οὔτε ἡ ἵππος τὸν ὄνον, οὔτε ἡ ὄνος τὸν ἵππον, ἐὰν μὴ τύχῃ τεθηλακὼς ὁ ὄνος ἵππον· ἐπιβάλλουσι γὰρ ἐπίτηδες οὓς καλοῦσιν ἱπποθήλας. Οὗτοι δὲ ὀχεύουσιν ἐν τῇ νομῇ βίᾳ κρατοῦντες, ὥσπερ οἱ ἵπποι.

XXIV. 24. Ο δὲ ὀρεὺς ἀναβαίνει μὲν καὶ ὀχεύει μετὰ τὸν πρῶτον βόλον· ἑπταετὴς δ' ὢν, καὶ πληροῖ. Καὶ ἤδη ἐγένετο ἴννος ὅταν ἀναβῇ ἐφ' ἵππον θήλειαν. Υστερον δ' οὐκέτι ἀναβαίνει. Καὶ ὁ θῆλυς δὲ ὀρεὺς ἤδη ἐπληρώθη, οὐ μέντοι γε ὥστ' ἐξενεγκεῖν διὰ τέλους. Αἱ δὲ ἐν τῇ Συρίᾳ τῇ ὑπὲρ Φοινίκης ἡμίονοι καὶ ὀχεύονται καὶ τίκτουσι· ἀλλ' ἔστι τὸ γένος ὅμοιον μὲν, ἕτερον δέ. Οἱ δὲ καλούμενοι γίννοι, γίνονται ἐξ ἵππου ὅταν νοσήσῃ ἐν τῇ κυήσει, ὥσπερ μὲν τοῖς ἀνθρώποις, οἱ νάνοι· ἐν δὲ τοῖς ὑσὶ, τὰ μετάχοιρα· καὶ ἴσχει δὲ, ὥσπερ οἱ νάνοι, ὁ γίννος τὸ αἰδοῖον μέγα.

plus de facilité, quoiqu'elle conçoive aussi dans d'autres tems. Une ânesse qui n'a point eu de poulain avant de perdre la *marque*, ne concevra ni ne portera de sa vie. Pour mettre bas, l'ânesse ne veut être vue d'aucun homme, ni même être au jour. On a soin de la conduire, aux approches de ce moment, dans un lieu obscur. Elle demeure féconde toute sa vie, pourvu qu'elle ait commencé à produire avant d'avoir perdu la *marque*.

La vie de l'âne est de trente ans; celle de l'ânesse, plus longue. Une ânesse que l'on fait couvrir par un cheval, ou une jument que l'on fait couvrir par un âne, sont bien plus sujettes à avorter que quand elles s'accouplent avec des mâles de même espece, la jument avec le cheval, & l'ânesse avec l'âne.

Lorsque les especes ont été croisées, c'est la qualité du mâle qui regle le tems de la gestation : je veux dire que ce tems est tel qu'il seroit si le mâle s'étoit accouplé avec une femelle de son espece. Par rapport à la grandeur du corps, à l'extérieur de la conformation & à la force, le poulain tient plus de sa mere que du mâle qui l'a engendré. Si l'on continuoit à croiser les especes sans interruption, la femelle deviendroit bientôt stérile; aussi dans l'usage on interrompt le croisement par des intervalles de quelques espaces de tems. Une jument ne recevroit pas un âne qui n'auroit pas été nourri par une cavalle; de même l'ânesse par rapport au cheval. On a donc soin de faire élever des ânes par des jumens : on les appelle *nourrissons de jumens*. Ces ânes sont forts & ils couvrent les jumens dans le parc, comme feroient les chevaux.

Le mulet couvre les femelles & s'accouple après qu'il a jetté ses premieres dents. A sept ans il peut même les rendre meres, & on a vu une jument couverte par un mulet produire un bardeau. Passé sept ans, le mulet ne couvre plus. On a vu aussi une mule devenir pleine, mais sans pouvoir porter son petit à terme. Les mules de cette partie de la Syrie qui est au-dessus de la Phœnicie, conçoivent & ont des poulains; mais cette espece, quoique semblable à celle des autres mulets, n'est pas la même. Ce que l'on nomme bidet, vient du cheval; c'est un poulain qui a souffert pendant le tems de sa gestation, de même que les nains parmi les hommes, & l'arriere porc dans l'espece des pourceaux. Ces bidets ont la verge grande, de même que les nains. XXIV. 24.

Ζῇ δὲ ἡμίονος ἔτη πολλά. Ἤδη γάρ τις βεβίωκε καὶ ὀγδοήκοντα ἔτη· οἷον Ἀθήνῃσιν ὅτε τὸν νεὼν ᾠκοδόμουν· ὃς καὶ ἀφειμένος ἤδη διὰ γῆρας, συναμπρεύων παραπορευόμενος παρώξυνε τὰ ζεύγη πρὸς τὸ ἔργον· ὥστ' ἐψηφίσαντο μὴ ἀπελαύνειν αὐτὸν τοὺς σιτοπώλας ἀπὸ τῶν τηλιῶν. Γηράσκει δὲ βραδύτερον ὁ θῆλυς ὀρεὺς τοῦ ἄῤῥενος. Λέγουσι δ' ἔνιοι, ὅτι ἡ μὲν καθαίρεται οὐροῦσα, ὁ δ' ἄῤῥην διὰ τὸ ὀσφραίνεσθαι τοῦ οὔρου γηράσκει θᾶττον.

XXV. 25. Τούτων μὲν οὖν τῶν ζώων αἱ γενέσεις, τοῦτον ἔχουσι τὸν τρόπον. Τὰ δὲ νέα καὶ τὰ παλαιὰ τετράποδα διαγινώσκουσιν οἱ περὶ τὰς θεραπείας ὄντες αὐτῶν. Ἐὰν μὲν ἀπὸ τῆς γνάθου τὸ δέρμα ἐφελκόμενον ταχὺ ἐπίῃ, νέον τὸ τετράπουν· ἐὰν δὲ πολὺν χρόνον ἐῤῥυτιδωμένον μένῃ, παλαιόν.

XXVI. 26. Ἡ δὲ κάμηλος κύει μὲν δέκα μῆνας, τίκτει δ' αἰεὶ ἓν μόνον· μονοτόκον γάρ ἐστιν. Ἐκκρίνουσι δὲ ἐκ τῶν καμήλων ἐνιαύσιον τὸ ἔκγονον. Ζῇ δὲ χρόνον πολὺ πλείω ἢ πεντήκοντα ἔτη. Τίκτει δὲ τοῦ ἔαρος, καὶ γάλα ἔχει μέχρις οὗ ἂν ἐν γαστρὶ λάβῃ. Ἔχει δὲ καὶ τὰ κρέα καὶ τὸ γάλα, ἥδιστα πάντων. Πίνουσι δὲ τὸ γάλα, δύο καὶ ἕνα, ἢ τρία καὶ ἕνα, πρὸς ὕδωρ κεράσαντες.

XXVII. 27. Ὁ δὲ ἐλέφας ὀχεύει καὶ ὀχεύεται πρὸ τῶν εἴκοσιν ἐτῶν. Ὅταν δὲ ὀχευθῇ ἡ θήλεια, φέρει ἐν γαστρὶ, ὡς μέν τινές φασιν, ἐνιαυτὸν καὶ ἓξ μῆνας· ὡς δ' ἕτεροι, τρία ἔτη. Τοῦ δὲ μὴ ὁμολογεῖσθαι τὸν χρόνον, αἴτιον τὸ μὴ θεωρεῖσθαι τὴν ὀχείαν. Τίκτει δὲ ἡ θήλεια, συγκαθίσασα ἐπὶ τὸ ὄπισθεν, καὶ ἀλγοῦσα δήλη ἐστί. Ὁ δὲ σκύμνος, ὅταν γένηται, θηλάζει τῷ στόματι, οὐ τῷ μυκτῆρι· καὶ βαδίζει καὶ βλέπει εὐθὺς γενόμενος.

XXVIII. 28. Αἱ δ' ὕες αἱ ἄγριαι τοῦ χειμῶνος ἀρχομένου ὀχεύονται. Τίκτουσι δὲ τοῦ ἔαρος ἀποχωροῦσαι εἰς τοὺς δυσβατωτάτους τόπους, καὶ ἀποκρήμνους μάλιστα, καὶ φαραγγώδεις, καὶ συσκίους.

Le

Le mulet vit long-tems : il y en a eu un qui a vêcu jusqu'à quatre-vingt ans. C'étoit à Athènes, dans le tems que l'on bâtissoit le temple. Il ne servoit plus à cause de sa vieillesse, mais il alloit avec ceux qui étoient attelés, & en les accompagnant il les excitoit à l'ouvrage. On fit en sa faveur un décret pour défendre aux marchands de bled de le chasser quand il s'approcheroit de leurs coffres. La mule vieillit plus tard que le mulet. Quelques personnes prétendent que les écoulemens propres aux femelles se font chez elle par les urines, & que l'odeur de ces urines fait vieillir le mâle plutôt.

C'est assez sur la propagation de ces Animaux : ajoutons sur la maniere de connoître leur âge, que ceux qui en ont soin distinguent les jeunes des vieux de la maniere que voici. Si en tirant la peau de la babine elle se rétablit promptement, l'animal est jeune ; si elle demeure long-tems ridée : il est vieux. XXV. 25.

La femelle du chameau porte dix mois ; elle est du nombre des Animaux dont la nature est de n'avoir qu'un petit, & elle n'en a jamais qu'un. On sépare le chameau de sa mere à un an. Elle vit au-delà de cinquante années. Le printems est la saison où la femelle du chameau met bas, & elle a du lait jusqu'à ce qu'elle conçoive de nouveau. Son lait & sa chair sont plus agréables que le lait & la chair d'aucun animal. On boit ce lait en y mêlant deux ou trois fois autant d'eau. XXVI. 26.

Les éléphans s'accouplent, mâle comme femelle, avant leur vingtiéme année. Le tems de la gestation est de dix-huit mois selon les uns ; de trois ans selon les autres. L'incertitude sur ce sujet vient de ce qu'on ne voit pas l'éléphant s'accoupler. Lorsque la femelle veut mettre bas, elle abaisse la partie postérieure de son corps, & il est aisé de s'appercevoir qu'elle souffre dans cette opération. L'éléphant nouveau né tette avec la bouche & non avec la trompe ; il marche & il voit dès le moment de sa naissance. XXVII. 27.

Les laies deviennent pleines au commencement de l'hiver, & elles mettent bas au printems, après s'être retirées dans des fondrieres inaccessibles, dans des gorges fort ombragées. Le sanglier habite avec la laie ordinairement XXVIII. 28.

Διατρίβει δὲ ὁ ἄῤῥην ἐν ταῖς ὑσὶν ὡς ἐπιτοπολὺ ἡμέρας τριάκοντα. Τὸ δὲ πλῆθος τῶν τικτομένων, καὶ ὁ χρόνος τῆς κυήσεως, ὁ αὐτός τε ὡς καὶ ἐπὶ τῶν ἡμέρων ὑῶν ἐστι. Τὰς δὲ φωνὰς παραπλησίως ἔχουσι τοῖς ἡμέροις· πλὴν μᾶλλον ἡ θήλεια φωνεῖ. ὁ δ' ἄῤῥην σπανίως. Τῶν δ' ἀῤῥένων καὶ ἀγρίων οἱ τομίαι μείζους γίνονται καὶ χαλεπώτεροι· ὥσπερ καὶ Ομηρος ἐποίησε·

Θρέψεν ἐπὶ χλούνην σῦν ἄγριον· οὐδὲ ἐῴκει
Θηρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι.

γίνονται δὲ τομίαι, διὰ τὸ νέοις οὖσιν ἐμπίπτειν νόσημα κνησμῶν εἰς τοὺς ὄρχεις. Εἶτα ξυόμενοι πρὸς τὰ δένδρα, ἐκθλίβουσι τοὺς ὄρχεις.

XXIX. 29. Η δ' ἔλαφος τὴν μὲν ὀχείαν ποιεῖται, καθάπερ ἐλέχθη πρότερον, τὰ πλεῖστα μὲν ἐξ ὑπαγωγῆς· οὐ γὰρ ὑπομένει ἡ θήλεια τὸν ἄῤῥενα πολλάκις, διὰ τὴν συντονίαν· οὐ μὴν ἀλλὰ καὶ ὑπομένουσαι ἐνίοτε ὀχεύονται, καθάπερ τὰ πρόβατα· καὶ ὅταν ὀργῶσι παρεκκλίνουσιν ἀλλήλας. Μεταλλάττει δὲ ὁ ἄῤῥην, καὶ οὐ πρὸς μιᾷ διατρίβει, ἀλλὰ διαλείπων βραχὺν χρόνον, πλησιάζει ἄλλαις. Η δ' ὀχεία γίνεται μετ' ἀρκτοῦρον, περὶ τὸν βοηδρομιῶνα καὶ μαιμακτηριῶνα.

Κύει δ' ὀκτὼ μῆνας. Κυΐσκεται δ' ἐν ὀλίγαις ἡμέραις, καὶ ὑφ' ἑνὸς πολλαί. Τίκτει δὲ, ὡς μὲν ἐπιτοπολὺ, ἕν· ἤδη δέ τινες ὠμμέναι εἰσὶν ὀλίγαι, καὶ δύο. Καὶ ποιεῖται τοὺς τόκους παρὰ τὰς ὁδοὺς, διὰ τὸν πρὸς τὰ θηρία φόβον. Η δὲ αὔξησις ταχεῖα τῶν νεβρῶν. Κάθαρσις δὲ κατ' ἄλλους μὲν χρόνους οὐ συμβαίνει ταῖς ἐλάφοις· ὅταν δὲ τέκωσι, γίνεται φλεγματώδης αὐταῖς κάθαρσις. Εἴθισται δὲ ἄγειν τοὺς νεβροὺς ἐπὶ τοὺς σταθμούς. Εστι δὲ τοῦτο τὸ χωρίον αὐταῖς καταφυγὴ, πέτρα περιῤῥαγεῖσα μίαν ἔχουσα εἴσοδον· οὗ καὶ ἀμύνεσθαι εἴωθεν ἤδη τοὺς ἐπιτιθεμένους. Περὶ δὲ τῆς ζωῆς, μυθολογεῖται μὲν ὡς ὂν μακρόβιον, οὐ φαίνεται δὲ οὔτε τῶν μυθολογουμένων οὐθὲν σαφές· ἥ τε κύησις

pendant trente jours. A l'égard du nombre des petits & du tems pendant lequel la mere les porte, l'un & l'autre est le même que dans les porcs domestiques. Leur voix est aussi à-peu-près la même, mais la femelle se fait entendre plus souvent que le mâle, l'on n'entend celui-ci que rarement. Parmi les sangliers, ceux qui sont châtrés deviennent très gros & très féroces, témoins ces vers d'Homere : » Il nourrissoit sur la litiere un sanglier, » moins semblable à une bête qui vit de grains, qu'au sommet d'une » montagne chargé d'une épaisse forêt. » Ce qui fait qu'il se trouve des sangliers châtrés, c'est que ces Animaux sont sujets dans leur jeunesse à des démangeaisons violentes aux testicules. Ils se grattent contre les arbres & se détruisent ainsi les organes de la génération.

Les biches ne s'accouplent, au moins la plupart, qu'en se retirant de dessous le mâle, comme je l'ai déja dit ; il est rare qu'elles puissent supporter ses efforts, à cause de la roideur de sa verge. Cependant quelquefois aussi elles le reçoivent sans broncher, aussi tranquillement que les brebis, & lorsqu'elles sont en chaleur elles s'écartent les unes des autres. Le cerf ne se contente point d'une seule biche, il change de femelle, & après un court intervalle il va de la premiere à d'autres. Le tems du rut est après le lever de l'arcture, vers les mois d'Août & de Septembre.

La biche porte huit mois ; il faut peu de jours pour qu'elle devienne XXIX.
pleine, & un seul cerf suffit à plusieurs. Ordinairement elle n'a qu'un faon. 29.
On en a vu quelques-unes mais en petit nombre, en avoir deux. La peur qu'elles ont des autres Animaux leur fait choisir le voisinage des routes pour déposer leur faon : celui-ci croît promptement. Les biches, après qu'elles ont mis bas, ont un écoulement de consistance muqueuse ; dans les autres tems elles n'ont point de flux menstruel. Les meres ont coutume de conduire leur faon dans leurs halliers, c'est le lieu où elles se retirent : un rocher à pic, auquel on ne peut parvenir que par un seul côté : c'est là qu'elles se tiennent en sûreté contre les poursuites des chasseurs. On débite sur la longue vie des cerfs, des fables qui ne peuvent avoir aucun fondement : ni la durée

καὶ αὔξησις τῶν νεβρῶν συμβαίνει οὐχ ὡς μακροβίου τοῦ ζώου ὄντος. Εν δὲ τῷ ὄρει τῷ Ελαφόεντι καλουμένῳ, ὅ ἐστι τῆς Ασίας ἐν τῇ Αργινούσῃ, οὗ τετελεύτηκεν Αλκιβιάδης, ἔλαφοι πᾶσαι τὸ οὖς ἐσχισμέναι εἰσίν· ὥστε κἂν ἐκτοπίσωσι γινώσκεσθαι· καὶ τὰ ἔμβρυα δὲ ἐν τῇ γαστρὶ ὄντα εὐθὺς ἔχει τοῦτο τὸ σημεῖον. Θηλὰς δ' ἔχουσιν αἱ θήλειαι τέτταρας, ὥσπερ αἱ βοῦς.

Επειδὰν δ' ἐμπλησθῶσιν αἱ θήλειαι, ἐκκρίνονται οἱ ἄῤῥενες καθ' ἑαυτούς· καὶ διὰ τὴν ὁρμὴν τὴν τῶν ἀφροδισίων ἕκαστος μονούμενος, βόθρους ὀρύττει, καὶ βρωμᾶται ὥσπερ οἱ τράγοι· καὶ τὰ πρόσωπα, διὰ τὸ ῥαίνεσθαι, μέλανα γίνεται αὐτῶν, ὥσπερ τὰ τῶν τράγων. Οὕτω δὲ διάγουσιν ἕως ἂν ὕδωρ γένηται. Μετὰ δὲ ταῦτα τρέπονται πρὸς τὴν νομήν. Ταῦτα δὲ ποιεῖ τὸ ζῶον διὰ τὸ φύσει λάγνον εἶναι, καὶ διὰ τὴν παχύτητα· ὑπερβάλλουσα γὰρ γίνεται τοῦ θέρους αὐτῶν· διὸ καὶ οὐ δύνανται θεῖν, ἀλλ' ἁλίσκονται ὑπὸ τῶν πεζῇ διωκόντων, ἐν τῷ δευτέρῳ δρόμῳ καὶ τρίτῳ· καὶ φεύγουσι διὰ τὸ καῦμα καὶ τὸ ἆσθμα εἰς τὸ ὕδωρ. Καθ' ὃν δὲ χρόνον ὀχεύουσι, τὰ κρέα γίνεται φαῦλα καὶ δυσώδη, καθάπερ καὶ τῶν τράγων. Εν μὲν οὖν τῷ χειμῶνι γίνονται λεπτοὶ καὶ ἀσθενεῖς· πρὸς δὲ τὸ ἔαρ, μάλιστα ἀκμάζουσι πρὸς τὸ δραμεῖν. Εν δὲ τῷ φεύγειν ἀνάπαυσιν ποιοῦνται τῶν δρόμων, καὶ ὑφιστάμενοι μένουσιν, ἕως ἂν πλησίον ἔλθῃ ὁ διώκων· τότε δὲ πάλιν φεύγουσιν. Τοῦτο δὲ δοκοῦσι ποιεῖν διὰ τὸ πονεῖν τὰ ἐντός· τὸ γὰρ ἔντερον ἔχει λεπτὸν καὶ ἀσθενὲς οὕτως, ὥστε, ἂν ἠρέμα τις πατάξῃ, διακόπτεται, τοῦ δέρματος ὑγιοῦς ὄντος.

XXX. 30. Αἱ δὲ ἄρκτοι τὴν ὀχείαν ποιοῦνται, ὥσπερ εἴρηται πρότερον, οὐκ ἀναβαδὸν, ἀλλὰ καταχεκλιμέναι ἐπὶ τῆς γῆς. Κύει δ' ἄρκτος τριάκονθ' ἡμέραις. Τίκτει δὲ καὶ ἓν καὶ δύο, τὰ δὲ πλεῖστα, πέντε. Ελάχιστον δὲ τίκτει τὸ ἔμβρυον τῷ μεγέθει, ὡς κατὰ τὸ σῶμα τὸ αὐτῆς. Ελαττον μὲν γὰρ γαλῆς τίκτει,

de la gestation de la biche, ni le tems que le faon employe à croître n'annoncent un animal qui doive vivre long-tems. Toutes les biches de la montagne nommée Elaphûs, qui est en Asie dans l'isle d'Arginusse, où Alcibiade est mort, ont l'oreille déchirée : on les reconnoît à cette marque lorsqu'elles passent ailleurs. Leurs faons portent la même marque dans le ventre de leur mere. La biche a quatre mammellons de même que la vache.

Quand les biches sont pleines, les cerfs se séparent d'elles. La violence de l'ardeur qu'ils éprouvent, fait que chacun d'eux demeurant seul, ils creusent la terre, rendent une odeur forte, semblable à celle du bouc, & la sueur qui leur coule sur le devant de la tête les noircit comme les boucs. Ils vivent en cet état jusqu'à la saison des pluies : alors ils retournent aux lieux où ils ont accoutumé de prendre leur nourriture. L'ardeur du tempérament de cet animal & son embonpoint sont la cause de ces effets : car ils deviennent excessivement gras en été, tellement qu'ils ne peuvent plus courir, & qu'un homme qui court à pied les force à la seconde ou à la troisieme reprise. La chaleur & la difficulté de respirer les fait se jetter à l'eau. Dans le tems du rut leur chair ne vaut rien, elle sent mauvais comme celle du bouc. L'hiver les maigrit & les affoiblit, de sorte que c'est au printems qu'ils sont le plus agiles à la course. Lorsqu'ils fuyent, ils s'arrêtent de tems en tems, & ils attendent que le chasseur soit près d'eux. Quand ils le voyent approcher, ils fuyent de nouveau. On croit qu'ils s'arrêtent ainsi à cause des douleurs qu'ils éprouvent intérieurement. Les intestins du cerf sont si foibles & si minces, qu'en frappant l'animal, même légerement, ils se divisent sans que la peau soit entamée.

Les ourses ne reçoivent point le mâle en le laissant monter sur elles; XXX.
elles l'attendent couchées à terre. C'est une observation déja rappellée. Le tems 30.
pendant lequel elles portent est de trente jours. Elles font un petit ou deux : cinq pour le plus. L'ours nouveau né est très-petit, par comparaison à la grosseur de l'animal qui le produit. Il est plus gros qu'un rat, mais ne l'est pas

μεῖζον δὲ μυὸς, καὶ ψιλὸν, καὶ τυφλὸν, καὶ σχεδὸν ἀδιάρθρωτα τὰ σκέλη καὶ τὰ πλεῖστα τῶν μορίων. Τὴν δ' ὀχείαν ποιεῖται τοῦ μηνὸς τοῦ ποσειδῶνος, τίκτει δὲ περὶ τὴν ὥραν τὴν τοῦ φωλεύειν. Γίγνονται μὲν οὖν περὶ τὸν χρόνον τοῦτον, καὶ ἡ θήλεια καὶ ὁ ἄῤῥην, πίοταλοι· ὅταν δ' ἐκθρέψῃ τρίτῳ μηνὶ, ἐκφαίνουσιν ἤδη τοῦ ἔαρος.

Καὶ ἡ ὕστριξ δὲ φωλεύει καὶ κύει ἴσας ἡμέρας, καὶ τὰ ἄλλα ὡσαύτως τῇ ἄρκτῳ.

Κύουσαν δὲ ἄρκτον ἔργον ἐστὶ λαβεῖν.

XXXI. Λέων δὲ ὅτι μὲν ὀχεύει ὄπισθεν, καὶ ἔστιν ὀπισθουρητικὸν,
31. εἴρηται πρότερον. Ὀχεύει δὲ καὶ τίκτει οὐ πᾶσαν ὥραν, καθ' ἕκαστον μέντοι τὸν ἐνιαυτόν. Τίκτει μὲν οὖν τοῦ ἔαρος. Τίκτει δ' ὡς ἐπιτοπολὺ δύο, τὰ μέντοι πλεῖστα ἕξ, τίκτει δ' ἐνίοτε καὶ ἕν. Ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν τὰς ὑστέρας τίκτοντα, ληρώδης ἐστί. Συνετέθη δὲ, ἐκ τοῦ σπανίους εἶναι τοὺς λέοντας, ἀποροῦντος τὴν αἰτίαν τοῦ τὸν μῦθον συνθέντος. Σπάνιον γὰρ τὸ γένος τὸ τῶν λεόντων ἐστὶ, καὶ οὐκ ἐν πολλῷ γίνεται τόπῳ, ἀλλὰ τῆς Εὐρώπης ἁπάσης ἐν τῷ μεταξὺ τοῦ Ἀχελώου καὶ τοῦ Νέσσου ποταμοῦ. Τίκτει δὲ καὶ ὁ λέων πάνυ μικρὰ οὕτως, ὥστε δίμηνα ὄντα μόλις βαδίζειν. Οἱ δ' ἐν Συρίᾳ λέοντες τίκτουσι πεντάκις· τὸ πρῶτον, πέντε, εἶτα ἀεὶ ἑνὶ ἐλάττονα· μετὰ δὲ ταῦτα οὐκέτι οὐδὲν τίκτουσιν, ἀλλ' ἄγονοι διατελοῦσιν. Οὐκ ἔχει δὲ ἡ λέαινα χαίτην, ἀλλ' ὁ ἄῤῥην λέων. Βάλλει δὲ ὁ λέων τῶν ὀδόντων τοὺς κυνόδοντας καλουμένους τέτταρας μόνους, δύο μὲν ἄνωθεν, δύο δὲ κάτωθεν· βάλλει δὲ ἑξάμηνος ὢν τὴν ἡλικίαν.

XXXII. Ἡ δὲ ὕαινα, τῷ μὲν χρώματι λυκώδης ἐστὶ, δασυτέρα δὲ,
32. καὶ λοφίαν ἔχει δι' ὅλης τῆς ῥάχεως. Περὶ δὲ τῶν αἰδοίων ὃ λέγεται, ὡς ἔχει ἄῤῥενος καὶ θηλείας, ψεῦδός ἐστιν. Ἀλλ' ἔχει τὸ μὲν τοῦ ἄῤῥενος, ὅμοιον τῷ τῶν λύκων καὶ τῶν κυνῶν· τὸ δὲ

autant qu'une belette. Il naît aveugle & sans poil. Ses cuisses, ainsi que la plupart des parties de son corps, sont presque informes. Les ours s'accouplent au mois de Décembre : la femelle met bas au tems où ces Animaux se tiennent cachés. Le mâle & la femelle deviennent alors l'un & l'autre très gras, & au troisieme mois, lorsque la femelle a elevé son petit, ils reparoissent, le printems étant déja commencé.

Le porc-épic se tient caché de même que l'ours, auquel il ressemble d'ailleurs, soit pour le tems pendant lequel la femelle porte ses petits, soit pour le surplus.

Il est difficile de prendre une ourse pleine.

J'ai dit précedemment que le lion urinoit en arriere & s'accouploit croupe contre croupe. Il s'accouple & sa femelle met bas chaque année, mais ce n'est pas en toute saison indifféremment. Ses petits naissent au printems. Leur nombre est de deux ordinairement & de six au plus. Quelquefois aussi il n'en vient qu'un seul. C'est un conte que ce qu'on a débité sur la lionne, qu'elle perdoit sa matrice en se déchargeant de ses petits. On l'a imaginé, parce qu'on voyoit que les lions sont rares, & qu'on ignoroit la cause de cette rareté. Le lion, en effet, est un animal peu commun, qui ne se trouve pas dans beaucoup de pays. Dans toute l'Europe, par exemple, il n'y a de lions qu'entre l'Acheloüs & le Nessus. Les jeunes lionceaux naissent si petits, qu'à deux mois ils ont encore de la peine à marcher. Les lionnes de Syrie portent cinq fois. Le nombre des petits de la premiere portée est de cinq, mais ce nombre diminuant d'un à chaque fois, elles finissent par n'en plus avoir, & elles demeurent stériles. La lionne n'a point de criniere, c'est l'attribut du lion. Le lion ne perd de ses premieres dents que les quatre que l'on nomme canines, deux en haut & deux en bas. Il les perd à six mois. XXXI. 31.

La hyene est de la couleur du loup, mais elle a le poil plus épais, & sa criniere se prolonge dans toute la longueur de l'épine du dos. Il est faux que cet animal réunisse, comme on le dit, les caracteres de l'un & de l'autre sexe. Les parties génitales du mâle ressemblent à celles du loup & du chien, XXXII. 32.

δοκεῖν θηλείας εἶναι, ὑποκάτω μέν ἐςι τῆς κέρκου, παραπλήσιον δ᾽ ἐςὶ τῷ σχήματι τῷ τῦ θήλεος· ὐκ ἔχει μέντοι ὐδένα πόρον· ὑποκάτω δ᾽ ἐςὶν αὐτῦ ὁ τῆς περιτῖώσεως πόρος. Η δὲ θήλεια ὕαινα ἔχει μὲν καὶ τὸ ὅμοιον τῷ τῆς θηλείας λεγυμένῳ αἰδοίῳ· ἔχει δ᾽ ὥσπερ ὁ ἄῤῥην αὐτὸ ὑποκάτω τῆς κέρκυ, πόροι δὲ οὐδένα ἔχει. Μετὰ δὲ τῦτο ὁ τῆς περιτῖωσεώς ἐςι πόρος ὑποκάτω δὲ τῦτου, τὸ ἀληθινὸν αἰδοῖον. Εχει δὲ ἡ ὕαινα ἡ θήλεια καὶ ὑςέραν· ὥσπερ καὶ τὰ ἄλλα ζῶα τὰ θήλεα, ὅσα ἐςὶ τοιαῦτα. Σπάνιον δέ ἐςι λαβεῖν ὕαιναν θήλειαν· ἐν ἕνδεκα γῦν κυνηγός τις μίαν ἔφη λαβεῖν.

XXXIII. 33. Οἱ δὲ δασύποδες ὀχεύονται μὲν συνιόντες ὄπισθεν, ὥσπερ εἴρηται πρότερον· ἐςι γὰρ ὀπισθυρητικόν· ὀχεύονται δὲ καὶ τίκτυσι πᾶσαν ὥραν, καὶ ἐπικυίσκονται ὅταν κύωσι, καὶ τίκτουσι κατὰ μῆνας. Τίκτυσι δὲ ὐκ ἀθρόα, ἀλλὰ διαλείπουσιν ἡμέρας ὁπόσας ἂν τύχωσιν. Ισχει δὲ ἡ θήλεια γάλα πρότερον ἢ τεκεῖν καὶ τεκῦσα εὐθὺς ὀχεύεται, καὶ συλλαμβάνει ἔτι θηλαζομένη. Τὸ δὲ γάλα παχύτητι ὅμοιόν ἐςι τῷ ὑείῳ· τίκτει δὲ τυφλὰ, ὥσπερ τὰ πολλὰ τῶν πολυσχιδῶν.

XXXIV. 34. Η δὲ ἀλώπηξ ὀχεύεται μὲν ἀναβαίνουσα, τίκτει δ᾽ ὥσπερ ἡ ἄρκτος, καὶ ἔτι μᾶλλον ἀδιάρθρωτον. Οταν δ᾽ μέλλῃ τίκτειν, ἐκτοπίζει οὕτως ὥςε σπάνιον εἶναι τὸ ληφθῆναι κύυσαν. Οταν δὲ ἐκτέκῃ, τῇ γλώττῃ ἐκλείχουσα, θερμαίνει καὶ συμπέττει. Τίκτει δὲ τέτταρα τὰ πλεῖςα.

XXXV. 35. Λύκος δὲ κύει μὲν καὶ τίκτει καθάπερ κύων, τῷ χρόνῳ καὶ πλήθει τῶν γιγνομένων, καὶ τυφλὰ τίκτει ὥσπερ κύων. Οχεύει δὲ καὶ ὀχεύεται κατὰ μίαν ὥραν, καὶ τίκτει ἀρχομένου τοῦ θέρους. Λέγεται δέ τις περὶ τοῦ τόκου λόγος πρὸς μῦθον συνάπτων. Φασὶ γὰρ ἅπαντας τὺς λύκους ἐν δώδεκ᾽ ἡμέραις ἐνιαυτῦ τίκτειν. Τύτυ δὲ τ᾽ αἰτίαν ἐν μύθῳ λέγυσιν, ὅτι ἐν τοσαύταις ἡμέραις τὴν Λητὼ παρεκόμισαν ἐξ Υπερβορέων εἰς Δῆλον,

& ce que l'on prendroit pour le caractere de l'autre sexe est une ouverture placée sous la queue, assez semblable à la vulve d'une femelle, mais dont le fonds n'est pas ouvert. L'issue des excrémens est au-dessous. La hyene femelle a également cette ouverture semblable à la vulve : elle l'a, comme le mâle, sous la queue, & le fonds n'en est pas ouvert non plus. Au-dessous est l'anus, & au-dessous encore est la vraie vulve. La hyene femelle a aussi une matrice, comme les autres femelles dont la nature est d'avoir cet organe. Il est rare de prendre une hyene femelle : sur onze de ces Animaux, un chasseur a dit n'avoir trouvé qu'une femelle.

Les dasypodes étant du nombre des Animaux qui jettent leur urine en arriere, s'accouplent, ainsi qu'il a été dit, croupe contre croupe. Ils s'accouplent & produisent en toute saison : les femelles sont sujettes à la superfétation, & font des petits tous les mois. Ces petits ne sortent pas de la mere tous en même tems : il y a un intervalle de quelques jours plus ou moins entre leur naissance successive. Le lait vient à la mere avant qu'elle mette bas; aussi-tôt que ses petits sont nés, elle reçoit le mâle, & elle devient pleine tandis qu'elle les allaite encore. L'épaisseur de son lait est la même que celle du lait de la truie. Les petits dasypodes naissent aveugles, ainsi que ceux de la plupart des Animaux qui ont le pied divisé en plusieurs doigts. XXXIII. 33.

Lorsque les renards s'accouplent, le mâle monte sur la femelle. Leurs petits naissent moins formés encore que ceux de l'ours. La femelle quitte sa retraite ordinaire lorsqu'elle est sur le point de mettre bas, & elle se cache si bien qu'il est rare de prendre une femelle de renard pleine. Quand elle a fait ses petits, elle les échauffe & acheve de les former en les léchant. Le plus qu'elle en ait, c'est quatre. XXXIV. 34.

La louve ressemble à la chienne soit pour la durée de la gestation, soit pour le tems de mettre bas, soit pour le nombre des petits. Ses petits naissent aveugles, comme ceux du chien. Leur accouplement est limité à une seule saison ; la louve met bas au commencement de l'été. On rapporte sur ce sujet un fait, qui ressemble bien à un conte : on prétend que la totalité des loups met bas, chaque année, dans l'intervalle de douze jours. L'origine de cette particularité est tirée de la fable : c'est, dit-on, que les loups accompagnerent pendant le même espace de tems, Latone, lorsqu'elle passa de chez les Hyperboréens à Délos, étant métamorphosée en louve, pour se soustraire XXXV. 35.

λύκαιναν φαινομένην, διὰ τὸν τῆς Ἥρας φόβον. Εἰ δ' ἐστὶν ὁ χρόνος οὗτος τῆς κυήσεως, ἢ μή ἐστιν, οὐδένπω συνῶπται μέχρι γε τοῦ νῦν, ἀλλ' ἢ ὅτι λέγεται μόνον· οὐκ ἀληθὲς δὲ φαίνεται· οἷον οὐδὲ τὸ λεγόμενον δὴ, ὅτι ἅπαξ ἐν τῷ βίῳ τίκτουσιν οἱ λύκοι.

Οἱ δὲ αἴλουροι, καὶ ἰχνεύμονες, τίκτουσιν ὅσαπερ καὶ οἱ κύνες, καὶ τρέφονται τοῖς αὐτοῖς. Ζῶσι δὲ περὶ ἔτη ἕξ.

Καὶ ὁ πανθὴρ δὲ τίκτει τυφλὰ, ὥσπερ λύκος. Τίκτει δὲ τὰ πλεῖστα, τέτταρα τὸν ἀριθμόν.

Καὶ οἱ θῶες δὲ ὁμοίως κυΐσκονται τοῖς κυσὶ, καὶ τίκτουσι τυφλά. Τίκτουσι δὲ καὶ δύο, καὶ τρία, καὶ τέτταρα τὸν ἀριθμόν. Ἔστι δὲ τὴν ἰδέαν ἐπὶ οὐρὰν μὲν μακρὸς, τὸ δὲ ὕψος βραχύτερος. Ὁμοίως δὲ ταχυτῆτι διαφέρει, καίπερ τῶν σκελῶν ὄντων βραχέων· ἀλλὰ διὰ τὸ ὑγρὸς εἶναι, καὶ πηδᾷ πόῤῥω.

XXXVI. Εἰσὶ δὲ ἐν Συρίᾳ οἱ καλούμενοι ἡμίονοι, ἕτερον γένος τῶν
36. ἐκ συνδυασμοῦ γινομένων ἵππου καὶ ὄνου. Ὅμοιοι δὲ τὴν ὄψιν, ὥσπερ καὶ οἱ ἄγριοι ὄνοι πρὸς τοὺς ἡμέρους, ἀπό τινος ὁμοιότητος λεχθέντες. Εἰσὶ δ' ὥσπερ οἱ ὄνοι ἄγριοι, καὶ ἡμίονοι τὴν ταχυτῆτα διαφέροντες. Αὗται αἱ ἡμίονοι γεννῶσιν ἐξ ἀλλήλων. Σημεῖον δὲ, ἦλθον γάρ τινες εἰς Φρυγίαν ἐπὶ Φαρνάκου τοῦ Φαρναβάζου πατρὸς, καὶ διαμένουσιν ἔτι. Εἰσὶ δὲ νῦν μὲν τρεῖς, τὸ παλαιὸν δ' ἐννέα ἦσαν, ὥς φασιν.

XXXVII. Ἡ δὲ τῶν μυῶν γένεσις θαυμασιωτάτη παρὰ τὰ ἄλλα ζῶά
37. ἐστι, τῷ πλήθει καὶ τῷ τάχει. Ἤδη γάρ ποτε ἐναποληφθείσης τῆς θηλείας κυούσης ἐν ἀγγείῳ κέγχρου, μετ' ὀλίγον χρόνον ἀνοιχθέντος τοῦ ἀγγείου, ἐφάνησαν ἑκατὸν καὶ εἴκοσι μύες τὸν ἀριθμόν. Ἀπορεῖται δὲ καὶ ἡ τῶν ἐπιπολαζόντων μυῶν γένεσις ἐν ταῖς χώραις καὶ ἡ φορά. Πολλαχοῦ γὰρ εἴωθε γίνεσθαι πλῆθος ἀμύθητον τῶν ἀρουραίων, ὥστε ὀλίγον λείπεσθαι τοῦ σίτου παντός. Γίνεται δὲ οὕτω ταχεῖα ἡ φορὰ, ὥστ' ἔνιοι τῶν μὴ μεγάλας

à la colere de Junon. La vérité du fait que le tems de la gestation des louves soit ainsi déterminé n'a pas été constatée ; seulement on le dit : mais cela ne paroît pas plus vrai que ce que l'on débite encore, que les louves ne font de petits qu'une fois en leur vie.

Le chat & l'ichneumon ont le même nombre de petits que le chien. Leur nourriture à l'un & à l'autre est la même, & le terme de leur vie est d'environ six ans.

Les petits de l'adive naissent aveugles, comme ceux du loup. La portée de la mere n'est pas de plus que quatre.

La femelle du thos devient pleine de la même maniere que la chienne; & ses petits naissent pareillement aveugles. Elle en a quelquefois deux, quelquefois trois, quelquefois quatre. Le thos a le corps allongé du côté de la queue, plus ramassé dans la partie d'en haut. Quoique ses jambes soient basses, il n'en a pas moins de vitesse, à cause de la souplesse de ses membres & de l'étendue de ses sauts.

On voit en Syrie des Animaux que l'on nomme mulets, & qui, ressem- XXXVI.
blant à l'extérieur aux mulets produits par le cheval & l'âne, forment néan- 36.
moins une espece différente. C'est ainsi que l'on a donné aux ânes sauvages le nom d'ânes, à cause de quelque ressemblance qu'ils ont avec les ânes domestiques. Les mulets de Syrie different des autres mulets pour la vitesse, ainsi que les ânes sauvages different des ânes domestiques. Les mules & les mulets dont nous parlons, produisent ensemble : quelques Animaux qui restent de cette race en Phrygie, où ils ont été amenés sous Pharnace pere de Pharnabaze, font la preuve de ce fait. Ils n'en subsiste que trois, de neuf qu'ils étoient autrefois, à ce que l'on dit.

La multiplication des rats, comparée avec celle des autres Animaux, est XXXVII.
très-surprenante, soit pour son abondance, soit pour sa promptitude. On 37.
avoit laissé une femelle qui étoit pleine, dans un vaisseau où il y avoit du millet. Peu de tems après, en ouvrant le vaisseau, on y compta cent-vingt rats. La multiplication & le nombre des rats qui couvrent la surface des campagnes ne sont pas moins étonnans. Il y a des lieux où il a coutume de venir une multitude si extraordinaire de rats des champs, que de tout le bled il ne reste que peu de chose. Ces Animaux se multiplient d'ailleurs si promptement,

γεωργίας ἐργαζομένων, τῇ προτέρᾳ ἰδόντες ὅτι θερίζειν ὥρα, τῇ ὑστεραίᾳ ἕωθεν ἄγοντες τοὺς θεριστὰς, καταβεβρωμένον ἅπαντα καταλαμβάνουσιν.

Ο δὲ ἀφανισμὸς οὐ κατὰ λόγον ἀποβαίνει. Εν ὀλίγαις γὰρ ἡμέραις ἀφανεῖς πάμπαν γίνονται· καίτοι ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ κρατοῦσιν οἱ ἄνθρωποι, ἀναθυμιῶντες καὶ ἀνορύττοντες, ἔτι δὲ θηρεύοντες, καὶ τὰς ὗς ἐμβάλλοντες· αὗται γὰρ ἀνορύττουσι τὰς μυωπίας. Θηρεύουσι δὲ καὶ αἱ ἀλώπεκες αὐτοὺς, καὶ αἱ γαλαῖ αἱ ἄγριαι μάλιστα ἀναιροῦσιν, ἀλλ' οὐ κρατοῦσι τῆς πολυγονίας καὶ τῆς ταχυτονίας· οὐδ' ἄλλο οὐδὲν, πλὴν οἱ ὄμβροι, ὅταν ἐπιγένωνται· τότε δὲ ἀφανίζονται ταχέως. Τῆς δὲ Περσικῆς ἔν τινι τόπῳ ἀνασχιζομένων τῶν ἐμβρύων, τὰ θήλεα κύοντα φαίνεται. Φασὶ δέ τινες καὶ διισχυρίζονται, ὅτι ἂν ἅλα λείχωσιν, ἄνευ ὀχείας γίνεσθαι ἐγκύους.

Οἱ δ' ἐν Αἰγύπτῳ μύες, σκληρὰν ἔχουσι τὴν τρίχα, σχεδὸν ὥσπερ οἱ χερσαῖοι ἐχῖνοι. Εἰσὶ δὲ καὶ ἕτεροι οἳ βαδίζουσιν ἐπὶ τοῖς δυσὶ ποσί· τὰ γὰρ πρόσθια μικρὰ ἔχουσι· τὰ δ' ὀπίσθια μεγάλα. Γίνονται δὲ πλήθει πολλοί. Εστι δὲ καὶ ἄλλα γένη μυῶν πολλά.



que du jour au lendemain, tel laboureur, dont les possessions sont fort médiocres, après avoir vû son bled mûr, le trouve mangé en entier lorsqu'il amene les moissonneurs pour le recueillir.

La disparution des rats est également singuliere. En peu de jours ils deviennent tous invisibles, tandis qu'auparavant on ne pouvoit les détruire soit en les enfumant, soit en renversant leurs retraites, soit en leur donnant la chasse, soit en lâchant dans la campagne des porcs : car les porcs fouillent les trous de ces Animaux. Les renards les chassent aussi, & les belettes sauvages en font périr beaucoup ; mais les uns & les autres ne peuvent arrêter l'abondance & la promptitude de leur multiplication. Rien ne les détruit que les pluies : quand elles viennent, elles les font disparoître promptement. Dans une campagne de la Perse, où l'on ouvrit quelques-uns de leurs fœtus, on trouva dans le corps des fœtus femelles, des petits déja formés. Quelques personnes prétendent, & même elles l'assurent comme un fait certain, que de lécher du sel suffit pour rendre les femelles des rats fécondes, sans le concours du mâle.

Les rats d'Egypte ont le poil presque aussi ferme que celui des hérissons de terre. Il en est d'autres qui marchent sur deux pieds, parce qu'ils ont les pieds de derriere grands, tandis que ceux de devant sont petits. Ces rats sont très-multipliés. Au reste les différentes especes de rats que je viens de décrire, ne sont pas les seules qui existent, il y en a beaucoup d'autres.





HISTOIRE DES ANIMAUX.

LIVRE SEPTIEME.

Sujet de ce Livre.

Le cinquieme & le sixieme Livre de l'Histoire des Animaux, ont fixé l'attention par les détails curieux de la reproduction des brutes : un intérêt plus vif s'excite lorsqu'on annonce l'histoire de la génération de l'Homme. Aristote a destiné à ce sujet important, le septieme Livre entier.


Le passage de l'enfance à la puberté est le premier objet dont Aristote s'occupe. Les changemens qui arrivent à cette époque dans le corps humain lui donnent un nouvel être : ils indiquent l'acquisition des facultés que la nature employe presque le quart de la vie de l'Homme à préparer. La comparaison des mêmes facultés dans l'Homme & dans les Animaux, succéde à ces premieres vûes ; puis les signes de la conception, qui en est le résultat ; la durée de la grossesse qui suit la conception, & les événemens dont l'état de grossesse est accompagné.

Aristote fait observer le tems auquel la faculté d'engendrer & de concevoir cesse, de même qu'il a remarqué le tems auquel elle commence. Il y joint quelques

réflexions sur le plus ou le moins de puissance de certains individus.

La formation de l'Homme expliquée ; les facultés dont l'exercice concourt à cette formation, connues ; Aristote décrit de quelle maniere le fœtus se nourrit dans le sein de sa mere, de quelle maniere il en sort, & les opérations à faire à l'enfant nouveau né. Il termine le Livre en disant un mot de l'état de l'Homme dans son premier âge, & de ces accidens terribles qui souvent ne le laissent paroître sur la terre que le tems nécessaire pour y mourir.





ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,


ΤΟ Ζ.

I. ΠΕΡΙ δ' ἀνθρώπου γενέσεως, τῆς τε πρώτης ἐν τῷ θήλει, καὶ τῆς ὕστερον μέχρι γήρως, ὅσα συμβαίνει διὰ τὴν φύσιν τὴν οἰκείαν, τὸν δ' ἔχει τὸν τρόπον. Η μὲν διαφορὰ τοῦ ἄῤῥενος πρὸς τὸ θῆλυ καὶ τὰ μόρια, πρότερον εἴρηται.

Φέρειν δὲ σπέρμα πρῶτον ἄρχεται τὸ ἄῤῥεν ὡς ἐπιτοπολὺ, ἐν τοῖς ἔτεσι τοῖς δὶς ἑπτὰ τετελεσμένοις. Αμα δὲ καὶ τρίχωσις τῆς ἥβης ἄρχεται· καθάπερ καὶ τὰ φυτὰ, τὰ μέλλοντα φέρειν τὸ σπέρμα, ἀνθεῖν πρῶτον Αλκμαίων φησὶ ὁ Κροτωνιάτης. Περὶ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ἥ τε φωνὴ μεταβάλλειν ἄρχεται ἐπὶ τὸ τραχύτερον καὶ ἀνωμαλέστερον, οὔτ' ἔτι ὀξεῖα οὖσα, οὔτε πω βαρεῖα, οὔτε πᾶσα ὁμαλὴ, ἀλλ' ὁμοία φαινομένη ταῖς παρανενευρισμέναις καὶ τραχείαις χορδαῖς· ὃ καλοῦσι τραγίζειν. Γίνεται δὲ τοῦτο μᾶλλον τοῖς πειρωμένοις ἀφροδισιάζειν· τοῖς γὰρ περὶ ταῦτα προθυμουμένοις, καὶ μεταβάλλουσιν αἱ φωναὶ εἰς τὴν τῶν ἀνδρῶν φωνήν· τοῖς δ' ἀπεχομένοις, τοὐναντίον· ἐὰν δὲ καὶ συναποβιάζωνται ταῖς ἐπιμελείαις, ὥσπερ ποιοῦσιν ἔνιοι τῶν περὶ τὰς χορείας σπουδαζόντων, καὶ μέχρι πόῤῥω διαμένει, καὶ τὸ πάμπαν μικρὰν λαμβάνει μεταβολήν. Καὶ μαστῶν ἔπαρσις γίνεται καὶ αἰδοίων, οὐ μεγέθει μόνον, ἀλλὰ καὶ εἴδει. Συμβαίνει δὲ περὶ τοῦτον τὸν χρόνον τοῖς τε πειρωμένοις τρίβεσθαι, περὶ τὴν τοῦ σπέρματος πρόεσιν, οὐ μόνον ἡδονὴν γίνεσθαι τοῦ σπέρματος ἐξιόντος, ἀλλὰ καὶ λύπην.

Περὶ δὲ τὸν αὐτὸν χρόνον, καὶ τοῖς θήλεσιν ἥ τε ἔπαρσις γίνεται τῶν μαστῶν, καὶ τὰ καταμήνια καλούμενα καταῤῥήγνυται.

HISTOIRE



HISTOIRE DES ANIMAUX.

LIVRE SEPTIEME.

IL est tems de parler de la conception de l'homme dans le ſein de ſa mere, & de nous occuper des révolutions que la nature lui fait éprouver depuis la naiſſance juſqu'à la vielleſſe. J'ai dit ailleurs en quoi conſiſte la différence de l'homme & de la femme : j'ai expliqué quelles ſont leurs parties. I.

La liqueur ſéminale paroît ordinairement dans l'homme à l'âge de quatorze ans accomplis. Les parties voiſines des organes de la génération commencent dans le même tems à ſe vêtir de poil : c'eſt ainſi, dit Alcmæon de Crotone, que les plantes fleuriſſent avant de porter la ſemence qui doit les reproduire. Vers ce même âge, la voix éprouve un changement, elle devient rauque & inégale. Elle a ceſſé d'être aigue, mais elle n'eſt pas encore grave. Elle n'eſt pas non plus parfaitement uniforme : le ſon qu'elle a, reſſemble à celui que donneroient des cordes mal tendues & d'une nature peu ſouple : c'eſt ce qu'on appelle *chevrotter*. Le changement de la voix s'accélere dans ceux qui s'efforcent d'anticiper le tems des jouiſſances. Leur voix acquiert plutôt la conſiſtance d'un homme fait. La retenue rallentit au contraire ce changement ; on peut même ſi l'on ſe contraint, & ſi l'on prend certaines précautions, dont uſent quelques muſiciens, conſerver long-tems ſa voix, la même, & en rendre le changement preſque inſenſible. Les mamelles augmentent avec les organes du ſexe ; tout leur enſemble s'accroît & ſe développe. Au reſte les premieres émiſſions forcées qui ſe font alors, cauſent un ſentiment de douleur mêlé à un ſentiment de plaiſir.

C'eſt vers le même âge que, chez les filles, le volume des mamelles s'accroît, & que l'éruption de leurs menſtrues commence à ſe manifeſter. Le

τοῦτο δέ ἐστιν αἷμα οἷον νεόσφακτον· τὰ δὲ λευκά, καὶ παιδίοις οὖσι γίνεται πάμπαν νέοις, μᾶλλον δ' ἂν ὑγρᾷ χρῶνται τροφῇ καὶ κωλύει τὴν αὔξην, καὶ τὰ σώματα ἰσχναίνει τῶν παιδίων. Τὰ δὲ καταμήνια γίνεται ταῖς πλείσταις, ἤδη τῶν μαστῶν ἐπὶ δύο δακτύλους ἠρμένων. Καὶ ἡ φωνὴ δὲ καὶ ταῖς παισὶ μεταβάλλει περὶ τὸν χρόνον τοῦτον, ἐπὶ τὸ βαρύτερον. Ολως μὲν γὰρ γυνὴ ἀνδρὸς ὀξυφωνότερον, αἱ δὲ νέαι, τῶν πρεσβυτέρων· ὥσπερ καὶ οἱ παῖδες τῶν ἀνδρῶν· ἀλλ' ἔστιν ἡ φωνὴ ὀξυτέρα ἡ τῶν θηλειῶν παίδων, ἢ τῶν ἀῤῥένων, καὶ ὁ παρθένιος αὐλὸς τοῦ παιδικοῦ ὀξύτερος.

Μάλιστα δὲ καὶ φυλακῆς δέονται περὶ τὸν χρόνον τοῦτον· μάλιστα γὰρ ὁρμῶσι πρὸς τὴν τῶν ἀφροδισίων χρῆσιν ἀρχομένων αὐτῶν· ὥστε ἂν ἤδη εὐλαβηθῶσι, μηθὲν ἐπιπλεῖον κινεῖν, ἢ ὅσον αὐτὰ τὰ σώματα μεταβάλλει μηθὲν χρωμένων ἀφροδισίοις, ἀκολουθεῖν εἴωθεν εἰς τὰς ὕστερον ἡλικίας. Αἵ τε γὰρ νέαι πάμπαν ἀφροδισιαζόμεναι ἀκολαστότεραι γίνονται· καὶ οἱ ἄῤῥενες, ἐάν τ' ἐπὶ θάτερα, ἐάν τ' ἐπ' ἀμφότερα ἀφυλακτήσωσιν. Οἵ τε γὰρ πόροι ἀναστομοῦνται, καὶ ποιοῦσιν εὔρουν τὸ σῶμα ταύτῃ· καὶ ἅμα ἡ τότε μνήμη τῆς συμβαινούσης ἡδονῆς, ἐπιθυμίαν ποιεῖ τῆς τότε γινομένης ὁμιλίας.

Γίγνονται δέ τινες ἄνηβοι ἐκ γενετῆς καὶ ἄγονοι, διὰ τὸ πηρωθῆναι περὶ τὸν τόπον τὸν γόνιμον. Ομοίως δὲ καὶ γυναῖκες γίνονται ἄνηβοι ἐκ γενετῆς.

Μεταβάλλουσι δὲ καὶ τὰς ἕξεις τὰ ἄῤῥενα καὶ τὰ θήλεα, περί τε τὸ ὑγιεινότερα εἶναι καὶ περὶ τὸ νοσερώτερα, καὶ περὶ τὴν τοῦ σώματος ἰσχνότητα, καὶ παχύτητα, καὶ εὐτροφίαν· Μετὰ γὰρ τὴν ἥβην, οἱ μὲν ἐξ ἰσχνῶν παχύνονται καὶ ὑγιεινότεροι γίνονται· οἱ δὲ τοὐναντίον. Ομοίως δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν παρθένων. Οσοι μὲν γὰρ παῖδες, ἢ ὅσαι παρθένοι περιττώματα κατὰ τὰ σώματα εἶχον, συναποκρινομένων τῶν τοιούτων,

ſang menſtruel eſt tel que celui qui ſortiroit d'une plaie récente. Quelquefois les filles ont dans leur enfance, des éruptions de couleur blanche, ſurtout lorſqu'elles uſent d'alimens humides. Ces pertes les maigriſſent & les empêchent de croître. Ordinairement, l'écoulement périodique arrive quand les mamelles s'élevent déja de deux doigts ; la voix des jeunes filles devient auſſi plus grave alors. En général les femmes ont la voix plus aigue que les hommes ; les jeunes filles l'ont plus aigue que les perſonnes âgées du même ſexe, ainſi que les enfans l'ont plus aigue que les hommes faits : mais en comparant des enfans de même âge & de ſexe différent, on trouve encore la voix plus aigue dans les filles que dans les garçons. Cela vient de la glotte, dont l'ouverture eſt plus étroite dans les premieres.

Ce tems eſt celui où les filles demandent le plus d'attention ; le moment où il commence eſt celui où leurs ſens éprouvent l'irritation la plus vive. Si cette révolution s'eſt achevée ſans que leur pudeur ait ſouffert d'atteinte, & ſans qu'elles ſe ſoient rien permis qui ajoutât à l'opération de la nature, c'eſt ordinairement une aſſurance de leur ſageſſe pour l'âge à venir. Mais ſi le libertinage a commencé dès l'enfance, il n'eſt gueres poſſible de lui mettre un frein. Il en eſt de même des garçons, lorſqu'on ne les veille pas aſſez, ſoit entre eux, ſoit avec des perſonnes d'autre ſexe. Les conduits s'élargiſſant, les liqueurs s'y rendent avec plus d'abondance : le ſouvenir des ſenſations que l'on a éprouvées ſe joint, & anime les paſſions.

Il ſe rencontre dans l'un & l'autre ſexe, quelques individus auxquels naturellement il ne vient pas de ces poils qui environnent les organes du ſexe. Ils ſont impuiſſans : le vice qui affecte leurs organes empêche la production de ces ſortes de poils.

La puberté opere, chez les garçons comme chez les filles, un changement général dans l'habitude du corps. La ſanté s'aſſure, ou au contraire elle ſe dérange : le corps ou maigrit, ou s'épaiſſit & acquiert plus d'embonpoint. On voit des enfans qui avoient été délicats, devenir alors replets & robuſtes ; d'autres éprouvent le contraire. Il ſe fait à ce moment, même dans ceux qui ſe portent bien, une ſecrétion de parties pour fournir ſoit à la liqueur ſéminale,

τοῖς μὲν ἐν τῷ σπέρματι, ταῖς δ' ἐν τοῖς καταμηνίοις, ὑγιεινότερα τὰ σώματα γίνεται καὶ εὐτραφέστερα, ἐξιόντων τῶν ἐμποδιζόντων τὴν ὑγείαν καὶ τὴν τροφήν· ὅσοι δὲ τοὐναντίον, ἰσχνότερα καὶ νοσερώτερα τὰ σώματα γίνεται. Ἀπὸ γὰρ τῆς φύσεως, καὶ τῶν καλῶς ἐχόντων ἡ ἀπόκρισις γίνεται, τοῖς μὲν ἐν τῷ σπέρματι, ταῖς δ' ἐν τοῖς καταμηνίοις.

Ἔτι δὲ ταῖς γε παρθένοις καὶ τὰ περὶ τοὺς μαστοὺς γίνεται διαφερόντως ἑτέραις πρὸς ἑτέρας. Αἱ μὲν γὰρ πάμπαν μεγάλους ἴσχουσιν, αἱ δὲ μικρούς. Ὡς ἐπιτοπολὺ δὲ συμβαίνει τοῦτο, ὅσαι ἂν παῖδες οὖσαι περιττωματικαὶ ὦσι· μελλόντων γὰρ καὶ οὔπω γινομένων τῶν γυναικείων, ὅσῳ ἂν πλείων ἡ ὑγρότης ᾖ, τοσούτῳ μᾶλλον ἀναγκάζει αἴρεσθαι ἄνω, ἕως ἂν καταρραγῇ· ὥστε τότε λαβόντες ὄγκον οἱ μαστοὶ, διαμένουσι καὶ εἰς τὸ ὕστερον. Καὶ τῶν ἀρρένων δὲ ἐπιδηλότεροι γίνονται, καὶ γυναικικώτεροι οἱ μαστοὶ, καὶ νεωτέροις καὶ πρεσβυτέροις οὖσι, τοῖς ὑγροῖς καὶ λείοις, καὶ μὴ φλεβώδεσι, καὶ τούτων μᾶλλον τοῖς μέλασιν ἢ λευκοῖς.

Μέχρι μὲν οὖν τῶν τρὶς ἑπτὰ ἐτῶν, τὸ μὲν πρῶτον, ἄγονα τὰ σπέρματά ἐστιν· ἔπειτα γόνιμα μὲν, μικρὰ δὲ καὶ ἀτελῆ γεννῶσι καὶ οἱ νέοι καὶ αἱ νέαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ζώων τῶν πλείστων. Συλλαμβάνουσι μὲν οὖν αἱ νέαι θᾶττον· ἐὰν δὲ συλλάβωσιν, ἐν τοῖς τόκοις πονοῦσι μᾶλλον. Καὶ τὰ σώματα δ' αὐτῶν ἀτελέστερα γίνεται, ὡς ἐπιτοπολύ· καὶ γηράσκει θᾶττον, τῶν τ' ἀφροδισιαστικῶν ἀρρένων, καὶ τῶν γυναικῶν τῶν τοῖς τόκοις χρωμένων πλείοσι· δοκεῖ γὰρ οὐδ' ἡ αὔξησις ἔτι γίνεσθαι μετὰ τοὺς τρεῖς τόκους. Καθίστανται δὲ καὶ σωφρονίζονται μᾶλλον, ὅσαι τῶν γυναικῶν ἀκόλαστοι πρὸς τὴν ὁμιλίαν τὴν τῶν ἀφροδισίων εἰσὶν, ὅταν τοῖς τόκοις χρήσωνται πολλοῖς. Μετὰ δὲ τὰ τρὶς ἑπτὰ ἔτη, αἱ μὲν γυναῖκες πρὸς τὰς τεκνογονίας ἤδη εὐκαίρως ἔχουσιν· οἱ δ' ἄνδρες ἔτι ἔχουσιν ἐπίδοσιν.

ſoit à l'écoulement périodique : or, ſi cette ſecrétion débarraſſe le corps de particules ſuperflues, il acquierra de la ſanté & de l'embonpoint, étant délivré des obſtacles qui l'empêchoient de profiter & de prendre une bonne conſtitution ; le réſultat ſera oppoſé, ſi les parties qui ſe diſſipent par les voies qui viennent de s'ouvrir, étoient néceſſaires à la ſanté de l'individu.

Il y a des différences à obſerver dans les mamelles des filles ; les unes les ont beaucoup plus fortes que d'autres. L'ordinaire eſt que celles dont le corps a abondé dans l'enfance en particules ſuperflues, ayent les mamelles plus amples, parce que les parties humides qui ſe trouvoient en plus grande quantité chez elles, ont été forcées, à l'approche des menſtrues, & juſqu'à ce que cette voie leur fut ouverte, de ſe porter vers le haut. Elles ont ainſi augmenté les mamelles, & leur ont donné un volume qu'elles ne perdent plus. Les hommes dont le corps eſt humide, peu couvert de poils, & peu fourni de veines ont de même, ſoit dans la jeuneſſe, ſoit dans un âge avancé, les mamelles plus apparentes & plus approchantes, du côté de la forme, de celle des femmes. Elles le ſont davantage encore ſi l'homme eſt brun que s'il eſt blond.

Juſqu'à vingt & un ans la liqueur ſéminale n'eſt point prolifique : elle le devient avec l'âge ; mais les peres ou les meres qui ſont trop jeunes, n'ont que des enfans nains & mal conſtitués. C'eſt une obſervation commune aux autres Animaux, du moins à la plûpart. Les jeunes femmes conçoivent facilement, mais elles ont des accouchemens laborieux : d'ailleurs leur corps demeure ordinairement dans un état d'imperfection ; on a obſervé qu'une femme qui eſt accouchée trois fois ne prend plus aucune croiſſance. Les hommes qui ſe livrent trop aux femmes vieilliſſent plutôt, de même que les femmes qui ont beaucoup d'enfans ; mais la multitude des enfans appaiſe les feux de celles dont le tempérament étoit trop vif. Après vingt & un ans, le tempérament des femmes eſt entiérement formé pour avoir des enfans ; celui des hommes n'a pas encore acquis alors toute ſa perfection.

Ἐςι δὲ τὰ μὲν λεπτὰ τῶν σπερμάτων, ἄγονα· τὰ δὲ χαλαζώδη, γόνιμα, καὶ ἀῤῥενογόνα μᾶλλον· τὰ δὲ λεπτὰ, καὶ μὴ θρομβώδη, θηλυγόνα. Καὶ τοῦ γενείου δὲ τρίχωσις συμβαίνει τοῖς ἄῤῥεσι περὶ τὴν ἡλικίαν ταύτην.

II. Ἡ δὲ τῶν γυναικείων ὁρμὴ γίνεται περὶ φθίνοντας τοὺς μῆνας·
2 διό φασί τινες τῶν σοφιζομένων, καὶ τὴν σελήνην εἶναι θῆλυ, ὅτι ἅμα συμβαίνει ταῖς μὲν ἡ κάθαρσις, τῇ δ' ἡ φθίσις· καὶ μετὰ τὴν κάθαρσιν καὶ τὴν φθίσιν ἡ πλήρωσις ἀμφοῖν. Καὶ ταῖς μὲν συνεχῶς καθ' ἕκαςον ὀλιγάκις τὰ καταμήνια φοιτᾷ, παρὰ μῆνα δὲ τρίτον ταῖς πλείςαις. Ὅσαις μὲν οὖν ὀλίγον χρόνον γίνεται, δύο ἢ τρεῖς ἡμέρας, ἀπαλλάττουσι ῥᾷον· ὅσαις δὲ πολλὰς, χαλεπώτερον· πονοῦσι γὰρ τὰς ἡμέρας ταύτας. Ταῖς μὲν γὰρ ἀθρόα ἡ κάθαρσις γίνεται, ταῖς δὲ κατ' ὀλίγον, τὸ δὲ σῶμα βαρύνεται πάσαις, ἕως ἂν ἐξέλθῃ. Πολλαῖς δὲ καὶ ὅταν ὁρμᾷ τὰ καταμήνια καὶ μέλλῃ ῥήγνυσθαι, πνιγμοὶ γίνονται καὶ ψόφοι ἐν ταῖς ὑςέραις, ἕως ἂν ῥαγῇ. Φύσει μὲν οὖν ἡ σύλληψις γίνεται μετὰ τὴν τούτων ἀπαλλαγὴν ταῖς γυναιξί· καὶ ὅσαις μὴ γίνεται ταῦτα, ὡς ἐπιτοπολὺ ἄτεκνοι διατελοῦσιν. Οὐ μὴν ἀλλὰ καὶ μὴ γινομένων τούτων, ἔνιαι συλλαμβάνουσιν, ὅσαις συναθροίζεται ἰκμὰς τοσαύτη, ὅση ταῖς γεινομέναις ὑπολείπεται μετὰ τὴν κάθαρσιν, ἀλλὰ μὴ ὥςε καὶ θύραζε ἐξιέναι. Καὶ γινομένων ἔτι ἔνιαι συλλαμβάνουσιν· ὕςερον δ' οὐ συλλαμβάνουσιν, ὅσαις εὐθὺς μετὰ τὴν κάθαρσιν αἱ ὑςέραι συμμύουσι. Γίνεται δ' ἐνίαις καὶ κυούσαις διὰ τέλους τὰ γυναικεῖα· συμβαίνει μέντοι ταύταις φαῦλα τίκτειν, καὶ ἢ μὴ σώζεσθαι εἰς αὔξην, ἢ ἀσθενῆ τὰ ἔκγονα γίγνεσθαι. Πολλαῖς δὲ καὶ διὰ τὸ δεῖσθαι τῆς συνουσίας, ἢ διὰ τὴν νεότητα καὶ τὴν ἡλικίαν, ἢ διὰ τὸ χρόνον ἀπέχεσθαι πολὺν, καταβαίνουσιν αἱ ὑςέραι κάτω, καὶ τὰ γυναικεῖα γίνεται πολλάκις τρὶς τοῦ μηνὸς, ἕως ἂν συλλάβωσι. Τότε δὲ ἀπέρχονται πάλιν εἰς τὸν ἄνω τόπον τὸν οἰκεῖον. Ἐνίοτε δὲ, κἂν τἄλλα

La qualité da la liqueur séminale n'est pas toujours la même. Elle n'est point féconde si elle est trop claire ; elle est féconde & elle donne plutôt des enfans mâles lorsqu'elle est composée de globules ressemblans à des grains de grêle ; claire & sans globules elle ne produit que des filles. Au même âge dont nous parlons, le menton des jeunes hommes commence à se couvrir de barbe.

Le retour des écoulemens périodiques vient à la fin des mois. D'après II.
cette observation, on a imaginé qu'il y auroit de l'esprit à dire que la lune 2.
étoit un animal femelle, parce que les menstrues des femmes & le décours de la lune arrivent dans le même tems, & qu'elles reparent aussi leurs pertes dans le même tems. Peu de femmes ont leurs écoulemens périodiques chaque mois exactement; la plûpart ne les ont qu'après un mois d'intervalle. Lorsque la durée de cette évacuation est courte, de deux ou trois jours par exemple, les femmes la supportent sans trop d'incommodité ; il en est autrement lorsque sa durée est plus longue, car elles souffrent tant qu'elle subsiste. Chez les premieres, l'écoulement se fait en quantité à la fois, chez les autres il ne se fait que peu à peu : mais toutes éprouvent des pésanteurs jusqu'à ce qu'il soit cessé. Ses approches occasionnent chez beaucoup de femmes des étranglemens à la matrice ; il s'y fait des bruits qui ne cessent que par l'éruption ordinaire. Le moment de concevoir est naturellement dans les tems qui suivent la cessation des regles, & il est rare que les femmes qui n'ont pas leurs regles soient fécondes ; cependant on a vu des exemples contraires : & le fait peut réellement arriver lorsque la matiere de ces évacuations, sans être assez abondante chez une femme pour se produire au dehors, s'y trouve néanmoins en quantité égale à ce qui reste chez les autres femmes, après que l'évacuation est cessée. Quelques femmes conçoivent pendant le tems de leurs regles, & même celles dont l'orifice de la matrice se ferme aussi-tôt après la cessation du flux menstruel, ne sauroient concevoir dans un autre tems. Il y a des femmes qui continuent à avoir leurs regles quoiqu'elles soient enceintes : mais leur fruit est chétif : leurs enfans ou ne vivent point, ou sont délicats & sans force. Souvent le besoin de la compagnie de l'homme, effet ou de l'âge, ou d'une longue privation, occasionne dans les femmes le déplacement de la matrice ; elle descend, & il n'est pas rare de voir alors les écoulemens ordinaires reparoître jusqu'à trois fois dans le mois. Elles demeurent en cet état jusqu'à ce qu'elles ayent conçu : alors la matrice remonte & reprend sa place. Quelquefois la matrice, quoique bien constituée d'ailleurs, se trouve trop humide ;

μὲν εὖ ἡ ὑστερὰ ἔχουσα, τύχῃ δ' ὑγρὰ οὖσα, ἀποφυσᾷ τοῦ σπέρματος τὸ ὑγρότερον.

Πάντων δὲ τῶν ζώων, ὥσπερ εἴρηται καὶ πρότερον, ταῖς γυναιξὶ μᾶλλον τῶν ἄλλων θηλειῶν, ἡ κάθαρσις γίνεται πλείστη. Τοῖς μὲν γὰρ μὴ ζωοτοκοῦσιν, οὐδὲν τοιοῦτον ἐπισημαίνει, διὰ τὸ τὴν περίττωσιν ταύτην τρέπεσθαι εἰς τὸ σῶμα. Μείζω τε γὰρ ἔνια τῶν ἀῤῥένων ἐστί· καὶ ἔτι τοῖς μὲν εἰς φολίδας, τοῖς δὲ εἰς λεπίδας, τοῖς δὲ εἰς τὸ τῶν πτερῶν ἀναλίσκεται πλῆθος· τοῖς δὲ πεζοῖς καὶ ζωοτόκοις εἴς τε τὰς τρίχας καὶ τὸ σῶμα· λεῖον γὰρ ἄνθρωπός ἐστι μόνον· καὶ εἰς τὰ οὖρα. Παχεῖαν γὰρ τὰ πλεῖστα καὶ πολλὴν τὰ τοιαῦτα ποιεῖται τὴν ἔκκρισιν· ταῖς δὲ γυναιξὶν, ἀντὶ τούτων, τρέπεται τὸ περίττωμα εἰς τὴν κάθαρσιν. Ὁμοίως δ' ἔχει τοῦτο καὶ ἐπὶ τῶν ἀῤῥένων· πλεῖστον γὰρ ὡς κατὰ τὸ μέγεθος, ἀφίησι σπέρμα τῶν ἄλλων ζώων ἄνθρωπος· καὶ αὐτῶν δὲ οἱ ὑγρότεροι τὰς φύσεις, καὶ μὴ πολύσαρκοι λίαν, καὶ οἱ λευκότεροι δὲ, τῶν μελάνων. Καὶ ἐπὶ γυναικῶν δὲ τὸν αὐτὸν τρόπον· ταῖς γὰρ εὐσάρκοις πορεύεται εἰς τὴν τροφὴν τοῦ σώματος τὸ πολὺ τῆς ἐκκρίσεως καὶ ἐν ταῖς ὁμιλίαις δὲ τῶν ἀφροδισίων, αἱ λευκότεραι τὴν φύσιν ἐξικμάζουσι μᾶλλον τῶν μελαινῶν. Ποιεῖ δὲ τῆς τροφῆς τὰ ὑγρὰ καὶ δριμέα τοιαύτην τὴν ὁμιλίαν μᾶλλον.

III. Γίνεται δὲ σημεῖον τοῦ συνειληφέναι ταῖς γυναιξὶν, ὅταν
3. εὐθὺς γένηται μετὰ τὴν ὁμιλίαν ὁ τόπος ξηρός. Αν μὲν οὖν λεῖα τὰ χείλη ᾖ τοῦ στόματος, οὐ θέλει συλλαμβάνειν· ἀπολισθαίνει γάρ· οὐδ' ἂν παχέα. Αν δ' ἁπτομένῳ τῷ δακτύλῳ τραχύτερα ᾖ, καὶ ἀντέχηται, καὶ ἂν λεπτὰ τὰ χείλη, τότε εὐκαίρως ἔχει πρὸς τὴν σύλληψιν. Πρὸς μὲν οὖν τὸ συλλαμβάνειν τοιαύτας δεῖ κατασκευάζειν τὰς ὑστέρας· πρὸς δὲ τὸ μὴ συλλαμβάνειν, τοὐναντίον. Αν γὰρ ᾖ λεῖα τὰ χείλη, οὐ συλλαμβάνει· διὸ ἔνιαι, ἵνα τῆς μήτρας πρόσω πίπτῃ τὸ σπέρμα, ἀλείφουσιν ἐλαίῳ

quand

quand elle eſt ainſi diſpoſée, elle rejette les parties les plus humides de la liqueur ſéminale.

De tous les Animaux femelles, on l'a déja fait obſerver, c'eſt la femme qui a les écoulemens périodiques les plus abondans. Il faut d'abord exclure les femelles qui ne ſont point vivipares & qui n'éprouvent rien de ſemblable; les parties ſuperflues qui pourroient y fournir, tournent à l'accroiſſement de leur ſubſtance, & c'eſt ce qui fait que dans quelques eſpeces, les femelles ſont plus grandes que les mâles. Dans d'autres eſpeces, la trop grande abondance de ces parties ſuperflues ſert à former ou les écailles de différentes eſpeces, ou les plumes de l'individu. Chez les Animaux qui marchent ſur la ſurface de la terre & qui ſont vivipares, ces mêmes parties, ou ſe trouvent abſorbées dans la ſubſtance de leur corps, ou ſervent à former leurs poils, ou elles ſe diſſipent par les urines: ce qui eſt cauſe que l'urine de la plupart eſt en effet, plus épaiſſe & plus abondante. L'homme n'étant point velu, ces ſuperfluités prennent une autre voie. Dans les femmes, elles ſont la matiere du flux menſtruel; dans les mâles elles forment la liqueur ſpermatique, plus abondante dans l'homme, eu égard à la grandeur de ſon corps, qu'elle ne l'eſt chez les autres Animaux; ſur-tout dans les hommes d'un tempérament humide, blonds & peu charnus, plutôt que dans ceux qui ſont bruns. Il en eſt de même des femmes; quand elles ſont chargées de chair, le plus grand nombre des parties qui ſeroient compriſes dans les ſecrétions, tournent à la nourriture de leur corps. La liqueur que les femmes répandent dans le moment de la copulation eſt auſſi plus abondante chez les blondes que chez les brunes, & elle s'augmente par l'uſage des alimens piquans & humides.

On connoît qu'une femme a conçu, lorque le vagin ſe ſéche auſſi-tôt III.
après la copulation. Si les levres de la vulve ſont liſſes, la conception eſt 3.
difficile, parce que la liqueur ſpermatique s'écoule: de même lorſqu'elles ſont trop épaiſſes. Elles ſont dans un état convenable lorſqu'elles ſont minces, d'une ſurface un peu inégale & qu'elles ne cédent pas trop facilement. Voilà ce qui eſt néceſſaire pour la conception: un état différent y mettroit obſtacle. Pour remédier aux vices de ces parties, quelques femmes les oignent d'huile de cédre, ou d'une compoſition ſoit de céruſe, ſoit d'encens,

κεδρίνῳ, ἢ ψιμμυθίῳ, ἢ λιβανωτῷ, διέντες ἐλαίῳ. Εὰν δ' ἑπτὰ ἐμμείνῃ ἡμέρας, φανερὸν ὅτι εἴληπται· αἱ γὰρ καλούμεναι ἐκρύσεις, ἐν ταύταις γίνονται ταῖς ἡμέραις. Αἱ δὲ καθάρσεις φοιτῶσι ταῖς πλείσταις ἐπί τινα χρόνον συνειληφυίαις· ἐπὶ μὲν τῶν θηλειῶν τριάκονθ' ἡμέρας μάλιστα, περὶ τετταράκοντα δὲ ἐπὶ τῶν ἀῤῥένων. Καὶ μετὰ τοὺς τόκους δὲ αἱ καθάρσεις βούλονται τὸν αὐτὸν ἀριθμὸν ἀποδιδόναι τούτων· οὐ μὴν ἐξακριβοῦσί γε πάσαις ὁμοίως. Μετὰ δὲ τὴν σύλληψιν καὶ τὰς ἡμέρας τὰς εἰρημένας, οὐκέτι κατὰ φύσιν, ἀλλ' εἰς τοὺς μαστοὺς τρέπεται, καὶ γίνεται γάλα. Επισημαίνει δὲ τὸ πρῶτον μικρόν τε καὶ ἀραχνιῶδες τὸ γάλα ἐν τοῖς μαστοῖς.

Οταν δὲ συλλάβωσιν, αἴσθησις μάλιστα ἐγγίνεται ταῖς λαγόσιν· ἐνίαις γὰρ γίνονται πληρέστεραι εὐθύς· μᾶλλον δ' ἐπιδήλως τοῦτο συμβαίνει ταῖς ἰσχναῖς· καὶ ἐν τοῖς βουβῶσιν. Επὶ μὲν τῶν ἀῤῥένων, ὡς ἐπιτοπολὺ, ἐν τῷ δεξιῷ μᾶλλον, περὶ τὰς τετταράκοντα γίνεται ἡ κίνησις, τῶν δὲ θηλειῶν ἐν τῷ ἀριστερῷ, περὶ ἐννενήκονθ' ἡμέρας. Οὐ μὴν ἀλλ' ἀκρίβειάν γε τούτων οὐδεμίαν ὑποληπτέον· πολλαῖς γὰρ θηλυτοκούσαις, ἡ κίνησις ἐν τῷ δεξιῷ γίνεται, καὶ ταῖς ἐν τῷ ἀριστερῷ ἄῤῥεν· ἀλλὰ καὶ ταῦτα καὶ τὰ τοιαῦτα πάντα, διαφέρει ὡς ἐπιτοπολὺ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. Περὶ δὲ τὸν χρόνον τοῦτον καὶ σχίζεται τὸ κύημα· τὸ δὲ ἔμπροσθεν, ἄναρθρον συνέστηκε κρεῶδες.

Καλοῦνται δὲ ἐκρύσεις μὲν αἱ μέχρι τῶν ἑπτὰ ἡμερῶν διαφθοραί· ἐκτρωσμοὶ δὲ, αἱ μέχρι τῶν τετταράκοντα· καὶ πλεῖστα διαφθείρεται τῶν κυημάτων ἐν ταύταις ταῖς ἡμέραις. Τὸ μὲν οὖν ἄῤῥεν, ὅταν ἐξέλθῃ τετταρακοσταῖον, ἐὰν μὲν εἰς ἄλλό τι ἀφῇ τις, διαχεῖταί τε καὶ ἀφανίζεται· ἐὰν δ' εἰς ψυχρὸν ὕδωρ, συνίσταται οἷον ἐν ὑμένι. Τούτου δὲ διασχισθέντος, φαίνεται τὸ ἔμβρυον τὸ μέγεθος ἡλίκον μύρμηξ τῶν μεγάλων· τά τε μέλη δῆλα, τά τε ἄλλα πάντα, καὶ τὸ αἰδοῖον· καὶ οἱ ὀφθαλμοὶ,

délayé dans l'huile. Si la matrice ne rejette point ce qu'elle a reçu, la grossesse est assurée après sept jours, car c'est dans cet intervalle que paroissent ce qu'on appelle les pertes. La plupart des femmes ont encore leurs régles quelque tems après leur grossesse; ordinairement après trente jours lorsqu'elles portent une fille, & après environ quarante jours lorsqu'elles portent un enfant mâle. Les évacuations qui suivent la couche durent le même nombre de jours : cependant il n'y a point ici de loi précise & générale. Après la conception & la cessation des régles, le sang ne se porte plus où il alloit naturellement, mais il remonte aux mamelles & s'y change en lait, qui ne paroît d'abord qu'en petite quantité & avec la consistance de fils d'araignée.

Les premieres apparences de grossesse se manifestent à la région iliaque & aux aînes. Ces parties paroissent plus pleines, quelquefois fort peu de tems après la conception, sur-tout dans les femmes maigres. D'ordinaire les garçons remuent quarante jours, ou environ, après qu'ils sont conçus, & ils se font sentir plutôt dans le côté droit. Les filles ne remuent qu'après environ quatre-vingt dix jours, & dans le côté gauche. Mais toutes ces observations ne sont pas généralement exactes, & souvent le contraire arrive : d'autres fois on trouve dans tout ceci de la différence soit en plus, soit en moins. A la même époque, les membres du fœtus, qui n'étoit qu'une masse de chair informe, commencent à se distinguer.

Si le fœtus sort avant les sept jours de la conception, on appelle cet accident, une perte. Plus tard, mais avant quarante jours, on dit qu'une femme s'est blessée. Un grand nombre d'enfans périssent dans cet intervalle de la conception au quarantiéme jour. Si l'on jette dans de l'eau froide un fœtus mâle sorti par une fausse couche à quarante jours, il paroît ramassé dans une espece de membrane. En ouvrant la membrane, on y apperçoit l'embryon, qui est de la grandeur d'une fourmi de la grosse espece : on distingue ses membres & toutes ses parties, la verge même. Ses yeux sont

καθάπερ ἐπὶ τῶν ἄλλων ζώων, μέγιστοι. Τὸ δὲ θῆλυ, ὅτι μὲν ἂν διαφθαρῇ ἐντὸς τῶν τριῶν μηνῶν, ἀδιάρθρωτον ὡς ἐπιτοπολὺ φαίνεται· ὅτι δ' ἂν ἐπιλάβῃ τοῦ τετάρτου μηνὸς, γίνεται ἐσχισμένον, καὶ διαταχέως λαμβάνει τὴν ἄλλην διάρθρωσιν. Πᾶσαν μὲν οὖν τὴν τελείωσιν τῶν μορίων βραδύτερον ἀπολαμβάνει τὸ θῆλυ τοῦ ἄῤῥενος, καὶ δεκάμηνα γίνεται μᾶλλον τῶν ἀῤῥένων· ὅταν δὲ γένηται, θᾶττον τὰ θήλεα τῶν ἀῤῥένων καὶ νεότητα καὶ ἀκμὴν λαμβάνει, καὶ γῆρας, καὶ μᾶλλον αἱ χρώμεναι πλείοσι τόκοις, ὥσπερ εἴρηται πρότερον.

IV. Οταν δὲ συλλάβῃ ἡ ὑστέρα τὸ σπέρμα, εὐθὺς συμμύει ταῖς

4. πολλαῖς, μέχρι γένωνται ἑπτὰ μῆνες· τῷ δ' ὀγδόῳ χάσκουσι· καὶ τὸ ἔμβρυον, ἐὰν ᾖ γόνιμον, προκαταβαίνει τῷ ὀγδόῳ μηνί. Τὰ δὲ μὴ γόνιμα, ἀλλ' ἀποπεπνιγμένα, οὔτε προκαταβαίνει κάτω τὰ ἔμβρυα τῷ ὀγδόῳ μηνὶ, οὔτε αἱ ὑστέραι ἐν τῷ χρόνῳ τούτῳ χάσκουσιν· ἀλλὰ σημεῖον ὅτι οὐ γόνιμον, ἐὰν γένηται μὴ συμπεσόντων τῶν εἰρημένων. Μετὰ δὲ τὰς συλλήψεις, αἱ γυναῖκες βαρύνονται τὸ σῶμα πᾶν, καὶ σκότοι πρὸ τῶν ὀμμάτων, καὶ ἐν τῇ κεφαλῇ γίνονται πόνοι. Ταῦτα δὲ ταῖς μὲν θᾶττον καὶ σχεδὸν δεκαταίαις γίνονται, ταῖς δὲ βραδύτερον, ὅπως ἂν τύχωσιν οὖσαι τῷ περιττωματικαὶ εἶναι μᾶλλον καὶ ἧττον. Ετι δὲ ναυτίαι καὶ ἔμετοι λαμβάνουσι τὰς πλείστας, καὶ μάλιστα τὰς τοιαύτας, ὅταν αἵ τε καθάρσεις στῶσι, καὶ μήπω εἰς τοὺς μαστοὺς τετραμμέναι ὦσιν. Ενιαι μὲν οὖν ἀρχόμεναι μᾶλλον πονοῦσι τῶν γυναικῶν, ἔνιαι δ' ὕστερον, ἤδη τοῦ κυήματος ἔχοντος αὔξησιν μᾶλλον. Πολλαῖς δὲ καὶ πολλάκις, καὶ στραγγουρίαι γίνονται τὸ τελευταῖον. Ως μὲν οὖν ἐπιτοπολὺ, ῥᾷον ἀπαλλάττουσιν αἱ τὰ ἄῤῥενα κύουσαι, καὶ μᾶλλον μετ' εὐχροίας διατελοῦσιν· ἐπὶ δὲ τῶν θηλειῶν τοὐναντίον. Αχρούστεραι γὰρ ὡς ἐπιτοπολὺ καὶ βαρύτερον διάγουσι, καὶ πολλαῖς περὶ τὰ σκέλη οἰδήματα καὶ ἐπάρσεις γίνονται τῆς σαρκός. Οὐ μὴν ἀλλ' ἐνίαις γίνονται καὶ τἀναντία τούτων.

proportionnellement trop grands, comme dans les autres Animaux. Dans toute liqueur différente de l'eau froide, le fœtus se dissout & disparoît. Les fœtus femelles qui viennent avant trois mois, n'ont pas ordinairement les membres formés : parvenus au commencement du quatrieme, les cuisses sont séparées ; & après cela le fœtus acquiert promptement sa perfection. Les membres du fœtus femelle ne se formant donc parfaitement qu'avec plus de lenteur que ceux du fœtus mâle, on voit plus de filles naître à dix mois, que de garçons ; mais lorsque les filles sont nées, elles croissent plus promptement, & arrivent à la force de l'âge plutôt que les garçons. Elles vieillissent aussi plus vîte, sur-tout si, comme on l'a déja remarqué, elles ont beaucoup d'enfans.

Dans la plupart des femmes, la matrice se ferme aussi-tôt qu'elles ont conçu, & elle demeure fermée jusqu'au septieme mois révolu. Au huitieme mois elle s'entrebaille, & dans ce même mois le fœtus, s'il doit vivre, descend sur le devant. S'il ne doit pas vivre & s'il est déja suffoqué il ne se déplace point au huitieme mois & la matrice demeure fermée. Lorsque ces événemens ne précédent pas la naissance d'un enfant, c'est un signe qu'il ne vivra point. Les femmes sont sujettes pendant leur grossesse, à des pésanteurs dans tout le corps, à des éblouissemens & à des douleurs de tête. Ces indispositions se font sentir quelquefois plutôt, & vers le dixieme jour de leur grossesse : quelquefois plus tard, selon que leur tempérament abonde plus ou moins en parties superflues. La plupart sont encore sujettes à des nausées & à des vomissemens, sur-tout dans l'intervalle de la cessation de l'écoulement périodique au tems où le sang remonte vers les mamelles. Tantôt c'est au commencement de leur grossesse que les femmes sont plus incommodées ; tantôt plus tard, & lorsque le fœtus a déja acquis une certaine grandeur. Plusieurs ont sur la fin de leur grossesse des écoulemens d'urine involontaires & fréquens. En général celles qui portent un enfant mâle sont moins incommodées de leur état, & elles conservent assez bien leurs couleurs, au lieu que celles qui portent une fille sont ordinairement plus pâles, & sentent plus de pésanteurs. Souvent il leur vient des tumeurs & des enflures aux jambes. Cependant il y a des femmes qui éprouvent le contraire.

IV. 4.

Εἰώθασι δὲ ταῖς κυούσαις αἱ ἐπιθυμίαι γίνεσθαι παντοδαπαὶ, καὶ μεταβάλλειν ὀξέως· ὃ καλοῦσί τινες κισσᾷν· καὶ ἐπὶ τῶν θηλειῶν ὀξύτεραι μὲν αἱ ἐπιθυμίαι, παραγινομένων δὲ, ἧττον δύνανται ἀπολαύειν· ὀλίγαις δέ τισι συμβαίνει βέλτιον ἔχειν τὸ σῶμα κυούσαις· μάλιστα δὲ ἀσῶνται ὅταν ἄρχωνται τὰ παιδία τρίχας ποιεῖν. Αἱ δ᾽ τρίχες, ταῖς μὲν κυούσαις αἱ μὲν συγγενεῖς γίνονται ἐλάττους, καὶ ἐκρέουσιν· ἐν οἷς δὲ μὴ εἰώθασιν ἔχειν τρίχας, ταῦτα δασύνεται μᾶλλον.

Καὶ κίνησιν δ᾽ παρέχεται ἐν τῷ σώματι μᾶλλον ὡς ἐπιτοπολὺ τὸ ἄῤῥεν τοῦ θήλεος, καὶ τίκτεται θᾶττον, τὰ δὲ θήλεα βραδύτερον. Καὶ ὁ πόνος ἐπὶ μὲν τοῖς θήλεσι, συνεχὴς καὶ νωθρότερος· ἐπὶ δὲ τοῖς ἄῤῥεσιν, ὀξὺς μὲν, πολλῷ δὲ χαλεπώτερος. Αἱ δ᾽ πλησιάζουσαι πρὸ τῶν τόκων τοῖς ἀνδράσι, θᾶττον τίκτουσι. Δοκοῦσι δὲ ὠδίνειν αἱ γυναῖκες ἐνίοτε οὐ γινομένης ὠδῖνος· ἀλλὰ διὰ τὸ τὴν κεφαλὴν στρέφειν τὸ ἔμβρυον φαίνεται ὠδῖνος ἀρχὴ τοῦτο γίνεσθαι.

Τὰ μὲν οὖν ἄλλα ζῶα, μοναχῶς ποιεῖται τὴν τοῦ τόκου τελείωσιν· εἷς γὰρ ὥρισται τοῦ τόκου χρόνος πᾶσιν, ἀνθρώπῳ δὲ πολλοὶ, μόνῳ τῶν ζώων. Καὶ γὰρ ἑπτάμηνα, καὶ ὀκτάμηνα καὶ ἐννεάμηνα γίνονται, καὶ δεκάμηνα τὸ πλεῖστον· ἔνιαι δ᾽ ἐπιλαμβάνουσι καὶ τοῦ ἑνδεκάτου μηνός. Οσα μὲν οὖν γίνεται πρότερα τῶν ἑπτὰ μηνῶν, οὐδὲν οὐδαμῇ δύναται ζῆν· τὰ δ᾽ ἑπτάμηνα γόνιμα γίνεται πρῶτον, ἀσθενῆ δὲ τὰ πολλά· διὸ καὶ σπαργανοῦσιν ἐρίοις αὐτά· πολλὰ δὲ καὶ τῶν πόρων ἐνίων ἔχοντα ἀσχίστους, οἷον ὤτων καὶ μυκτήρων, ἀλλ᾽ ἐπαυξανομένοις διαρθροῦται, καὶ βιοῦσι πολλὰ καὶ τῶν τοιούτων. Τὰ δ᾽ ὀκτάμηνα, περὶ μὲν Αἴγυπτον, καὶ ἐν ἐνίοις τόποις, ὅπου εὐέκφοροι αἱ γυναῖκες καὶ φέρουσί τε πολλὰ ῥᾳδίως, καὶ τίκτουσι, καὶ γεννώμενα δύναται ζῆν, κἂν τερατώδη γένηται. Ενταῦθα μὲν οὖν ζῇ τὰ ὀκτάμηνα καὶ ἐκτρέφεται· ἐν δ᾽ τοῖς περὶ τὴν Ελλάδα τόποις ὀλίγα πάμπαν σώζεται,

Les femmes grosses sont sujettes à toutes sortes d'envies pour le manger : elles changent d'appetits d'un moment à l'autre. C'est ce que quelques-uns appellent *faire la pie*. Ces envies sont plus fortes dans les femmes qui sont grosses d'une fille. Leur présente-t-on ce qu'elles vouloient ? A peine peuvent-elles y toucher. Leurs dégoûts augmentent lorsque l'enfant commence à avoir des cheveux. On voit, mais rarement, des femmes qui ne se portent jamais mieux que dans leur grossesse. C'est encore une suite de l'état de grossesse de faire tomber les cheveux & les autres poils que l'on apporte en naissant, tandis que ceux des parties où il n'en vient qu'avec l'âge s'épaississent.

Les garçons remuent plus fréquemment que les filles dans le sein de leur mere, du moins c'est l'ordinaire : & ils viennent plus promptement. Le travail d'une femme qui accouche d'un enfant mâle est vif & cruel : si elle a une fille, le travail est lent & continu. L'accouchement est plus prompt lorsqu'il a été précédé des approches du mari. Quelquefois les femmes s'imaginent faussement sentir des douleurs pour accoucher : c'est l'enfant qui les leur occasionne en se retournant.

Le tems de la gestation des Animaux est limité à une espace fixe ; le terme où ils mettent bas n'est point sujet à variation. L'homme seul naît à différens termes ; il naît à sept mois, à huit, à neuf, à dix : ce dernier terme est le plus ordinaire ; quelquefois la durée de la grossesse entame le onzieme mois. Les enfans nés avant sept mois ne peuvent pas vivre ; à sept mois ils sont viables, mais ordinairement foibles, c'est pourquoi on les enveloppe de laines. Il n'est pas rare de voir dans les enfans qui viennent à cet âge, les oreilles, les narines, & d'autres parties qui devroient être ouvertes, fermées ; mais en croissant ils se développent, & les exemples d'enfans qui vivent quoique nés dans cet état, ne sont pas rares. Les enfans nés à huit mois, peuvent vivre, dans les pays où les femmes, quoiqu'elles portent plusieurs enfans à la fois, ont une grossesse sans accidens & un accouchement facile : telle est l'Egypte ; les enfans qui naissent à huit mois s'y élevent ; on y voit même des enfans vivre quoiqu'ils ayent quelque monstruosité. Dans la Grece & les pays voisins, la plupart périssent ; il en est très-

τὰ δὲ πολλὰ ἀπόλλυται. Καὶ διὰ τὴν ὑπόληψιν, κἂν σωθῇ τι, νομίζουσιν οὐκ ὀκταμήνον εἶναι τὸ γεννημένον, ἀλλὰ λαθεῖν ἑαυτὰς αἱ γυναῖκες συλλαβοῦσαι πρότερον. Πονοῦσι δ' αἱ γυναῖκες μάλιστα τὸν μῆνα τὸν τέταρτον, καὶ τὸν ὄγδοον, καὶ ἐὰν διαφθείρωσι τετάρτῳ ἢ ὀγδόῳ μηνὶ, διαφθείρονται καὶ αὐταὶ ὡς ἐπιτοπολύ· ὥστ' οὐ μόνον τὰ ὀκτάμηνα οὐ ζῇ, ἀλλὰ καὶ διαφθειρομένων, αἱ τίκτουσαι κινδυνεύουσι. Τὸν αὐτὸν τρόπον δοκεῖ λανθάνειν καὶ ὅσα φαίνεται τίκτεσθαι πολυχρονιώτερα τῶν ἐνδεχομένων· καὶ γὰρ τούτων ἡ τῆς συλλήψεως ἀρχὴ λανθάνει τὰς γυναῖκας. Πολλάκις γὰρ πνευματικῶν γενομένων ἔμπροσθεν τῶν ὑστερῶν, μετὰ ταῦτα πλησιάσασαι καὶ συλλαβοῦσαι, ἐκείνην οἴονται τὴν ἀρχὴν εἶναι τῆς συλλήψεως, δι' ἣν ἐχρήσαντο τοῖς σεμείοις ὁμοίοις.

Τὸ δὲ δὴ πλῆθος τῶν τόκων τῆς τελειώσεως, παρὰ τἄλλα ζῶα, τοῖς ἀνθρώποις ταύτην ἔχει τὴν διαφοράν· καὶ τῶν μὲν μονοτόκων ὄντων, τῶν δὲ πολυτόκων, ἐπαμφοτερίζει τὸ γένος τὸ τῶν ἀνθρώπων. Τὸ μὲν γὰρ πλεῖστον, καὶ παρὰ τοῖς πλείστοις, ἓν τίκτουσιν αἱ γυναῖκες· πολλάκις δὲ καὶ πολλαχοῦ δίδυμα, οἷον περὶ Αἴγυπτον. Τίκτουσι δὲ καὶ τρία καὶ τέτταρα περὶ ἐνίους μὲν καὶ σφόδρα τόπους, ὥσπερ εἴρηται πρότερον· πλεῖστα δὲ τίκτεται πέντε τὸν ἀριθμόν· ἤδη γὰρ ὦπται τοῦτο καὶ ἐπὶ πλειόνων συμβεβηκός. Μία δέ τις ἐν τέτταρσι τόκοις ἔτεκεν εἴκοσιν· ἀνὰ πέντε γὰρ ἔτεκε, καὶ τὰ πολλὰ αὐτῶν ἐξετράφη. Εν μὲν οὖν τοῖς ἄλλοις ζώοις, κἂν ᾖ τὰ δίδυμα ἄῤῥεν καὶ θῆλυ, οὐδὲν ἧττον ἐκτρέφεται γινόμενα, καὶ σώζεται τῶν ἀῤῥένων ἢ θηλειῶν· ἐν δὲ τοῖς ἀνθρώποις, ὀλίγα σώζεται τῶν διδύμων, ἐὰν ᾖ τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ.

Δέχεται δ' ὀχείαν κύοντα μάλιστα τῶν ζώων γυνὴ καὶ ἵππος· τὰ δ' ἄλλα, ὅταν πληρωθῇ, φεύγει τοὺς ἄῤῥενας, ὅσα μὴ πέφυκεν ἐπικυΐσκεσθαι, καθάπερ δασύπους. Αλλ' ἵππος μὲν, ἂν

peu

peu qui se conservent, & si cela arrive on pense que ce ne sont pas des enfans nés à huit mois, on croit plutôt que leur mere s'est trompée sur l'époque de sa grossesse. Le quatrieme & le huitieme mois de la grossesse sont ceux où les femmes sont plus incommodées, & si le fœtus périt alors, la mere périt ordinairement elle même, de sorte que les accouchemens à huit mois ne sont pas moins dangereux pour la mere, que pour l'enfant qui ne vit pas. L'ignorance de la véritable époque de la grossesse est vraisemblablement encore ce qui fait croire aux femmes qu'elles accouchent à plus d'onze mois. Il n'est pas rare qu'avant le tems où elles deviennent grosses leur matrice se trouve gonflée de vents, & comme elles ont apperçu dès lors des symptômes semblables à ceux de la grossesse, elles reportent ensuite l'origine de leur grossesse à une datte antérieure à celle de son existence.

Le nombre de petits que les Animaux ont d'une même portée est d'un seul dans certaines especes ; de plusieurs dans d'autres especes. L'homme participe de ces différentes especes : c'est encore une observation qui le distingue des autres Animaux. La plûpart des femmes n'accouchent d'ordinaire que d'un enfant ; mais dans plusieurs endroits, en Egypte par exemple, elles ont souvent deux jumeaux. Ailleurs, mais ceci est moins commun, elles ont jusqu'à trois & quatre enfans d'une même couche : je l'ai déja observé. On a vu plusieurs femmes avoir cinq enfans d'une même couche, mais c'est le plus qu'elles en ayent. On cite une femme qui eut vingt enfans en quatre couches, cinq chaque fois, & la plûpart vécurent. Chez les Animaux, la différence de sexe entre les petits qui naissent d'une même portée n'empêche pas que les uns & les autres ne vivent : parmi les hommes il est rare que deux jumeaux vivent lorsqu'ils sont de sexe différent.

Les femelles des Animaux qui ne sont pas susceptibles de superfétation, comme l'est la femelle du dasypode, fuyent le mâle quand elles sont pleines ; au lieu que la femme souffre encore la compagnie de l'homme en cet état,

συλλάβῃ πρῶτον, οὐκ ἐπικυΐσκεται πάλιν, ἀλλ' ἓν τίκτει μόνον ὡς ἐπὶ τὸ πολύ· ἐπ' ἀνθρώπῳ δὲ ὀλίγα μὲν, γέγονε δέ ποτε. Τὰ μὲν οὖν ὕστερον πολλῷ χρόνῳ συλληφθέντα οὐδὲν λαμβάνει τέλος, ἀλλὰ πόνον παρέχοντα συνδιαφθείρει τὸ προϋπάρχον· ἤδη γὰρ συνέβη γενομένης διαφθορᾶς, καὶ δώδεκα ἐκπεσεῖν τὰ ἐπικυηθέντα. Ἐὰν δὲ ἐγγὺς ἡ σύλληψις ἐγένετο, τὸ ἐπικυηθὲν ἐξήνεγκαν, καὶ τίκτουσιν ὥσπερ δίδυμα γόνῳ· καθάπερ καὶ τὸν Ἰφικλέα καὶ τὸν Ἡρακλέα μυθολογοῦσι. Γέγονε γὰρ καὶ τοῦτο φανερόν· μοιχευομένη γάρ τις, τὸ μὲν τῶν τέκνων ἐοικὸς τῷ ἀνδρὶ ἔτεκε, τὸ δὲ τῷ μοιχῷ. Ἤδη δὲ καὶ δίδυμα κύουσά τις, ἐπεκύησε τρίτον· γενομένου δὲ τοῦ χρόνου τοῦ καθήκοντος, τὰ μὲν, τελεόγονα ἔτεκε· τὸ δὲ, πεντάμηνον, καὶ τοῦτ' ἀπέθανεν εὐθύς. Καὶ ἑτέρᾳ δέ τινι συνέβη τεκούσῃ, πρῶτον μὲν ἑπτάμηνον, ὕστερον δὲ δύο τελεόμηνα τεκεῖν· καὶ τούτων, τὸ μὲν ἐτελεύτησε, τὰ δὲ ἐβίωσε. Καὶ ἐκτιτρώσκουσαι δέ τινες, συνέλαβον ἅμα· καὶ τὸ μὲν ἐξέβαλον, τὸ δὲ ἔτεκον.

Ταῖς δὲ πλείσταις, ἐὰν συγγένωνται κυούσαις μετὰ τὸν ὄγδοον μῆνα, περίπλεον μυξῶδες τὸ παιδίον ἐξέρχεται γλισχρότητος. Καὶ τῶν ἐδεσμάτων δὲ τῶν προσφερομένων περίπλεον φαίνεται πολλάκις· καὶ τῷ δαψιλεστέρῳ χρησαμένων ἁλὶ, οὐκ ἔχοντα γίνεται τὰ παιδία ὄνυχας.

V. 6. Τὸ δὲ γάλα τὸ γινόμενον πρότερον τῶν ἑπτὰ μηνῶν, ἄχρηστόν ἐστιν· ἀλλ' ἅμα τά τε παιδία γόνιμα καὶ τὸ γάλα χρήσιμον· τὸ δὲ πρῶτον, καὶ ἁλμυρὸν, ὥσπερ τοῖς προβάτοις.

Μάλιστα δ' ἐν ταῖς κυήσεσι τοῦ οἴνου αἰσθάνονται αἱ πλεῖσται· διαλύονταί τε γὰρ, ἐὰν πίωσι, καὶ ἀδυνατοῦσιν.

7. Ἀρχὴ δὲ ταῖς γυναιξὶ τοῦ τεκνοῦσθαι, καὶ τοῖς ἄρρεσι τοῦ τεκνοῦν, καὶ παῦλα ἀμφοτέροις, τοῖς μὲν ἡ τοῦ σπέρματος πρόεσις, ταῖς δὲ ἡ τῶν καταμηνίων· πλὴν οὔτ' ἀρχομένων γόνιμα εὐθὺς, οὔτ' ἔτι ὀλίγων γιγνομένων καὶ ἀσθενῶν. Ἡλικία δὲ τῆς μὲν ἀρχῆς

cela lui est commun avec la jument, mais les jumens ne sont pas sujettes à la superfétation, & il n'est pas ordinaire qu'elles ayent plus d'un poulain; dans les femmes au contraire, on a des exemples de superfétation : rares néanmoins. Si le second enfant n'a été conçu que long-tems après le premier, il ne sauroit venir à terme, & il occasionne à la mere des douleurs qui font périr ses deux enfans. On a vu dans une fausse couche, sortir jusqu'à douze fœtus conçus par superfétation. Lorsque les deux enfans ont été conçus dans un tems voisin, ils viennent l'un & l'autre à terme, & ils naissent de même que s'ils eussent été jumeaux : c'est ce que les Poëtes racontent de la naissance d'Iphiclée & d'Hercule. On a eu un exemple manifeste d'une semblable superfétation dans une femme qui ayant fait infidélité à son mari, mit au monde deux enfans, dont l'un ressembloit au mari, & l'autre à l'amant. Une autre femme, déja grosse de deux jumeaux, conçut un troisieme enfant; les deux premiers vinrent à terme : le troisieme n'avoit que cinq mois, il mourut en naissant. Une troisieme femme eut d'une même couche, d'abord un enfant de sept mois, ensuite deux enfans qui étoient à terme : ceux-ci vêcurent; le premier mourut. Enfin on a vu des femmes qui étoient sur le point de faire une fausse couche, concevoir par superfétation; le premier enfant qu'elles portoient, avorter; & l'autre venir à terme.

Lorsqu'une femme grosse a eu commerce avec son mari encore après le huitieme mois, on s'en apperçoit ordinairement à la liqueur muqueuse & gluante dont son enfant naît couvert. L'enfant paroît souvent couvert des alimens dont la mere a coutume d'user. Si une femme enceinte mange trop de sel, son enfant naît sans ongles.

Le lait, avant le septieme mois de la grossesse, ne vaut rien : il devient bon dans le tems où l'enfant commence à être viable. Mais ce premier lait est salé comme celui des brebis. V. 6.

La plupart des femmes éprouvent des effets singuliers lorsqu'elles boivent du vin pendant leur grossesse; il les fait tomber en foiblesse & en défaillance.

Le commencement de la fécondité & sa fin sont déterminés dans les hommes par le tems pendant lequel ils ont du sperme; dans les femmes, par la durée du flux menstruel. Cependant les uns & les autres ne sont pas en état d'avoir des enfans, ni dès les premiers tems où les signes de la fécondité 7.

εἴρηται· παύεται δὲ ταῖς γυναιξὶ, ταῖς μὲν πλείσταις, τὰ καταμήνια περὶ τετταράκοντα ἔτη· αἷς δ' ἂν ὑπερβάλῃ τὸν χρόνον τοῦτον, διαμένει μέχρι τῶν πεντήκοντα ἐτῶν, καὶ ἤδη δέ τινες
VI. ἔτεκον· πλείω δὲ χρόνον οὐδεμία. Οἱ δ' ἄνδρες, οἱ μὲν πλεῖστοι, γεννῶσι μέχρις ἑξήκοντα ἐτῶν. Οταν δὲ ὑπερβάλῃ ταῦτα, μέχρις ἑβδομήκοντα· καὶ ἤδη δέ τινες γεγεννήκασιν ἑβδομήκοντα ἐτῶν ὄντες.

8. Συμβαίνει δὲ πολλοῖς καὶ πολλαῖς γυναιξὶ καὶ ἀνδράσι, μετ' ἀλλήλων μὲν συνεζευγμένοις μὴ δύνασθαι τεκνοποιεῖσθαι, διαζευχθεῖσι δέ. Τὸ δὲ αὐτὸ συμβαίνει καὶ περὶ ἀρρενογονίας καὶ θηλυγονίας. Ενίοτε γὰρ καὶ γυναῖκες καὶ ἄνδρες, μετ' ἀλλήλων μένοντες θηλυγόνοι εἰσι, ἢ ἀρρενογόνοι· διεζευγμένοι δὲ γίνονται τοὐναντίον. Καὶ κατὰ τὴν ἡλικίαν δὲ μεταβάλλουσι· νέοι μὲν γὰρ ὄντες, μετ' ἀλλήλων θήλεα γεννῶσι· πρεσβύτεροι δὲ ἄρρενα· τοῖς δὲ καὶ ἐπὶ τούτων συμβαίνει τοὐναντίον. Καὶ ἐπὶ τοῦ γεννᾷν δὲ ὅλως τὸ αὐτό· νέοις μὲν οὖσιν οὐθὲν γίνεται, πρεσβυτέροις δέ. Οἱ δὲ, τὸ πρῶτον, ὕστερον δὲ γεννῶσιν οὐδέν. Εἰσὶ δὲ καὶ τῶν γυναικῶν τινες αἳ μόλις μὲν συλλαμβάνουσιν, ἐὰν δὲ συλλάβωσιν, ἐκφέρουσιν· αἱ δὲ τοὐναντίον, συλλαμβάνουσι μὲν ῥᾳδίως, οὐ δύνανται δ' ἐκφέρειν. Εἰσὶ δὲ καὶ ἄνδρες θηλυγόνοι, καὶ γυναῖκες ἀρρενογόνοι· οἷον καὶ κατὰ τοῦ Ηρακλέους μυθολογεῖται, ὃς ἐν δύο καὶ ἑβδομήκοντα τέκνοις θυγατέρα μίαν ἐγέννησεν. Αἱ δὲ μὴ δυνάμεναι συλλαμβάνειν, ἐὰν ἢ διὰ θεραπείαν συλλάβωσιν, ἢ δι' ἄλλην τινὰ σύμπτωσιν, ὡς ἐπιτοπολὺ θηλυτοκοῦσι μᾶλλον, ἢ ἀρρενοτοκοῦσι. Πολλοῖς δὲ συμβαίνει καὶ τῶν ἀνδρῶν δυναμένοις γεννᾷν, ὕστερον μὴ δύνασθαι, καὶ πάλιν καθίστασθαι εἰς τὸ αὐτό.

9. Γίνονται δὲ καὶ ἐξ ἀναπήρων ἀνάπηροι· οἷον ἐκ χωλῶν χωλοὶ, καὶ τυφλῶν τυφλοί· καὶ ὅλως τὰ παρὰ φύσιν ἐοικότες πολλάκις, καὶ σημεῖα ἔχοντες συγγενῆ, οἷον φύματα καὶ οὐλά. Ηδη δὲ

paroissent, ni lorsqu'il n'en subsiste plus que de foibles restes. J'ai marqué l'âge auquel la puberté commence ; à l'égard de celui où la fécondité cesse, la plupart des femmes n'ont plus leurs regles à quarante ans. Si elles continuent à les avoir au-delà de cette époque, elles ne cessent plus qu'à cinquante ans : on a même vu des femmes accoucher à cet âge, mais pas plus tard. Les hommes conservent ordinairement la faculté d'engendrer jusqu'à soixante ans ; s'ils ne la perdent pas à cet âge, elle se maintient jusqu'à soixante-dix ans, & l'on a vu des hommes de cet âge devenir peres. VI.

Souvent il arrive que des personnes qui n'avoient pu avoir d'enfans ensemble, en ont l'une & l'autre après leur séparation. De même pour ce qui est d'avoir soit des garçons, soit des filles. Il y a des hommes & des femmes qui n'ayant eu ensemble que des filles ou que des garçons, éprouvent le contraire avec d'autres. L'âge aussi peut amener ce changement. Tels, dont l'union ne produisit d'abord que des filles, ont des garçons dans un âge plus avancé ; quelquefois, c'est le contraire. Les mêmes variations se remarquent par rapport à la faculté d'engendrer en elle-même. Des personnes qui n'avoient point eu d'enfans pendant leur jeunesse, en ont lorsqu'elles sont devenues plus âgées ; d'autres qui en ont eu d'abord, ne peuvent plus dans la suite en avoir. Certaines femmes ne conçoivent que difficilement, mais ne sont point sujettes aux fausses couches ; d'autres conçoivent facilement, mais elles ne portent pas leur fruit à terme. On voit des hommes qui n'ont que des filles, & des femmes qui n'ont que des garçons. Entre soixante-douze enfans que la Fable donne à Hercule, elle ne compte qu'une seule fille. Les femmes stériles qui deviennent fécondes par l'effet ou des remédes, ou de quelque autre révolution, sont plus sujettes à avoir des filles que des garçons. Enfin il n'est pas extraordinaire de voir des hommes qui ont été peres, cesser de pouvoir l'être & recouvrer après cela leur premiere faculté. 8.

De parens qui ont quelque partie du corps de moins, il naît des enfans privés de ces mêmes parties : des enfans boiteux, par exemple, de parens boiteux ; des enfans aveugles, de parens aveugles. En général les enfans naissent avec les défauts ou les signes qui se trouvent contre nature dans le corps de 9.

ἀπέδωκε τῶν τοιούτων τι καὶ διὰ τριῶν· οἷον, ἔχοντός τινος στίγμα ἐν τῷ βραχίονι, ὁ μὲν υἱὸς οὐκ ἐγένετο, ὁ δὲ υἱδοῦς ἔχων ἐν τῷ αὐτῷ τόπῳ συγκεχυμένον μέλαν. Ολίγα μὲν οὖν γίνεται τὰ τοιαῦτα· τὰ δὲ πλεῖστα γίνεται ὁλόκληρα ἐκ κολοβῶν, καὶ οὐδὲν ἀποτέτακται τούτων. Καὶ ἐοικότες δὲ τοῖς γεννήσασιν, ἢ τοῖς ἄνωθεν γονεῦσιν, ὁτὲ δὲ οὐδὲν οὐδενί. Αποδίδωσι δὲ καὶ διὰ πλειόνων γενῶν, οἷον ἐν Σικελίᾳ ἡ τῷ Αἰθίοπι μοιχευθεῖσα. Η μὲν γὰρ θυγάτηρ, ἐγένετο οὐκ Αἰθίοψ, τὸ δὲ ἐκ ταύτης. Καὶ, ὡς μὲν ἐπιτοπολὺ, τὰ θήλεα ἔοικε τῇ μητρὶ μᾶλλον, τὰ δ' ἄῤῥενα τῷ πατρί· γίνεται δὲ καὶ τοὐναντίον, τὰ μὲν θήλεα τῷ πατρὶ, τὰ δ' ἄῤῥενα τῇ μητρί. Καὶ κατὰ μέρη δὲ γίνονται ἐοικότα ἄλλα μέρη ἑκατέρων. Τὰ δὲ δίδυμα ἤδη μὲν ἐγένετο καὶ οὐκ ἐοικότα ἀλλήλοις, τὰ δὲ πλεῖστα, καὶ ὡς ἐπιτοπολὺ, ἐοικότα. Επεὶ καὶ μετὰ τὸν τόκον τὶς ἑβδομαία συγγενομένη καὶ συλλαβοῦσα, ἔτεκε τὸ ὕστερον τῷ προτέρῳ ἐοικὸς, ὥσπερ δίδυμον. Εἰσὶ δὲ καὶ γυναῖκες αἳ ἐοικότα αὑταῖς γεννῶσιν· αἳ δὲ, τῷ ἀνδρί· ὥσπερ ἡ ἐν Φαρσάλῳ ἵππος ἡ Δικαία καλουμένη.

VII. Εν δὲ τῇ τοῦ σπέρματος ἐξόδῳ πρῶτον μὲν ἡγεῖται πνεῦμα·
10. δηλοῖ δὲ ἡ ἔξοδος, ὅτι γίνεται ὑπὸ πνεύματος· οὐδὲν γὰρ ῥιπτεῖται πόῤῥω ἄνευ βίας πνευματικῆς. Οταν δὲ λάβηται τὸ σπέρμα τῆς ὑστέρας καὶ ἐγχρονισθῇ, ὑμὴν περιίσταται. Φαίνεται γὰρ, ὅταν πρὶν διαρθρωθῆναι ἐξέλθῃ, οἷον ᾠὸν ἐν ὑμένι περιεχόμενον, ἀφαιρεθέντος τοῦ ὀστράκου· ὁ δὲ ὑμὴν, φλεβῶν μεστός. Πάντα δὲ καὶ πλωτὰ, καὶ πεζὰ, καὶ πτηνὰ, εἴτε ζωοτοκεῖται ἢ ᾠοτοκεῖται, ὁμοίως γίνεται· πλὴν τὸν ὀμφαλὸν τὰ μὲν πρὸς τὴν ὑστέραν ἔχει ζωοτοκούμενα· τὰ δὲ πρὸς τῷ ᾠῷ· τὰ δ' ἀμφοτέρως, οἷον ἐπὶ γένους τινὸς ἰχθύων. Καὶ τὰ μὲν περιέχουσιν οἷον ὑμένες, τὰ δὲ χορίῳ περιέχονται· καὶ πρῶτον μὲν τοῦ ἐσχάτου χορίου ἐντὸς γίνεται τὸ ζῶον, εἶθ' ὑμὴν περὶ τοῦτο ἄλλος,

leurs parens, tels que des verrues & des taches. On a vu ces traits de ressemblance ne reparoître qu'après avoir cessé dans un degré intermédiaire. Un homme avoit une marque au bras, son fils ne l'eut point, mais son petit fils eut à la même place une tache noire. Au reste, ces observations ne se réalisent que rarement, & le plus souvent les enfans naissent avec tous leurs membres, quoique ceux qui leur ont donné le jour ne les ayent pas, ensorte qu'il n'y a sur ce point aucune regle certaine. Les enfans ressemblent quelquefois à leurs pere & mere, quelquefois à leurs ayeux, quelquefois ils ne ressemblent ni aux uns ni aux autres. Ailleurs, la ressemblance ne se montre qu'après plusieurs générations intermédiaires. En Sicile, une femme eut d'un noir, une fille qui se trouva blanche, mais l'enfant de cette fille fut noir comme son ayeul. D'ordinaire les filles ressemblent plus à leur mere, & les garçons à leur pere; mais on voit aussi au contraire des filles ressembler à leur pere, & des garçons ressembler à leur mere : quelquefois les enfans ressemblent, par différentes parties, à tous deux. La plupart des jumeaux se ressemblent, mais cette remarque a encore ses exceptions. Une femme devint grosse sept jours après être accouchée : il y eut entre ses enfans la même ressemblance que s'ils eussent été jumeaux. Il y a des femmes dont tous les enfans leur ressemblent à elles-mêmes; d'autres qui donnent des enfans ressemblans à leur pere. Cette jument de Pharsale qu'on appelloit *Dicæa*, faisoit tous ses poulains ressemblans au mâle qui les avoit produits.

L'émission de la liqueur spermatique est accompagnée d'un souffle, & ce VII.
qui prouve que sans ce souffle l'émission n'auroit point lieu, c'est qu'on ne 10.
sauroit faire effort pour pousser quelque chose au loin, sans jetter un souffle. La liqueur spermatique, reçue dans la matrice & y séjournant, s'enveloppe d'une membrane. On le voit lorsqu'une femme avorte avant que le fœtus soit formé : ce qu'elle rejette à l'apparence d'un œuf enveloppé de sa membrane, mais privé de sa coquille & cette membrane est semée de veines. Les Animaux, de quelque classe qu'ils soient, ceux qui nagent, ceux qui marchent sur la surface de la terre, ceux qui volent : ceux qui viennent d'un œuf, comme ceux qui sortent vivans du sein de leur mere : tous se forment de la même maniere, avec cette seule différence que dans les vivipares l'ombilic est adhérent à la matrice, au lieu que dans les ovipares il est adhérent à l'œuf; quelquefois aussi il est adhérent à l'un & l'autre, comme dans un certain genre de poissons. Les fœtus des ovipares sont enveloppés de membranes : les autres de ce qu'on appelle le chorion. Le fœtus se forme en dedans

τὸ μὲν πλεῖστον προσπεφυκὼς τῇ μήτρᾳ, τῇ δ' ἀφεστὼς καὶ ὕδωρ ἔχων. Μεταξὺ δὲ ὑγρότης ὑδατώδης, αἱματώδης, ὁ καλούμενος ὑπὸ τῶν γυναικῶν πρόφορος.

VIII. Αὐξάνεται δὲ τὰ ζῶα πάντα, ὅσα ἔχει ὀμφαλὸν, διὰ τοῦ ὀμφαλοῦ. Ὁ δ' ὀμφαλὸς, ὅσα μὲν κοτυληδόνας ἔχει, πρὸς τῇ κοτυληδόνι προσπέφυκεν· ὅσα δὲ λείαν ἔχει τὴν ὑστέραν, πρὸς τῇ ὑστέρᾳ ἐπὶ φλεβός. Σχῆμα δὲ ἔχει ἐν τῇ ὑστέρᾳ, τὰ μὲν τετράποδα πάντα ἐκτεταμένα· καὶ τὰ ἄποδα πλάγια, οἷον ἰχθύς· τὰ δὲ δίποδα, συγκεκαμμένα, οἷον ὄρνις· καὶ ἄνθρωπος συγκεκαμμένος, ῥῖνα μὲν μεταξὺ τῶν γονάτων, ὀφθαλμοὺς δ' ἐπὶ τοῖς γόνασιν, ὦτα δ' ἐκτός. Ἔχει δ' ὁμοίως πάντα τὰ ζῶα τὴν κεφαλὴν ἄνω τὸ πρῶτον· αὐξανόμενα δὲ, καὶ πρὸς τὴν ἔξοδον ὁρμῶντα, κάτω περιάγεται. Καὶ ἡ γένεσίς ἐστιν ἡ κατὰ φύσιν, πᾶσιν ἐπὶ κεφαλήν· συγκεκαμμένα δὲ, καὶ ἐπὶ πόδας γίνεται παρὰ φύσιν. Τὰ δὲ τῶν τετραπόδων, ἔχει καὶ περιττώματα, ὅταν ἤδη τέλεια ᾖ, καὶ ὑγρὸν, καὶ σφυράδας· τὰς μὲν ἐν τῷ ἐσχάτῳ τοῦ ἐντέρου· ἐν δὲ τῇ κύστει, οὖρον. Τοῖς δ' ἔχουσι κοτυληδόνας ἐν τῇ μήτρᾳ τῶν ζώων, ἀεὶ ἐλάττους γίνονται αἱ κοτυληδόνες, αὐξανομένου τοῦ ἐμβρύου, καὶ τέλος ἀφανίζονται.

Ὁ δὲ ὀμφαλός ἐστι κέλυφος περὶ φλέβας, ὧν ἡ ἀρχὴ ἐκ τῆς ὑστέρας ἐστί· τοῖς μὲν οὖν ἔχουσι τὰς κοτυληδόνας, ἐκ τῶν κοτυληδόνων· τοῖς δὲ μὴ ἔχουσιν, ἀπὸ φλεβός. Εἰσὶ δὲ τοῖς μὲν μείζοσιν, οἷον τοῖς τῶν βοῶν ἐμβρύοις, τέτταρες αἱ φλέβες· τοῖς δ' ἐλάττοσι δύο· τοῖς δὲ πάμπαν μικροῖς, οἷον ὄρνισι, μία φλέψ. Τείνουσι δ' εἰς τὰ ἔμβρυα, αἱ μὲν δύο διὰ τοῦ ἥπατος, ᾗ αἱ καλούμεναι πύλαι εἰσὶ, αἱ πρὸς τὴν φλέβα τὴν μεγάλην· αἱ δὲ δύο πρὸς τὴν ἀορτὴν, ᾗ σχίζεται καὶ γίνεται ἡ ἀορτὴ δύο ἐκ μιᾶς. Εἰσὶ δὲ περὶ τὴν συζυγίαν ἑκατέραν τῶν φλεβῶν ὑμένες· περὶ δὲ τοὺς ὑμένας ὁ ὀμφαλὸς, οἷον ἔλυτρον· αὐξανομένων δ' ἀεὶ μᾶλλον συμπίπτουσιν αἱ φλέβες. Τὸ δ' ἔμβρυον ἁδρυνόμενον,

du second chorion, lequel est enveloppé par le premier. Celui-ci est, pour la plus grande partie, adhérent à la matrice, mais le surplus en est détaché & il contient de l'eau. L'espace entre les deux chorions est rempli par une liqueur aqueuse & sanguinolente, que les femmes appellent les prémices.

Le fœtus prend sa nourriture par l'ombilic, dans tous les Animaux qui ont cette partie. Quand la matrice est semée de cavités, c'est à ces petites cavités que l'ombilic est adhérent; si la matrice est lisse, l'ombilic y est adhérent par le moyen d'une veine. La situation du fœtus dans la matrice est, pour les quadrupedes, d'être étendus; les Animaux sans pieds, les poissons par exemple, y sont de côté; les Animaux à deux pieds, comme les oiseaux, y sont repliés sur eux-mêmes. Cette derniere situation est aussi celle du fœtus humain. Il a le nez entre les genoux, les yeux sur les genoux, & les oreilles en dehors. Chez tous les Animaux, le fœtus a d'abord la tête en haut; après qu'il a pris sa croissance, & lorsqu'il se dispose à sortir, la tête se tourne vers le bas. L'ordre de la nature est pour tous les Animaux, que la tête sorte la premiere; il est contre cet ordre que l'animal naisse replié sur lui-même, ou qu'il vienne par les pieds. Lorsque les fœtus des quadrupedes sont entiérement formés, on trouve dans leur corps des excrémens secs, & des excrémens liquides; ceux-là dans le dernier des intestins, les autres dans la vessie. Les cavités de la matrice, dans les Animaux où il se trouve de ces cavités, vont toujours en diminuant à mesure que le fœtus croît, & elles finissent par s'obliterer entiérement. VIII.

Le nombril est comme l'étui de plusieurs veines dont le principe naît de la matrice, soit des cavités de cet organe, quand il a des cavités; soit d'une autre veine, quand la matrice n'a point de cavités. Les fœtus des gros Animaux, tels que les bœufs, ont quatre veines; les petits en ont seulement deux; dans les Animaux plus petits encore, comme les oiseaux, il n'y en a qu'une seule. Ces veines entrent dans le corps du fœtus; deux traversent le foie à la partie que l'on nomme les portes, & vont auprès de la grande veine; les deux autres vont auprès de l'aorte, au point où se divisant elle forme deux branches. A l'endroit où ces deux paires de veines se réunissent, il se trouve des membranes, & autour est le nombril qui en est comme l'étui. Leurs parois s'unissent de plus en plus à mesure que le fœtus augmente. Quand il est parvenu au terme de sa grandeur, il vient sur le devant du ventre où son

εἴς τε τὰ κοῖλα ἔρχεται, καὶ ἐνταῦθα δῆλόν ἐστι κινούμενον, καὶ ἐνίοτε κυλινδεῖται περὶ τὸ αἰδοῖον.

IX. 11. Οταν δὲ ὠδίνωσιν αἱ γυναῖκες, εἰς πολλὰ μὲν καὶ ἄλλα ἀποστηρίζονται αὐταῖς οἱ πόνοι· ταῖς δὲ πλείσταις εἰς ὁπότερον ἂν τύχῃ τῶν μηρῶν. Οσαις δ' ἂν περὶ τὴν κοιλίαν σφοδρότατοι γίνονται πόνοι, αὗται τάχιστα τίκτουσιν, καὶ ὅσαι μὲν τὴν ὀσφὺν προαλγοῦσι, μόλις τίκτουσιν· ὅσαι δὲ τὸ ἦτρον, ταχύ. Αν μὲν οὖν ἀῤῥενοτοκῇ, προέρχονται οἱ ἰχῶρες ὑδαρεῖς ὕπωχροι· ἐὰν δὲ θηλυτοκῇ, αἱματώδεις, ὑγροὶ δὲ καὶ οὗτοι· ἐνίαις μέντοι συμβαίνει περὶ τὰς ὠδῖνας καὶ οὐδέτερα τούτων.

Τοῖς μὲν οὖν ἄλλοις ζώοις οὐκ ἐπίπονοι γίνονται οἱ τόκοι, ἀλλὰ μετριωτέρως ἐπίδηλά ἐστιν ἐνοχλούμενα ὑπὸ τῆς ὠδῖνος· ταῖς δὲ γυναιξὶ συμβαίνουσιν οἱ πόνοι ἰσχυρότεροι, καὶ μάλιστα ταῖς ἑδραίαις, καὶ ὅσαι μὴ εὔπλευροι, μηδὲ δύνανται τὸ πνεῦμα κατέχειν. Δυστοκοῦσι δὲ μᾶλλον καὶ ἐὰν μεταξὺ ἀποπνεύσωσιν ἀποβιαζόμεναι τῷ πνεύματι. Πρῶτον μὲν οὖν ὕδρωψ ἐξέρχεται γινομένου τοῦ ἐμβρύου, καὶ, ῥηγνυμένων τῶν ὑμένων, ἔπειτα τὸ ἔμβρυον, στρεφομένων μὲν τῶν ὑστερῶν, καὶ τοῦ ὑστέρου τὰ ἔσω ἐκτὸς ἴσχοντος.

X. 12. Καὶ τῆς μαίας ἡ ὀμφαλοτομία, μέρος ἐστὶν οὐκ ἀστόχου διανοίας. Οὐ γὰρ μόνον τὰ περὶ τὰς δυστοκίας τῶν γυναικῶν τῇ εὐχερείᾳ δύνασθαι δεῖ βοηθεῖν, ἀλλὰ καὶ πρὸς τὰ συμβαίνοντα ἀγχίνουν εἶναι, καὶ περὶ τὴν τοῦ ὀμφαλοῦ ἀπόδεσιν τοῖς παιδίοις. Εὰν μὲν γὰρ καὶ τὸ ὕστερον συνεκπέσῃ, ἐρίῳ ἀποδεῖται ἀπὸ τοῦ ὑστέρου ὁ ὀμφαλὸς, καὶ ἀποτέμνεται ἄνωθεν· ᾗ δ' ἀποδεθῇ, συμφύεται· τὸ δὲ συνεχὲς, ἀποπίπτει. Εὰν δὲ λυθῇ τὸ ἅμμα, ἀποθνήσκει, τοῦ αἵματος ἐκρυέντος, τὸ ἔμβρυον. Εὰν δὲ μὴ συνεξέλθῃ εὐθὺς τὸ ὕστερον, ἔσω ὄντος αὐτοῦ, τοῦ παιδίου δὲ ἔξω, ἀποτέμνεται ἀποδεθέντος τοῦ ὀμφαλοῦ. Πολλάκις δὲ ἔδοξε τεθνεὸς τίκτεσθαι τὸ παιδίον, ὅταν ἀσθενικοῦ ὄντος,

mouvement le rend très-sensible, & quelquefois il descend jusques vers les parties de la génération.

Les douleurs qui accompagnent le travail de l'enfantement se fixent dans différentes parties. Chez la plûpart des femmes c'est dans l'une des deux cuisses. Lorsque les douleurs portent fortement vers le ventre, l'accouchement est très-prompt; mais si elles portent vers les reins, il est laborieux. L'accouchement est prompt encore quand les douleurs se font sentir à la région inférieure du ventre. Les eaux qui précédent l'accouchement étant claires & un peu pâles annoncent un garçon; sanguinolentes, mais toujours claires, elles annoncent une fille. Ces observations au reste, ne sont pas tellement constantes que quelquefois ni l'une ni l'autre n'ayent lieu. IX. 11.

Les femelles des autres Animaux n'éprouvent point de douleurs aussi vives; elles semblent se décharger de leurs petits sans beaucoup de peine. Les douleurs que les femmes éprouvent sont très-violentes, particuliérement lorsqu'elles sont sédentaires, ou que n'ayant point la poitrine forte, elles ne sont pas en état de retenir leur respiration. L'accouchement devient plus difficile lorsqu'au moment où elles s'efforcent de retenir leur respiration, la violence de la douleur les oblige de la laisser aller. Nous disons donc que dans l'accouchement, les eaux sortent d'abord, ensuite les membranes se déchirent, puis le fœtus sort. Les membranes se retournent dans cette opération; la partie de l'arriere-faix qui étoit en dedans se trouve en dehors.

L'adresse à couper le cordon ombilical demande de l'intelligence dans la Sage-femme. Outre la dextérité pour aider une femme dans un accouchement laborieux, il faut qu'elles ayent l'esprit présent aux accidens qui peuvent survenir, & qu'elles soient habiles à lier le cordon. Quand l'arriere-faix vient avec l'enfant, on lie le cordon au-dessous de cette masse avec de la laine, & on le coupe au-dessus de la ligature. Les parois se réunissent & se ferment à l'endroit de la ligature; le surplus tombe. Si la ligature se lâche, l'enfant perd son sang & meurt. Lorsque l'arriere-faix ne vient pas avec l'enfant, en ce cas, après que l'enfant est sorti, & avant que l'arriere-faix le soit, on lie le cordon & on le coupe. Souvent un enfant paroît venir mort, parce qu'il est foible, & qu'avant que la ligature du cordon X. 12.

πρὶν ἀποδεθῆναι τὸν ὀμφαλὸν, τὸ αἷμα ἔξω εἰς τὸν ὀμφαλὸν καὶ τὸ πέριξ τύχῃ ἐξεῤῥυηκός. Ἀλλὰ τεχνικαί τινες ἤδη τῶν μαιῶν γενόμεναι, ἀπέθλιψαν εἴσω ἐκ τοῦ ὀμφαλοῦ, καὶ εὐθὺς τὸ παιδίον, ἔξαιμον γενόμενον πρότερον, πάλιν ἀνεβίωσε.

13. Γίνεται δὲ, καθάπερ ἐλέχθη πρότερον, κατὰ φύσιν ἐπὶ κεφαλὴν καὶ τἄλλα ζῶα· τὰ δὲ παιδία, καὶ τὰς χεῖρας παρατεταμένα παρὰ τὰς πλευράς. Ἐξελθόντα δ' εὐθὺς φθέγγεται, καὶ προσάγει πρὸς τὸ στόμα τὰς χεῖρας. Ἀφίησι δὲ καὶ περιττώματα τὰ μὲν εὐθὺς, τὰ δὲ διαταχέων, πάντα δ' ἐν ἡμέρᾳ. Καὶ τοῦτο τὸ περίττωμα πλέον ἢ τοῦ παιδὸς κατὰ μέγεθος, ὃ καλοῦσιν αἱ γυναῖκες μηκώνιον. Χρῶμα δὲ τούτου αἱματῶδες, καὶ σφόδρα μέλαν, καὶ πιττῶδες· μετὰ δὲ τοῦτο, ἤδη γαλακτῶδες. Σπᾷ γὰρ εὐθὺς καὶ τὸν μαστόν.

Πρὶν δ' ἐξελθεῖν οὐ φθέγγεται τὸ παιδίον, οὐ κἂν δυστοκούσης τὴν κεφαλὴν μὲν ὑπερέχῃ, τὸ δ' ὅλον σῶμα ἔχῃ ἐντός.

Ὅσαις δ' ἂν ἐν ταῖς ἀποκαθάρσεσι προεξορμήσωσιν οἱ καθαρμοὶ, δυσαπαλλακτότεραι γίνονται τῶν ἐμβρύων· ἐὰν δὲ αἱ καθάρσεις μετὰ τὸν τόκον ἐλάττους γένωνται, καὶ ὅσων μόνον αἱ πρῶται, καὶ μὴ διατελέσωσιν εἰς τὰς τεσσαράκοντα, ἰσχύουσί τε μᾶλλον αἱ γυναῖκες, καὶ συλλαμβάνουσι θᾶττον.

Τὰ δὲ παιδία ὅταν γένωνται, πρὸ τετταράκοντα ἡμερῶν, ἐγρηγορότα μὲν οὔτε γελᾷ, οὔτε δακρύει, νύκτωρ δ' ἐνίοτε ἄμφω· οὐδὲ κνιζόμενα τὰ πολλὰ αἰσθάνεται. Τὸ δὲ πλεῖστον καθεύδει τοῦ χρόνου· αὐξανόμενον δ' αἰεὶ εἰς τὸ ἐγρηγορέναι μεταβάλλει μᾶλλον· καὶ ἐνυπνιαζόμενον δῆλον μὲν γίνεται, μνημονεύει δ' ὀψὲ τὰς φαντασίας.

Τοῖς μὲν οὖν ἄλλοις ζώοις οὐδεμία διαφορὰ τῶν ὀστῶν, ἀλλὰ πάντα τετελεσμένα γίνεται· τοῖς δὲ παιδίοις τὸ βρέγμα μαλακὸν καὶ ὀψὲ πήγνυται· καὶ τὰ μὲν ἔχοντα γίνεται ὀδόντας, τὰ δὲ παιδία ἑβδόμῳ μηνὶ ἄρχονται ὀδοντοφυεῖν. Φύει δὲ πρῶτον τοὺς

eût faite, le sang se sera perdu le long de ce cordon & des parties qui y communiquent. L'expérience a appris aux Sages-femmes, lors de ces accidens, à ramener le sang du cordon vers le corps de l'enfant : & aussi-tôt cet enfant qui n'avoit plus de sang, reprend vie.

J'ai déja dit que dans l'accouchement naturel, l'enfant présentoit sa tête; 131
& il en est de même des fœtus des autres Animaux. Les enfans viennent les bras étendus le long des côtés. Aussi-tôt qu'ils sont dehors ils crient & portent les mains à la bouche. Ils vuident des excrémens, les uns sur le champ, les autres un peu plus tard, mais tous dans l'espace du premier jour. Les femmes donnent à ces excrémens le nom de *Meconium* : ils sont en plus grande quantité que la grandeur de l'enfant ne sembleroit le comporter. Leur couleur approche de celle du sang, mais d'un sang fort noir; ils sont comme de la poix. Bientôt ils prennent la nature du lait, car l'enfant tire la mamelle si-tôt qu'il est né.

Un enfant ne crie point qu'il ne soit sorti du sein de sa mere, quand même dans un accouchement difficile la tête seroit déja dehors, si le reste du corps n'est pas entiérement dégagé.

Les femmes chez lesquelles la sortie des vuidanges précéde l'accouchement, ont plus de peine à mettre leurs enfans au monde. Si après l'accouchement ces vuidanges sont en petite quantité, abondantes seulement dans les premiers tems, & si elles ne continuent pas à couler les quarante jours, les femmes demeurent plus fortes, & elles conçoivent plus promptement.

Avant le quarantieme jour, l'enfant étant éveillé ne rit ni ne pleure, mais pendant la nuit l'un & l'autre lui arrive quelquefois. La plupart ne sentent point non plus quand on les chatouille. L'enfant nouveau né dort la plus grande partie du tems; à mesure qu'il croît, il demeure plus de tems éveillé; & pendant son sommeil on s'apperçoit qu'il rêve, mais ce n'est que plus tard qu'il se souvient de ses songes.

Dans les autres especes d'Animaux, tous les os de leurs petits sont parfaitement conformés au moment où ils naissent : leurs os ne changent point; au lieu que dans l'espece humaine, la fontanelle des enfans est molle, & ne s'ossifie que tard. Les Animaux ont des dents en naissant ; les enfans ne

ἐμπροσθίους· καὶ τὰ μὲν τοὺς ἄνωθεν πρότερον, τὰ δὲ τοὺς κάτωθεν· πάντα δὲ θᾶττον φύουσιν ὅσων αἱ τίτθαι θερμότερον ἔχουσι τὸ γάλα.

XI. 13. Μετὰ δὲ τοὺς τόκους καὶ τὰς καθάρσεις ταῖς γυναιξὶ τὸ γάλα πληθύνεται, καὶ ἐνίαις ῥέει οὐ μόνον κατὰ τὰς θηλὰς, ἀλλὰ πολλαχῇ τοῦ μαστοῦ, ἐνίαις δὲ καὶ κατὰ τὰς μασχάλας· καὶ διαμένουσιν εἰς τὸν ὕστερον χρόνον στραγγαλίδες, ὅταν μὴ ἐκπεφθῇ μηδὲ ἐξέλθῃ ὑγρότης, ἀλλὰ πληρωθῇ. Ἅπας γὰρ ὁ μαστὸς σομφός ἐστιν οὕτως, ὥστε κἂν ἐν τῷ πόματι λάβωσι τρίχα, πόνος ἐγγίνεται ἐν τοῖς μαστοῖς· ὃ καλοῦσι τρίχιαν· ἕως ἂν ἢ αὐτομάτη ἐξέλθῃ θλιβομένη, ἢ μετὰ τοῦ γάλακτος ἐκθηλασθῇ. Τὸ δὲ γάλα ἔχουσιν, ἕως ἂν συλλάβωσι· τότε δὲ παύεται καὶ σβέννυται, ὁμοίως ἐπ' ἀνθρώπων καὶ τῶν ἄλλων ζωοτόκων καὶ τετραπόδων. Τοῦ γάλακτος δ' ἐξιόντος οὐ γίνονται αἱ καθάρσεις ὡς ἐπιτοπολύ· ἐπειδὴ ἤδη τισὶ θηλαζομέναις ἐγένετο κάθαρσις. Ὅμως δ' ἅμα πολλαχῇ οὐ συμβαίνει ἡ ὁρμὴ τῆς ὑγρότητος· οἷον ταῖς ἐχούσαις αἱμοῤῥοΐδας χείρους αἱ καθάρσεις ἐπιγίνονται· ἐνίαις δὲ καὶ διὰ τῶν ἰσχίων, ὅταν ἀπὸ τῆς ὀσφύος ἐκκριθῇ πρὶν ἐλθεῖν εἰς τὰς ὑστέρας. Καὶ ὅσαις δ' ἂν μὴ γινομένων τῶν καθαρσίων, ἅμα συμπέσῃ ἐμέσαι, οὐθὲν βλάπτονται.

XII. 15. Εἴωθε δὲ τὰ παιδία τὰ πλεῖστα σπασμὸς ἐπιλαμβάνειν, καὶ μᾶλλον τὰ εὐτραφέστερα, καὶ γάλακτι χρώμενα πλείονι, ἢ παχυτέρῳ, καὶ τίτθαις εὐσάρκοις. Βλαβερὸν δὲ πρὸς τὸ πάθος καὶ ὁ οἶνος ὁ μέλας μᾶλλον τοῦ λευκοῦ, καὶ ὁ μὴ ὑδαρὴς, καὶ τὰ πλεῖστα τῶν φυσωδῶν, καὶ ἐὰν ἡ κοιλία στῇ. Τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης· διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες ἤδη μᾶλλον τῇ σωτηρίᾳ. Καὶ ἐν ταῖς πανσελήνοις δὲ μᾶλλον πονοῦσιν. Ἐπικίνδυνον δὲ καὶ ὅσοις τῶν παιδίων οἱ σπασμοὶ ἐκ τοῦ νώτου ἄρχονται.

commencent à en avoir qu'au ſeptieme mois. Celles de devant percent les premieres; quelquefois celles d'en haut d'abord, d'autres fois celles d'en bas. Elles pouſſent toutes plus promptement lorſque les nourrices ont le lait chaud.

Après l'accouchement & les vuidanges qui le ſuivent, le lait devient très-abondant chez les femmes. Quelquefois il leur coule non-ſeulement par le mamellon, mais auſſi par différens endroits de la mamelle, & quelquefois juſques par deſſous les aiſſelles. S'il s'eſt amaſſé dans quelques endroits où il n'ait pu ni ſe cuire ni paſſer au dehors, il y forme des tumeurs. Toute la mamelle eſt un corps ſpongieux, tellement que ſi une femme a avalé un poil en buvant, il lui vient une maladie que l'on nomme le poil, qui ſubſiſte juſqu'à ce que ce corps étranger ait été chaſſé & ſoit ſorti, ou que l'enfant l'ait tiré en tettant. Les femmes conſervent leur lait tant qu'elles ne deviennent pas groſſes : elles le perdent alors comme il arrive auſſi aux quadrupedes vivipares. Ordinairement les femmes n'ont point leurs regles pendant qu'elles nourriſſent : cependant le contraire arrive à quelques-unes. La cauſe de la ſuppreſſion des regles eſt que le même fluide ne s'ouvre pas en même tems pluſieurs paſſages ; ainſi on remarque, que les femmes perdent moins par leurs regles lorſqu'elles ont des hémorrhoïdes : ou lorſque, comme il arrive à quelques-unes, la ſecrétion du ſang ſe faiſant par les reins avant qu'il entre dans la matrice, il ſe perd par les cuiſſes. Les femmes qui n'ont point leurs regles, mais qui vomiſſent, ne ſont pas incommodées de cette ſuppreſſion. XI. 14.

La plupart des enfans ſont ſujets à des convulſions, particuliérement ceux qui ſont bien nourris, qui prennent du lait en trop grande abondance, ou trop épais, & dont les nourrices ont de l'embonpoint. Le vin eſt contraire dans cette maladie : le rouge plus que le blanc, le vin pur plus que celui qui eſt mêlé d'eau, & auſſi la plupart des alimens qui contiennent beaucoup d'air. Il n'eſt pas moins dangereux pour cet état que le ventre ſe trouve reſſerré. La plupart des enfans périſſent avant le ſeptieme jour ; c'eſt pourquoi on ne les nomme qu'après ce tems, parce qu'on ſe regarde alors comme plus aſſuré de leur conſervation. Si les convulſions les prennent pendant la pleine lune, la maladie eſt plus ſérieuſe : & ſi elles partent du dos, la vie de l'enfant eſt en danger. XII. 15.

HISTOIRE DES ANIMAUX.

LIVRE HUITIEME.


Sujet de ce Livre.

Après avoir expliqué la constitution du corps des Animaux & leur reproduction, il restoit à parler de leur maniere de vivre & de leur caractere. Cette derniere partie fait le sujet du neuvieme livre : Aristote expose dans le huitieme la maniere dont les Animaux vivent ; c'est-à-dire d'abord comment ils se nourrissent : ensuite quelles sont les actions communes à tous les individus d'une même espece, telles que leurs voyages d'un climat à un autre, où leur retraite dans des tems marqués ; en troisieme lieu leur état de santé & de maladie ; enfin les influences soit des climats, soit des différens lieux que les Animaux habitent, sur l'état de leur corps.

Ces détails entraînent une multitude de faits & d'observations particulieres : mais ces faits & ces observations sont liés par des principes généraux qui en forment un ensemble & un tout. Est-il question d'abord de la nourriture ? Aristote établit les principes desquels doit dériver la variété dans la nourriture des différens Animaux. S'agit-il ensuite des actions communes à toute l'espece ? Il en montre la cause dans le but auquel l'animal

l'animal tend néceſſairement ; c'eſt ainſi que par tout on admire ſucceſſivement le génie du Philoſophe & les connoiſſances multipliées de l'obſervateur. Les deux derniers Livres de l'Hiſtoire des Animaux ſont ceux où, dans l'une & l'autre partie, Ariſtote paroît le plus digne de notre admiration.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Η.

I. ΤΑ μὲν οὖν περὶ τὴν ἄλλην φύσιν τῶν ζώων καὶ τὴν γένεσιν, τοῦτον ἔχει τὸν τρόπον· αἱ δὲ πράξεις, καὶ οἱ βίοι, κατὰ τὰ ἤθη καὶ τὰς τροφὰς διαφέρουσιν. Ενεστι γὰρ ἐν τοῖς πλείστοις καὶ τῶν ἄλλων ζώων, ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων· ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰς διαφοράς. Καὶ γὰρ ἡμερότης, καὶ ἀγριότης, καὶ πραότης, καὶ χαλεπότης, καὶ ἀνδρία, καὶ δειλία, καὶ φόβοι, καὶ θάῤῥη, καὶ θυμοὶ, καὶ πανουργίαι, καὶ τῆς περὶ τὴν διάνοιαν συνέσεως ἔνεισιν ἐν πολλοῖς αὐτῶν ὁμοιότητες· καθάπερ ἐπὶ τῶν μερῶν ἐλέγομεν. Τὰ μὲν γὰρ τῷ μᾶλλον καὶ ἧττον διαφέρει πρὸς τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος πρὸς πολλὰ τῶν ζώων. Ενια γὰρ τῶν τοιούτων ὑπάρχει μᾶλλον ἐν ἀνθρώπῳ· ἔνια δὲ ἐν τοῖς ἄλλοις ζώοις μᾶλλον· τὰ δὲ τῷ ἀνάλογον διαφέρει. Ως γὰρ ἐν ἀνθρώπῳ τέχνη καὶ σοφία καὶ σύνεσις, οὕτως ἐν ἐνίοις τῶν ζώων ἐστί τις ἑτέρα τοιαύτη φυσικὴ δύναμις. Φανερώτατον δ' ἐστὶ τὸ τοιοῦτον ἐπὶ τὴν τῶν παίδων ἡλικίαν βλέψασιν. Εν τούτοις γὰρ τῶν μὲν ὕστερον ἕξεων ἐσομένων ἔστιν ἰδεῖν, οἷον ἴχνη καὶ σπέρματα· διαφέρει δὲ οὐδὲν, ὡς εἰπεῖν, ἡ ψυχὴ τῆς τῶν θηρίων ψυχῆς κατὰ τὸν χρόνον τοῦτον. Ωστε οὐδὲν ἄλογον, εἰ τὰ μὲν ταυτὰ, τὰ δὲ παραπλήσια, τὰ δ' ἀνάλογον ὑπάρχει τοῖς ζώοις.

Οὕτω δ' ἐκ τῶν ἀψύχων εἰς τὰ ζῶα μεταβαίνει κατὰ μικρὸν ἡ φύσις, ὥστε τῇ συνεχείᾳ λανθάνειν τὸ μεθόριον αὐτῶν, καὶ τὸ μέσον ποτέρων ἐστί. Μετὰ γὰρ τὸ τῶν ἀψύχων γένος, τὸ τῶν φυτῶν πρῶτόν ἐστι· καὶ τούτων ἕτερον πρὸς ἕτερον διαφέρει,



HISTOIRE DES ANIMAUX.

LIVRE HUITIEME.

I. ON a vu quelles différences mettent entre les Animaux la conſtitution de leur corps & la maniere dont ils ſe multiplient. Leurs actions, leur vie, ſont également différentes à raiſon ſoit de leur caractere, ſoit de la nourriture dont ils uſent. Il ſe trouve en effet dans la plupart des bêtes même, des traces de ces affections de l'ame qui ſe montrent dans l'homme d'une maniere plus marquée. On y diſtingue un caractere docile ou ſauvage : la douceur, la férocité, la généroſité, la baſſeſſe, la timidité, la confiance, la colere, la malice, ſont des attributs qui leur conviennent ; on apperçoit même dans pluſieurs, quelque choſe qui reſſemble à la prudence réfléchie de l'homme. On peut appliquer ici ce qui a été dit au ſujet des parties du corps. Certains Animaux comparés à l'homme, différent d'avec lui par excès ou par défaut ; l'homme différe pareillement de pluſieurs Animaux. Tantôt l'homme relativement à quelques-unes de ces qualités, a plus que les bêtes, tantôt c'eſt la bête qui a plus que l'homme : & il y a d'autres points ſur leſquels on ne peut établir entre eux qu'un rapport d'analogie. Comme donc l'homme a en partage l'induſtrie, la raiſon & la prudence, quelques-uns des autres Animaux ont auſſi une ſorte de faculté naturelle, d'un autre genre quoique ſuſceptible de comparaiſon, qui les dirige. Ceci deviendra plus ſenſible ſi l'on conſidere l'homme dans ſon enfance. On y voit comme des indices & des ſemences de ſes habitudes futures, mais dans cet âge ſon ame ne differe en rien, pour ainſi dire, de celle des bêtes. Ce n'eſt donc point aller contre la raiſon de dire qu'il y a entre l'homme & les Animaux des facultés communes, des facultés voiſines, & des facultés analogues.

Le paſſage des êtres inanimés aux Animaux ſe fait dans la nature peu à peu : la continuité des gradations couvre les limites qui ſéparent ces deux claſſes d'êtres, & ſouſtrait à l'œil le point qui les diviſe. Après les êtres inanimés, viennent d'abord les plantes, qui varient en ce que les unes paroiſſent participer

τοῦ μᾶλλον δοκεῖν μετέχειν ζωῆς. Ὅλον δὲ τὸ γένος πρὸς μὲν τἆλλα σώματα φαίνεται σχεδὸν ὥσπερ ἔμψυχον· πρὸς δὲ τὸ ζῷον, ἄψυχον. Ἡ δὲ μετάβασις ἐξ αὐτῶν εἰς τὰ ζῷα, συνεχής ἐστιν, ὥσπερ ἐλέχθη πρότερον. Ἔνια γὰρ τῶν ἐν τῇ θαλάττῃ, διαπορήσειεν ἄν τις πότερον ζῷον ἢ φυτόν ἐστιν. Προσπέφυκε γάρ, καὶ χωριζόμενα πολλὰ διαφθείρεται τῶν τοιούτων· οἷον αἱ μὲν πίνναι προσπεφύκασιν· οἱ δὲ σωλῆνες ἀνασπασθέντες, οὐ δύνανται ζῆν· ὅλως δὲ πᾶν τὸ γένος τῶν ὀστρακοδέρμων φυτοῖς ἔοικε πρὸς τὰ πορευτικὰ τῶν ζώων. Καὶ περὶ αἰσθήσεως, τὰ μὲν αὐτῶν οὐδὲν σημαίνεται· τὰ δ' ἀμυδρῶς. Ἡ δὲ τοῦ σώματος ἐνίων σαρκώδης ἐστὶ φύσις· οἷον τά τε καλούμενα τήθυα, καὶ τὸ τῶν ἀκαλήφων γένος· ὁ δὲ σπόγγος παντελῶς ἔοικε τοῖς φυτοῖς.

Ἀεὶ δὲ κατὰ μικρὰν διαφορὰν ἕτερα πρὸ ἑτέρων ἤδη φαίνεται μᾶλλον ζωὴν ἔχοντα καὶ κίνησιν, καὶ κατὰ τὰς τοῦ βίου δὲ πράξεις τὸν αὐτὸν ἔχει τρόπον. Τῶν γε γὰρ φυτῶν ἔργον οὐδὲν ἄλλο φαίνεται, πλὴν, οἷον αὐτὸ ποιῆσαι πάλιν ἕτερον, ὅσα γίνεται διὰ σπέρματος. Ὁμοίως δὲ καὶ τῶν ζώων· ἐνίων γάρ, παρὰ τὴν γένεσιν, οὐδέν ἐστιν ἄλλο λαβεῖν ἔργον· διόπερ αἱ μὲν τοιαῦται πράξεις κοιναὶ πάντων εἰσί. Προσούσης δὲ αἰσθήσεως ἤδη, περί τε τὴν ὀχείαν, διὰ τὴν ἡδονὴν, διαφέρουσιν αὐτῶν οἱ βίοι, καὶ περὶ τοὺς τόκους καὶ τὰς ἐκτροφὰς τῶν τέκνων. Τὰ μὲν οὖν ἁπλῶς, ὥσπερ φυτὰ, κατὰ τὰς ὥρας ἀποτελεῖ τὴν οἰκείαν γένεσιν· τὰ δὲ καὶ περὶ τὰς τροφὰς ἐκπονεῖται τῶν τέκνων, ὅταν δ' ἀποτελέσῃ, χωρίζονται, καὶ κοινωνίαν οὐδεμίαν ἔτι ποιοῦνται· τὰ δὲ συνετώτερα καὶ κοινωνοῦντα μνήμης ἐπιπλεῖον, καὶ πολιτικωτέροις χρῶνται τοῖς ἀπογόνοις. Ἓν μὲν οὖν μέρος τῆς ζωῆς αἱ περὶ τὴν τεκνοποιίαν εἰσὶ πράξεις αὐτοῖς· ἓν δ' ἕτερον, αἱ περὶ τὴν τροφήν· περὶ γὰρ δύο τούτων, αἵ τε σπουδαὶ τυγχάνουσιν οὖσαι πᾶσαι, καὶ ὁ βίος. Πᾶσαι δὲ τροφαὶ διαφέρουσι μάλιστα κατὰ τὴν ὕλην ἐξ οἵας συνεστήκασιν· ἡ γὰρ αὔξησις

à la vie plus que les autres. Le genre entier des plantes ſemble preſque animé lorſqu'on le compare aux autres corps ; elles paroiſſent inanimées ſi on les compare aux Animaux. Des plantes aux Animaux, le paſſage, ainſi que je l'obſervois, n'eſt point ſubit & bruſque : on trouve dans la mer des corps dont on douteroit ſi ce ſont des Animaux ou des plantes ; ils ſont adhérens à d'autres corps, & beaucoup ne peuvent être ſéparés du corps auquel ils ſont attachés, ſans périr. On a l'exemple des pinnes : elles ſont adhérentes ; & des ſolenes : ils ne peuvent vivre lorſqu'on les a arrachés de leur place. Comparez le genre entier des teſtacées aux Animaux qui ont un mouvement progreſſif, ils ne reſſembleront qu'aux plantes. Dans ce genre même de teſtacées il en eſt qui ne donnent aucun ſigne de ſentiment, d'autres qui n'en donnent que des ſignes obſcurs. Quelques-uns ont un corps d'une ſubſtance charnue, tels que les téthyes & les orties de mer : mais l'éponge reſſemble abſolument aux plantes.

La même dégradation inſenſible qui donne à certains corps plus de vie & de mouvement qu'à d'autres, a lieu pour les fonctions vitales. Les plantes qui ſe reproduiſent par la voie des graines ne manifeſtent qu'une ſeule opération, celle de reproduire un autre corps ſemblable à elles-mêmes : mais il eſt auſſi quelques Animaux dont on ne connoît d'autre œuvre que celle de leur reproduction : auſſi les actes qui ont la reproduction pour objet ſont-ils communs à tous les Animaux : mais enſuite dans des êtres dont la faculté de ſentir eſt plus conſidérable, la vie devient différente à raiſon du plaiſir que ces êtres ont à ſe joindre : elle le devient encore relativement à la naiſſance & à l'éducation de leurs petits. Les uns, ſemblables aux plantes, ſe reproduiſent ſimplement dans une ſaiſon marquée ; d'autres s'occupent de pourvoir à la nourriture de leurs petits, mais les quittent lorſque leur éducation eſt finie, & ne conſervent aucune liaiſon avec eux ; de troiſiemes, plus intelligens, plus participans de ce que nous appellons la mémoire, entretiennent une ſorte de ſociété avec leurs petits. Ainſi une portion de la vie eſt donnée aux actes qui ſe rapportent à la reproduction de l'eſpece, & l'autre portion aux actes qui ſe rapportent à la nourriture de l'individu. Tous les ſoins, toute la vie de l'animal ſe partagent entre ces deux objets. Quant à ſa nourriture, quelle qu'elle ſoit, c'eſt principalement la matiere qui la compoſe qui en fait la variété : car pour l'accroiſſement que le corps en reçoit, il eſt toujours l'effet de la

ἑκάστοις γίνεται κατὰ φύσιν ἐκ τῆς αὐτῆς. Τὸ δὲ κατὰ φύσιν ἡδύ· διώκει δὲ πάντα τὴν κατὰ φύσιν ἡδονήν.

2. Διῄρηνται δὲ κατὰ τοὺς τόπους. Τὰ μὲν γὰρ πεζὰ, τὰ δ᾽ ἔνυδρα τῶν ζώων ἐστί. Διχῶς δὲ λεγομένης ταύτης τῆς διαφορᾶς· τὰ μὲν γὰρ τῷ δέχεσθαι τὸν ἀέρα, τὰ δὲ τῷ τὸ ὕδωρ, λέγεται τὰ μὲν πεζὰ, τὰ δ᾽ ἔνυδρα. Τὰ δ᾽ οὐ δεχόμενα μὲν, πεφυκότα δέ τοι πρὸς τὴν κρᾶσιν τῆς ψύξεως τὴν ἐφ᾽ ἑκατέρου τούτων ἱκανῶς, τὰ μὲν πεζὰ, τὰ δ᾽ ἔνυδρα καλεῖται, οὔτ᾽ ἀναπνέοντα, οὔτε δεχόμενα τὸ ὕδωρ, τῷ δὲ τὴν τροφὴν ποιεῖσθαι καὶ διαγωγὴν ἐν ἑκατέρῳ τούτων. Πολλὰ γὰρ δεχόμενα τὸν ἀέρα, καὶ τοὺς τόκους ἐν τῇ γῇ ποιούμενα, τὴν τροφὴν ἐκ τῶν ἐνύδρων ποιεῖται τόπων, καὶ διατρίβει τὸν πλεῖστον ἐν ὕδατι χρόνον· ἅπερ, ὡς ἔοικεν, ἐπαμφοτερίζει μόνα τῶν ζώων· καὶ γὰρ ὡς πεζὰ
II. καὶ ὡς ἔνυδρά τις ἂν θείη. Τῶν δὲ δεχομένων τὸ ὑγρὸν, οὐδὲν αὐτῶν πεζὸν, οὔδε τὴν τροφὴν ἐκ τῆς γῆς ποιεῖται· τῶν δὲ πεζῶν καὶ δεχομένων τὸν ἀέρα, πολλά. Καὶ τὰ μὲν οὕτως, ὥστε μηδὲ ζῆν δύνασθαι χωριζόμενα τῆς τοῦ ὕδατος φύσεως· οἷον αἵ τε καλούμεναι θαλάττιαι χελῶναι, καὶ κροκόδειλοι, καὶ ἵπποι ποτάμιοι, καὶ φῶκαι· καὶ τῶν ἐλαττόνων ζώων, οἷον αἵ τ᾽ ἐμύδες, καὶ τὸ τῶν βατράχων γένος. Ταῦτα γὰρ ἅπαντα, μὴ διά τινος ἀναπνεύσαντα χρόνου ἀποπνίγεται· καὶ τίκτει δὲ καὶ ἐκτρέφει ἐν τῷ ξηρῷ· διάγει δὲ ἐν τῷ ὑγρῷ.

Περιττότατα δὲ πάντων ὁ δελφὶς ἔχει τῶν ζώων, καὶ εἴ τι ἄλλο τοιοῦτον ἐστὶ, καὶ τῶν ἐνύδρων, καὶ τῶν κητωδῶν ὅσα τοῦτον ἔχει τὸν τρόπον, οἷον φάλαινα, καὶ ὅσα ἄλλα αὐτῶν ἴσχει αὐλόν. Οὐ γὰρ ῥᾴδιον, οὔτε ἔνυδρον μόνον θεῖναι τούτων ἕκαστον, οὔτε πεζὸν, εἰ πεζὰ μὲν τὰ δεχόμενα τὸν ἀέρα θετέον, τὰ δὲ τὸ ὕδωρ ἔνυδρα τὴν φύσιν. Αμφοτέρων γὰρ μετείληφε· καὶ γὰρ τὴν θάλατταν δέχεται καὶ ἀφίησι κατὰ τὸν αὐλὸν, καὶ τὸν ἀέρα τῷ πνεύμονι· τοῦτο γὰρ ἔχουσι τὸ μόριον, καὶ ἀναπνέουσι.

convenance que la nourriture a avec l'animal. Ce qui est conforme à la nature, plaît : & il n'est rien qui ne recherche le plaisir dont sa nature est susceptible.

Le lieu que les Animaux habitent est une nouvelle cause de variétés. Ils sont terrestres ou aquatiques ; mais cette division présente deux sens. Dans le premier, on appelle les Animaux terrestres & aquatiques selon qu'ils respirent l'air, ou qu'ils avalent & rendent l'eau. Dans le second sens, on n'examine plus s'ils respirent l'air ou avalent l'eau : on considere la constitution de leur tempérament, propre à l'un ou à l'autre de ces élémens, & on les appelle terrestres ou aquatiques, non suivant qu'ils respirent l'air ou avalent l'eau, mais suivant qu'ils se nourrissent & habitent ordinairement dans l'air ou dans l'eau. En effet il y a beaucoup d'Animaux qui respirent & qui font leurs petits sur la terre, mais qui tirent leur nourriture de lieux que l'eau couvre, & qui y passent la plus grande partie de leur vie. On peut dire que ce sont les seuls Animaux auxquels le nom d'amphibies convienne parfaitement, parce qu'on peut les mettre également ou dans la classe des Animaux terrestres, ou dans celle des Animaux aquatiques. Parmi les Animaux qui avalent l'eau, il n'en est point qui marche sur la terre, ou qui tire sa nourriture de la terre : c'est dans le nombre de ceux qui habitent sur la terre & qui respirent l'air, qu'on en trouve beaucoup de tels que j'ai dit ; l'eau leur est si nécessaire que privés de cet élément ils ne sauroient vivre. De ce nombre sont les tortues appellées tortues de mer, les crocodiles, les hippopotames, les phoques, & parmi les Animaux moins grands, les *emys* avec les différentes especes de grenouilles. Tous meurent suffoqués s'ils restent un certain tems sans respirer : ils font leurs petits sur la terre & les y élevent, mais ils habitent dans l'eau.

Entre tous les Animaux, il n'en est point d'une constitution aussi extraordinaire que le dauphin & ceux qui peuvent lui ressembler parmi les Animaux aquatiques & cétacées dont la conformation est la même, tels par exemple, que la baleine, & autres qui ont des évents. Il est difficile de placer ces Animaux d'une maniere absolue, soit dans la classe des Animaux aquatiques, soit dans la classe des Animaux terrestres, si l'on entend par animal terrestre celui qui respire l'air, & par animal aquatique celui qui avale & rejette l'eau. Le dauphin participe des uns & des autres ; en même tems qu'il avale l'eau & la rejette par ses évents, il a un poumon où il reçoit l'air, & il respire. C'est ce qui fait que quand il se trouve pris dans les filets

Διὸ καὶ λαμβανόμενος ὁ δελφὶς ἐν τοῖς δικτύοις, ἀποπνίγεται ταχέως, διὰ τὸ μὴ ἀναπνεῖν· καὶ ἔξω δὲ ζῇ πολὺν χρόνον μύζων καὶ στένων, ὥσπερ καὶ τὰ ἄλλα τῶν ἀναπνεόντων ζώων. Ἔτι δὲ καθεύδων ὑπερέχει τὸ ῥύγχος, ὅπως ἀναπνέῃ. Τὰ δ' αὐτάττειν εἰς ἀμφοτέρας τὰς διαιρέσεις ἄτοπον, ὑπεναντίας οὔσας· ἀλλ' ἔοικεν εἶναι τὸ ἔνυδρον ἔτι προσδιοριστέον.

Τὰ μὲν γὰρ δέχεται τὸ ὕδωρ καὶ ἀφίησι, διὰ τὴν αὐτὴν αἰτίαν δι' ἥνπερ τὰ ἀναπνέοντα τὸν ἀέρα, καταψύξεως χάριν· τὰ δὲ διὰ τὴν τροφήν. Ἀνάγκη γὰρ ἐν ὑγρῷ λαμβάνοντα ταύτην, καὶ τὸ ὑγρὸν ἅμα δέχεσθαι, καὶ δεχόμενα ὄργανον ἔχειν ᾧ ἐκπέμπει. Τὰ μὲν οὖν ἀνάλογον τῇ ἀναπνοῇ χρώμενα τῷ ὑγρῷ, βράγχια ἔχει· τὰ δὲ διὰ τὴν τροφὴν, αὐλὸν, τῶν ἐναίμων ζώων. Ὁμοίως δὲ τά τε μαλάκια καὶ τὰ μαλακόστρακα· καὶ γὰρ ταῦτα δέχεται τὸ ὑγρὸν διὰ τὴν τροφήν. Ἔνυδρα δέ ἐστι τὸν ἕτερον τρόπον, διὰ τὴν τοῦ σώματος κρᾶσιν καὶ τὸν βίον, ὅσα δέχεται μὲν τὸν ἀέρα, ζῇ δὲ ἐν τῷ ὑγρῷ· πεζὰ δὲ ὅσα δέχεται μὲν τὸ ὑγρὸν καὶ ἔχει βράγχια, πορεύεται δὲ εἰς τὸ ξηρὸν, καὶ λαμβάνει τροφήν. Ἓν δὲ μόνον νῦν ὦπται τοιοῦτον, ὁ καλούμενος κορδύλος· οὗτος γὰρ, πνεύμονα μὲν οὐκ ἔχει, ἀλλὰ βράγχια· πορεύεται δὲ εἰς τὸ ξηρὸν καὶ λαμβάνει τροφήν· τετράπουν δ' ἐστὶν, ὡς καὶ πεζεύειν πεφυκός.

Τούτων δὲ πάντων πέφυκεν ἡ φύσις ὡσπερανεὶ διεστράφθαι, καθάπερ τῶν τε ἀῤῥένων ἔνια γίνεται θηλυκὰ, καὶ τῶν θηλέων ἀῤῥενωπά. Ἐν μικροῖς γὰρ μορίοις λαμβάνοντα τὰ ζῶα διαφορὰν, μέγα διαφέρειν φαίνονται κατὰ τὴν τοῦ ὅλου σώματος φύσιν. Δηλοῖ δὲ ἐπὶ τῶν ἐκτεμνομένων. Μικροῦ γὰρ μορίου πηρωθέντος, εἰς τὸ θῆλυ μεταβάλλει τὸ ζῶον· ὥστε δῆλον ὅτι καὶ ἐν τῇ ἐξ ἀρχῆς συστάσει, ἀκαριαίου τινὸς μεταβάλλοντος τῷ μεγέθει, ἐὰν ᾖ ἀρχοειδὲς, γίνεται τὸ μὲν θῆλυ, τὸ δ' ἄῤῥεν· ὅλως δὲ ἀναιρεθέντος, οὐδέτερον· ὥστε καὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον

il est bientôt suffoqué, faute de pouvoir respirer, & hors de l'eau il vit longtems en soufflant, & en faisant un bruit tel que les autres Animaux qui respirent. On observe aussi que quand le dauphin dort, il met le nez hors de l'eau pour respirer. Cependant comment placer ces Animaux en même tems dans deux classes dont les caracteres sont opposés ? Voyons à déterminer davantage ce qu'on entend par animal aquatique.

Il y a des Animaux qui avalent l'eau & la rejettent pour la même raison qui fait que les Animaux qui respirent, avalent & rejettent l'air : c'est pour se rafraîchir ; il y en a qui l'avalent à cause du genre de nourriture dont ils usent. Comme ils prennent leur nourriture dans l'eau, il est indispensable qu'ils avalent en même tems de l'eau, & par conséquent il leur faut un organe pour la rejetter. Ceux donc des Animaux pour lesquels l'eau est ce que l'air est aux autres, ont des bronches : mais ceux qui avalènt l'eau parce que c'est dans cet élément qu'ils prennent leur nourriture, & qui ont du sang, ont des évents. Il en est de même des mollusques & des crustacées, parce que ce n'est pareillement qu'à l'occasion de leur nourriture qu'ils avalent l'eau. Ces Animaux qui respirent l'air & qui vivent dans l'eau sont donc Animaux aquatiques dans le second sens, je veux dire à cause du tempérament de leur corps & de la maniere dont ils vivent. Les Animaux qui avalent l'eau & qui ont des bronches, mais qui vont chercher leur nourriture à terre, sont Animaux terrestres dans le même sens. Jusqu'à présent on ne connoît qu'un seul animal de cette derniere espece : c'est le cordyle : il n'a point de poumons mais des bronches, & cependant il va à terre, il s'y nourrit, & il a quatre pieds comme étant destiné à marcher sur la terre.

Dans tous ces Animaux la nature est contrariée, si l'on peut parler ainsi. C'est de même qu'on voit des mâles qui ont l'air féminin & des femelles qui ont l'air mâle. Une différence réelle dans de petites parties va faire paroître une différence considérable dans l'ensemble du corps de l'animal. L'effet de la castration en est une preuve. On ne retranche par cette opération qu'une petite partie du corps de l'animal, néanmoins ce retranchement change sa nature, & fait qu'elle se rapproche de celle de l'autre sexe. Ainsi il est sensible qu'au moment de la formation premiere, un rien dont la grandeur varie dans une des parties qui constituent le principe des corps, fera de l'animal une femelle ou un mâle. Ce rien manque-t-il absolument ? l'individu est neutre. C'est donc de la disposition de petites parties que résulte la différence d'animal

εἶναι κατ' ἀμφοτέρους τοὺς τρόπους, ἐν μικροῖς μορίοις γινομένης τῆς μεταβολῆς, συμβαίνει γίνεσθαι τὰ μὲν πεζὰ, τὰ δ' ἔνυδρα τῶν ζώων. Καὶ τὰ μὲν οὐκ ἐπαμφοτερίζει, τὰ δὲ ἐπαμφοτερίζει διὰ τὸ μετέχειν τι τῆς ὕλης ἐν τῇ συστάσει τῆς γενέσεως, ἐξ οἵας ποιεῖται τὴν τροφήν. Προσφιλὲς γὰρ ἑκάστῳ τῶν ζώων, τὸ κατὰ φύσιν, ὥσπερ εἴρηται καὶ πρότερον.

3. Διῃρημένων δὲ τῶν ζώων εἰς τὸ ἔνυδρον καὶ πεζὸν τριχῶς, τῷ δέχεσθαι τὸν ἀέρα ἢ τὸ ὕδωρ, καὶ τῇ κράσει τῶν σωμάτων, τὸ δὲ τρίτον ταῖς τροφαῖς, ἀκολουθοῦσιν οἱ βίοι κατὰ ταύτας τὰς διαιρέσεις. Τὰ μὲν γὰρ κατὰ τὴν κρᾶσιν καὶ τὴν τροφὴν ἀκολουθοῦσιν, καὶ κατὰ τὸ δέχεσθαι τὸ ὕδωρ ἢ τὸν ἀέρα· τὰ δὲ τῇ κράσει, καὶ τοῖς βίοις μόνον.

Τῶν μὲν οὖν ὀστρακοδέρμων ζώων, τὰ μὲν ἀκινητίζοντα τρέφεται τῷ ποτίμῳ. Διηθεῖται γὰρ διὰ τῶν πυκνῶν, διὰ τὸ λεπτότερον εἶναι τῆς θαλάττης συμπεττόμενον, καὶ ὥσπερ τὴν ἐξ ὑπαρχῆς λαμβάνει γένεσιν. Οτι δ' ἐν τῇ θαλάττῃ πότιμόν ἐστι, καὶ τοῦτο διηθεῖσθαι δύναται, φανερόν ἐστιν. Ηδη γὰρ εἰληφέναι τούτου συμβέβηκε πεῖραν. Εὰν γάρ τις κήρινον πλάσας λεπτὸν ἀγγεῖον, καὶ περιδήσας, καθῇ εἰς τὴν θάλασσαν κενὸν, ἐν νυκτὶ καὶ ἡμέρᾳ λαμβάνει ὕδατος πλῆθος· καὶ τοῦτο φαίνεται πότιμον.

Αἱ δὲ ἀκαλῆφαι τρέφονται ὅ τι ἂν προσπέσῃ ἰχθύδιον. Εχει δὲ τὸ στόμα ἐν μέσῳ· δῆλον δὲ τοῦτο μάλιστα ἐστιν ἐπὶ τῶν μεγάλων. Εχει δὲ ὥσπερ τὰ ὄστρεα, ᾗ ὑποχωρεῖ ἔξω ἡ τροφὴ, πόρον· ἔστι δ' αὐτὸς ἄνω. Εοικε γὰρ ἡ ἀκαλήφη ὥσπερ τὸ ἔσω εἶναι τῶν ὀστρέων τὸ σαρκῶδες· τῇ δὲ πέτρᾳ χρῆσθαι ὡς ὀστρέῳ. Καὶ αἱ λεπάδες δὲ ἀπολυόμεναι, μεταχωροῦσι καὶ τρέφονται. Οσα δὲ κινητικὰ, τὰ μὲν ζωοφαγοῦντα τρέφεται τοῖς μικροῖς ἰχθυδίοις, οἷον ἡ πορφύρα· σαρκοφάγον γάρ ἐστι· διὸ καὶ δελεάζεται τοῖς τοιούτοις· τὰ δὲ, καὶ τοῖς ἐν τῇ θαλάττῃ φυομένοις.

terrestre & d'animal aquatique dans les deux sens que j'ai distingués ; & ce qui fait que les uns ne sont point amphibies tandis que les autres le sont, c'est qu'il est entré dans la constitution de ceux-ci, au moment où ils ont été formés, des molécules semblables à celles des substances dont ils se nourrissent : car comme je l'ai remarqué d'abord, l'appétit de chaque animal se dirige vers ce qui est conforme à sa nature.

Disons donc maintenant que les Animaux peuvent être aquatiques ou terrestres de trois manieres : ou a raison de ce qu'ils respirent soit l'air, soit l'eau ; ou à raison de leur tempérament, ou enfin à raison de leur nourriture. Leur maniere de vivre varie selon ces distinctions. Elle n'est pas la même dans ceux qui sont aquatiques & terrestres, en même tems à raison de leur tempérament, à raison de leur nourriture, & à raison de ce qu'ils respirent ou l'air ou l'eau; & dans ceux qui ne le sont qu'à raison de leur tempérament ou de leur nourriture. 3.

Ceux des testacées qui ne se meuvent point, se nourrissent de la partie potable de l'eau de la mer. Une partie de cette eau s'attenue par la coction ; elle devient telle qu'elle fut dans son principe & elle se filtre alors au travers de substances même compactes. On ne sauroit douter de ce fait qu'il y a dans la mer des parties d'eau potable, susceptibles d'être séparées des autres parties. Voici l'expérience qu'on a faite à ce sujet. Formez un vase de cire dont les parois soient minces, & descendez-le, vuide, attaché à une ligne, dans la mer. Après un jour & une nuit vous y trouverez une quantité d'eau bonne à boire.

Les orties de mer se nourrissent de petits poissons qui tombent auprès d'elles. Elles ont la bouche au milieu : il est plus facile de l'appercevoir dans les grandes orties, & elles ont, comme les huîtres, un conduit par lequel le superflu de la nourriture se décharge. Son orifice est à la partie supérieure de l'ortie. L'ortie elle même peut être comparée à ce corps charnu qui forme le dedans de l'huître ; le rocher lui tient lieu de coquille. Les lepas se détachent & vont chercher leur nourriture : ainsi des autres testacées qui se meuvent. S'ils sont carnivores, ils se nourrissent de petits poissons. C'est ce que fait la pourpre ; elle est du nombre des carnivores : aussi l'on se sert de petits poissons pour l'appâter. Les testacées qui ne sont pas carnivores se nourrissent des plantes qui viennent dans la mer.

Αἱ δ' χελῶναι αἱ θαλάτλιαι τά τε κογχύλια νέμονλαι· ἔχουσι γὰρ τὸ στόμα ἰσχυρότερον πάντων. Ὅτου γὰρ ἂν ἐπιλάβηλαι, ἢ λίθου, ἢ ἄλλου ὁτουοῦν, ἀπεσθίει καὶ καλάγνυσι· καὶ ἐξιοῦσα τὴν πόαν νέμελαι. Πονοῦσι δὲ καὶ ἀπόλλυνλαι πολλάκις, ὅταν ἐπιπολάζουσαι ὑπερξηρανθῶσιν ὑπὸ τοῦ ἡλίου. Καλαφέρεσθαι γὰρ οὐ δύνανλαι πάλιν ῥᾳδίως.

4. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ μαλακόστρακα· καὶ γὰρ ταῦτα παμφάγα. Καὶ γὰρ λίθους, καὶ ὕλην, καὶ ἰλὺν, καὶ φύκια νέμελαι, καὶ κόπρον, οἷον οἱ πετραῖοι τῶν καρκίνων, καὶ σαρκοφαγοῦσιν. Οἱ δὲ κάραβοι κρατοῦσι μὲν καὶ τῶν μεγάλων ἰχθύων, καί τις συμβαίνει περιπέτεια τούτων ἐνίοις. Τοὺς μὲν γὰρ καράβους οἱ πολύποδες κρατοῦσιν· ὥστε κἂν ὄντας πλησίον ἐν ταὐτῷ δικτύῳ αἴσθωνλαι, ἀποθνήσκουσιν οἱ κάραβοι διὰ τὸν φόβον· οἱ δ' κάραβοι, τοὺς γόγγρους· διὰ γὰρ τὴν τραχύτηλα οὐκ ἐξολισθαίνουσιν αὐτῶν· οἱ δὲ γόγγροι, τοὺς πολύποδας κατεσθίουσιν· οὐδὲν γὰρ αὐτοῖς διὰ τὴν λειότηλα δύνανλαι χρῆσθαι. Τὰ δ' μαλάκια πάνλα σαρκοφάγα ἐστί. Νέμονλαι δ' οἱ κάραβοι, τὰ ἰχθύδια θηρεύοντες παρὰ τὰς θαλάμας. Καὶ γὰρ ἐν τοῖς πελάγεσιν ἐν τοῖς τοιούτοις γίνονλαι τόποις, οἷοι ἂν ὦσι τραχεῖς καὶ λιθώδεις· ἐν τοιούτοις γὰρ ποιοῦνται τὰς θαλάμας. Καὶ ὅ τι ἂν λάβοι προσάγελαι πρὸς τὸ στόμα τῇ δικρόᾳ χηλῇ, καθάπερ οἱ καρκίνοι. Βαδίζει δὲ καλὰ φύσιν μὲν εἰς τὸ πρόσθεν, ὅταν ἄφοβος ᾖ, καλαβάλλων τὰ κέραλα πλάγια· ὅταν δὲ φοβηθῇ, φεύγει ἀνάπαλιν, καὶ μακρὰν ἐξακονλίζει. Μάχονλαι δὲ πρὸς ἀλλήλους, ὥσπερ οἱ κριοὶ, τοῖς κέρασιν, ἐξαίρονλες καὶ τύπλοντες. Ὁρῶνλαι δ' μετ' ἀλλήλων πολλάκις καὶ ἀθρόοι, ὥσπερ ἀγέλη.

Τὰ μὲν οὖν μαλακόστρακα τοῦτον ζῇ τὸν τρόπον· τῶν δὲ μαλακίων αἱ τευθίδες καὶ αἱ σηπίαι, κραλοῦσι καὶ τῶν μεγάλων ἰχθύων. Οἱ δὲ πολύποδες, μάλιστα τὰ κογχύλια συλλέγονλες καὶ ἐξαιροῦντες τὰ σαρκία, τρέφονλαι τούτοις· διὸ καὶ τοῖς ὀστράκοις

Les tortues de mer mangent jusqu'à des coquillages ; elles ont la bouche plus forte qu'aucun Animal ; quoique ce soit qu'elles saisissent, pierre ou autre objet, elles le brisent & le dévorent. Elles sortent aussi de la mer pour manger l'herbe. Lorsqu'elles nagent sur la surface de l'eau, elles sont sujettes à un accident qui peut les faire périr : le soleil desséche leur écaille : après cela il leur est difficile de plonger.

Les crustacées se nourrissent comme les testacées. Ils mangent également de tout ; des pierres, du bois, de la vase, de l'algue, de la chair, des excrémens même, comme font les cancres de rochers. Les langoustes prennent jusqu'à de gros poissons, & il y a ici, à l'égard de certains Animaux aquatiques, une réciprocité singuliere. Les polypes prennent les langoustes, si bien que quand ils se trouvent ensemble dans un même filet, la peur suffit pour faire mourir la langouste. Les langoustes prennent les congres : il leur est impossible d'échapper à cause des inégalités de ce qui couvre la langouste ; & les congres mangent les polypes qui ne peuvent saisir le congre parce que sa peau est lisse. Les mollusques sont tous canivores. Pour revenir aux langoustes, elles trouvent leur nourriture en courant sur les petits poissons qui passent auprès de leurs retraites : c'est en haute mer, dans des lieux inégaux & pierreux qu'elles les établissent. Lorsqu'elles ont saisi leur proie, elles la portent à la bouche avec leurs pinces, comme font les cancres. Naturellement & lorsqu'elles n'appréhendent rien, les langoustes marchent en avant, en jettant leurs cornes sur le côté : mais lorsqu'elles ont peur, elles fuyent à reculons, & elles étendent leurs cornes en les allongeant. Elles se battent les unes contre les autres, comme les beliers ; elles levent leurs cornes & les abbaissent pour frapper. Il n'est pas rare d'en voir un grand nombre se réunir & former comme un troupeau. 4.

Voilà ce que j'avois à observer sur la nourriture des crustacées. Dans le genre des mollusques, les petits calmars & les séches se rendent maîtres même de gros poissons. Les polypes cherchent sur-tout les coquillages ; ils les ramassent & en tirent la chair pour la manger, c'est pourquoi ceux qui vont

οἱ θηρεύοντες γνωρίζουσι τὰς θαλάμας αὐτῶν· ὃ δὲ λέγουσί τινες, ὡς αὐτὸς αὑτὸν ἐσθίει, ψεῦδός ἐστιν· ἀλλὰ περιεδηδεσμένας ἔχουσιν ἔνιοι τὰς πλεκτάνας ὑπὸ τῶν γόγγρων.

5. Οἱ δὲ ἰχθύες, τοῖς μὲν κυήμασι τρέφονται πάντες, ὅταν οἱ χρόνοι καθήκωσιν οὗτοι· τὴν δ' ἄλλην τροφὴν οὐ τὴν αὐτὴν ποιοῦνται πάντες. Οἱ μὲν γὰρ αὐτῶν εἰσὶ σαρκοφάγοι μόνον, οἷον τά τε σελάχη, καὶ οἱ γόγγροι, καὶ αἱ χάναι, καὶ οἱ θύννοι, καὶ λάβρακες, καὶ σινόδοντες, καὶ ἄμιαι, καὶ ὀρφοὶ, καὶ μύραιναι· αἱ δὲ τρίγλαι φυκίοις τρέφονται, καὶ ὀστρέοις, καὶ βορβόρῳ, καὶ σαρκοφαγοῦσιν· οἱ δὲ κέφαλοι, τῷ βορβόρῳ. Ο δὲ δάσκιλλος τῷ βορβόρῳ καὶ κόπρῳ· σκάρος δὲ καὶ μελάνουρος φυκίοις· ἡ δὲ σάλπη τῇ κόπρῳ καὶ φυκίοις· βόσκεται δὲ καὶ τὸ πράσιον. Θηρεύεται δὲ καὶ κολοκύνθῃ μόνη τῶν ἰχθύων. Αλληλοφαγοῦσι δὲ πάντες μὲν, πλὴν κεστρέως, μάλιστα δὲ οἱ γόγγροι· ὁ δὲ κέφαλος καὶ ὁ κεστρεὺς ὅλως μόνοι οὐ σαρκοφαγοῦσι. Σημεῖον δέ· οὔτε γὰρ ἐν τῇ κοιλίᾳ ποτ' ἔχοντες εἰλημμένοι εἰσὶ τοιοῦτον οὐδὲν, οὔτε δελέατι χρῶνται ζώων σαρξὶ πρὸς αὐτοὺς, ἀλλὰ μάζῃ. Τρέφεται δὲ πᾶς κεστρεὺς φύκει καὶ ἄμμῳ. Εστι δὲ ὁ μὲν κέφαλος ὃν καλοῦσί τινες χειλῶνα, πρόσγειος· ὁ δὲ περαίας, οὔ· βόσκεται δὲ ὁ περαίας μύξαν τὴν ἀφ' αὑτοῦ· διὸ καὶ νῆστίς ἐστιν ἀεί. Οἱ δὲ κέφαλοι νέμονται τὴν ἰλύν· διὸ καὶ βαρεῖς καὶ βλενώδεις εἰσίν· ἰχθῦν δὲ ὅλως οὐκ ἐσθίουσι. Διά τε τὸ ἐν τῇ ἰλύϊ διατρίβειν, ἐξανακολυμβῶσι πολλάκις, ἵνα περιπλύνωνται τὸ βλένος. Τὸν δὲ γόνον αὐτῶν οὐδὲν ἐσθίει τῶν θηρίων, διὸ γίγνονται πολλοί· ἀλλ' ὅταν αὐξηθῶσι, τότε κατεσθίονται ὑπὸ τῶν ἄλλων ἰχθύων, καὶ μάλιστα ὑπὸ τοῦ ἀρχάνου. Λαίμαργος δὲ μάλιστα τῶν ἰχθύων ἐστὶν ὁ κεστρεὺς καὶ ἄπληστος· διὸ ἡ κοιλία περιτείνεται· καὶ ὅταν ᾖ μὴ νῆστις, φαῦλος. Οταν δὲ φοβηθῇ, κρύπτει τὴν κεφαλὴν, ὡς ὅλον τὸ σῶμα κρύπτων. Σαρκοφαγεῖ δὲ καὶ ὁ σινόδων, καὶ τὰ μαλάκια κατεσθίει. Πολλάκις δὲ καὶ οὗτος, καὶ ἡ χάνη, ἐκβάλλουσι τὰς

à la pêche du polype connoissent ses retraites aux coquilles qui sont autour ; mais il est faux que les polypes, comme on le dit, se mangent eux-mêmes. Si on leur voit quelquefois les bras rongés, ce sont les congres qui les leur mangent.

Il est commun à tous les poissons de manger leurs œufs dans la saison où 5a
ils les jettent. Pour les autres nourritures qu'ils prennent, il y a de la variété entre eux. Les uns comme les sélaques, les congres, les serrans, les thons, les loups, les dentales, les bonitons, l'orphus & la murene, ne mangent que de la chair. Les surmulets vivent d'algue d'huîtres & de bourbe, ils mangent aussi de la chair. Les capitons se nourrissent de bourbe. Le dasquille de bourbe & d'excrément. Le scare & le melanure d'algue ; la saupe, d'algue & d'excrément : elle mange aussi du *prasium*, & c'est le seul des poissons que l'on prenne avec de la coloquinte. Les poissons, les congres principalement, se mangent tous les uns les autres ; il faut excepter le muge. Le capiton & le muge sont les seuls qui ne mangent point de chair ; la preuve, c'est que jamais on n'en trouve dans l'estomac de ces poissons, & on ne les appâte point avec de la chair mais avec un morceau de pain. Toutes les especes de muges se nourrissent d'algue & de sable. De deux especes de capitons, celui que quelques-uns appellent la grosse levre se tient auprès des rivages, l'autre que l'on nomme *peræas*, s'en écarte. Celui-ci se nourrit d'une humeur muqueuse qui sort de lui-même, aussi est-il toujours vuide. La nourriture des capitons est la vase, c'est ce qui les rend pesans & sales ; ils ne mangent absolument point de poissons. Comme ils vivent dans la vase, ils en sortent souvent pour s'élever dans l'eau & se laver de l'ordure qui les couvre. Les petits du capiton ne sont dévorés par aucuns des grands poissons, & par cette raison ils multiplient beaucoup, mais lorsqu'ils ont pris leur croissance les autres poissons les mangent, & l'*archanus* sur-tout. Le muge est le plus gourmand & le plus insatiable des poissons : c'est pourquoi son estomac est vaste ; quand il n'est pas à jeun, il ne vaut rien. Lorsque ce poisson a peur, il cache sa tête : il croit que tout son corps est caché. Le dentale est carnivore, il mange les mollusques. Comme les poissons n'ayant point d'œsophage, ont l'estomac très-voisin

κοιλίας, διώκοντες τοὺς ἐλάττους ἰχθύας, διὰ τὸ πρὸς τῷ στόματι τὰς κοιλίας τῶν ἰχθύων εἶναι, καὶ στόμαχον μὴ ἔχειν.

Τὰ μὲν οὖν, ὥσπερ εἴρηται, σαρκοφάγα μόνον ἐστὶν, οἷον δελφὶς καὶ σινόδων, καὶ χρυσόφρυς, καὶ οἱ σελαχώδεις τῶν ἰχθύων, καὶ τὰ μαλάκια· τὰ δὲ ὡς ἐπιτοπολὺ νέμονται μὲν τὸν πηλὸν, καὶ τὸ φῦκος, καὶ τὸ βρύον, καὶ τὸ καλούμενον καυλίον, καὶ τὴν φυομένην ὕλην· οἷον φυκὶς, καὶ κωβιὸς, καὶ οἱ πετραῖοι. Η δὲ φυκὶς ἄλλης μὲν σαρκὸς οὐχ ἅπτεται, τῶν δὲ καρίδων. Πολλάκις δὲ καὶ ἀλλήλων ἅπτονται, καθάπερ εἴρηται, καὶ τῶν ἐλαττόνων οἱ μείζους. Σημεῖον δὲ ὅτι σαρκοφαγοῦσιν· ἁλίσκονται γὰρ τοιούτοις δελέασι. Καὶ ἄμια δὲ, καὶ θύννος, καὶ λάβραξ, τὰ μὲν πολλὰ σαρκοφαγοῦσιν, ἅπτονται δὲ καὶ φυκίων. Ο δὲ σάργος, ἐπινέμεται τὴν τρίγλαν· καὶ ὅταν ἡ τρίγλη κινήσασα τὸν πηλὸν ἀπέλθῃ, δύναται γὰρ ὀρύττειν, ἐπικαταβὰς νέμεται, καὶ τοὺς ἀσθενεστέρους ἑαυτοῦ κωλύει συνεπιβαίνειν. Δοκεῖ δὲ τῶν ἰχθύων καὶ ὁ καλούμενος σκάρος μηρυκάζειν, ὥσπερ τὰ τετράποδα, μόνος.

Τοῖς μὲν οὖν ἄλλοις ἰχθύσιν ἡ θήρα τῶν ἡττόνων καταντικρὺ γίνεται τοῖς στόμασιν, ὅνπερ πεφύκασι τρόπον νεῖν· οἱ δὲ σελαχώδεις, καὶ δελφῖνες, καὶ πάντες οἱ κητώδεις, ὕπτιοι ἀναπίπτοντες λαμβάνουσι. Κάτω γὰρ τὸ στόμα ἔχουσι· διὸ σώζονται μᾶλλον οἱ ἐλάττους. Εἰ δὲ μὴ, πάμπαν ἂν δοκῶσιν ὀλίγοι εἶναι· καὶ γὰρ ἡ τοῦ δελφῖνος ὀξύτης καὶ δύναμις τοῦ φαγεῖν δοκεῖ εἶναι θαυμαστή.

Τῶν δ' ἐγχέλεων τρέφονται μὲν ὀλίγαι τινὲς καὶ ἐνιαχοῦ καὶ τῇ ἰλύϊ, καὶ σιτίοις ἄν τις παραβάλλῃ· αἱ μέντοι πλεῖσται τῷ ποτίμῳ ὕδατι. Καὶ τοῦτο τηροῦσιν οἱ ἐγχελεοτρόφοι, ὅπως ὅτι μάλιστα καθαρὸν ᾖ ἀποῤῥέον ἀεὶ καὶ ἐπιῤῥέον ἐπὶ πλαταμώνων· ἢ κονιῶνται τοὺς ἐγχελεῶνας. Αποπνίγονται γὰρ ταχὺ, ἐὰν μὴ καθαρὸν ᾖ τὸ ὕδωρ· ἔχουσι γὰρ τὰ βραγχία μικρά·

de la bouche; souvent il arrive au dentale & au serran, que, lorsqu'ils poursuivent de petits poissons, l'estomac leur tombe par la bouche.

Reprenons la distinction que j'ai faite entre les poissons. Il y en a qui ne se nourrissent que de chair ; tels sont le dauphin, le dentale, la dorade, les sélaques & les mollusques : d'autres se nourrissent le plus souvent de boue, d'algue, de mousse, de ce qu'on appelle le *caulium*, & des autres plantes marines : tels sont la *phycis*, le goujon, & les poissons saxatiles : la *phycis* ne mange d'autre chair que celle de la squille. Souvent aussi les poissons se mangent les uns les autres ; les grands mangent les petits. La preuve qu'ils se nourrissent de chair, c'est qu'on s'en sert avec succès pour les appâter. Le boniton, le thon, le loup, se nourrissent ordinairement de chair, mais ils mangent aussi de l'algue. Le sarge mange le surmulet : au moment où celui-ci, qui s'enfonce dans la boue, la remue pour en sortir, le sarge se jette sur lui pour le manger, & écarte les autres poissons plus foibles qui voudroient le troubler. De tous les poissons un seul paroît ruminer comme certains quadrupedes, c'est celui qu'on appelle le scare.

Les poissons attrapent les autres poissons plus petits qu'eux en avançant droit sur la même ligne sur laquelle ils nagent & sur laquelle se trouve l'ouverture de leur bouche, mais les sélaques, les dauphins & tous les cétacées ne les attrapent qu'en se renversant, parce qu'ils ont la bouche en dessous ; c'est ce qui donne aux petits poissoins la facilité de se sauver, autrement il en resteroit fort peu, la vîtesse & la voracité du seul dauphin étant surprenantes.

La plupart des anguilles se nourrissent d'eau douce ; il n'y en a que quelques-unes en petit nombre, & en certains endroits seulement, qui vivent de limon & de ce qu'on leur jette. Ceux qui nourrissent des anguilles ont soin pour tenir l'eau du vivier claire, ou d'y entretenir un courant, ou de le sabler. Si l'eau n'est pas claire elles sont bientôt suffoquées, parce que les conduits de leurs bronches sont étroits : voilà pourquoi, lorsqu'on veut prendre des

διόπερ ὅταν θηρεύωσι, ταράττουσι τὸ ὕδωρ. Καὶ αἱ ἐν τῷ Στρυμόνι δὲ περὶ πλειάδα ἁλίσκονται, τότε γὰρ ἀναθολοῦται τὸ ὕδωρ καὶ ὁ πηλὸς ὑπὸ πνευμάτων γινομένων ἐναντίων· εἰ δὲ μὴ, συμφέρει ἡσυχίαν ἔχειν. Αποθανοῦσαι δὲ αἱ ἐγχέλεις οὐκ ἐπιπολάζουσι, οὐδὲ φέρονται ἄνω, ὥσπερ οἱ πλεῖστοι τῶν ἰχθύων. Εχουσι γὰρ τὴν κοιλίαν μικρὰν, δημὸν δὲ ὀλίγαι μὲν ἔχουσιν, αἱ δὲ πλεῖσται οὐκ ἔχουσιν. Εκ δὲ τοῦ ὑγροῦ ἀφαιρούμεναι ἡμέρας καὶ πέντε καὶ ἓξ ζῶσι· καὶ βορείων μὲν ὄντων, πλείους· νοτίων δὲ ἐλάττους. Καὶ μεταβαλλόμεναι τοῦ θέρους εἰς τοὺς ἐγχελεῶνας ἐκ τῶν λιμνῶν, ἀποθνήσκουσι· χειμῶνος δ' οὔ. Καὶ τὰς μεταβολὰς δ' οὐχ ὑπομένουσι τὰς ἰσχυράς, οἷον καὶ τοῦ θέρους ἐὰν βάπτωσιν εἰς ψυχρὸν, ἀπόλλυνται γὰρ ἀθρόαι πολλάκις. Αποπνίγονται δὲ ἐὰν καὶ ὀλίγῳ ὕδατι τρέφωνται. Τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει ἰχθύων· ἀποπνίγονται γὰρ ἐν τῷ αὐτῷ ὕδατι καὶ ὀλίγῳ ἀεὶ ὄντες, ὥσπερ καὶ τὰ ἀναπνέοντα, ἐὰν περιπωμασθῇ ὀλίγος ἀήρ. Ζῶσι δ' ἔνιαι ἐγχέλυες καὶ ἑπτὰ καὶ ὀκτὼ ἔτη.

Τροφῇ δὲ οἱ ποτάμιοι χρῶνται, ἀλλήλους τε ἐσθίοντες, καὶ βοτάνας, καὶ ῥίζας, κἄν τι ἐν τῷ βορβόρῳ λάβωσι. Νέμονται δὲ μᾶλλον τῆς νυκτὸς, τὴν δ' ἡμέραν εἰς τὰ βαθέα ὑποχωροῦσι.

6. Τὰ μὲν οὖν περὶ τὴν τῶν ἰχθύων τροφὴν τοῦτον ἔχει τὸν
III. τρόπον. Τῶν δὲ ὀρνίθων ὅσοι μὲν γαμψώνυχοι σαρκοφάγοι πάντες εἰσί· σῖτον δὲ οὐδ' ἐάν τις ψωμίζῃ, δύνανται καταπιεῖν· οἷον τά τε τῶν ἀετῶν γένη πάντα, καὶ ἰκτῖνοι, καὶ ἱέρακες ἄμφω, ὅ τε φαβοτύπος, καὶ ὁ σπιζίας· διαφέρουσι δὲ τὸ μέγεθος οὗτοι πολὺ ἀλλήλων· καὶ ὁ τριόρχης· ἔστι δ' ὁ τριόρχης τὸ μέγεθος ὅσον ἰκτῖνος, καὶ φαίνεται οὗτος διὰ παντός. Ετι φήνη καὶ γύψ· ἔστι δ' ἡ φήνη, τὸ μὲν μέγεθος ἀετοῦ μείζων, τὸ δὲ χρῶμα σποδοειδές. Τῶν δὲ γυπῶν δύο ἐστὶν εἴδη· ὁ μὲν

anguilles on trouble l'eau, & pourquoi encore on les pêche dans le Strymon au lever des pleïades, parce qu'alors les vents contraires qui agitent l'eau la mêlent avec la bourbe. Dans d'autres tems il seroit inutile de tenter cette pêche. L'anguille morte ne remonte pas sur l'eau & ne surnage pas comme il arrive à la plupart des poissons ; cela vient de ce qu'elle a l'estomac petit, & de ce qu'il est rare qu'elle ait de la graisse. Le plus grand nombre n'en a point. Les anguilles peuvent vivre cinq à six jours hors de l'eau : plus, lorsque le vent du nord souffle ; moins, lorsque c'est le vent du midi. Quand on transporte les anguilles des étangs aux viviers pendant l'été, elles périssent : on les conserve en les transportant l'hiver. En général elles ne peuvent point souffrir de contraste violent, & c'est ce qui fait que si on les plonge dans l'eau froide, lorsqu'il fait chaud, elles meurent ordinairement en foule. Les anguilles sont encore sujettes à être suffoquées lorsqu'on les met dans une trop petite quantité d'eau : ceci leur est commun avec les autres poissons ; ils sont suffoqués également lorsqu'on les laisse dans une petite quantité d'eau sans la changer ; de même les Animaux qui respirent sont suffoqués lorsqu'on les enferme dans un lieu où il y a peu d'air. Il y a des anguilles qui vivent sept & huit ans.

Les poissons de riviere se mangent les uns les autres ; il vivent aussi des herbes, des racines, & en géneral de ce qu'ils peuvent trouver dans la bourbe. C'est principalement la nuit qu'ils prennent leur nourriture ; le jour, ils se retirent dans les endroits où l'eau est haute.

On a vu de quelle maniere les poissons se nourrissent : passons aux oiseaux. 6.
Tous ceux qui ont l'ongle recourbé, sont carnivores, ils ne pourroient pas III.
avaler de grain quand même on le leur introduiroit dans le bec. Telles sont toutes les especes d'aigles, les milans, les deux especes d'éperviers, tant celui qui poursuit le ramier que celui qui attaque le pinson, & la buse. Les deux especes d'éperviers sont fort différentes l'une de l'autre pour la grandeur. La buse est de la grandeur du milan ; on la voit toute l'année. Du nombre des oiseaux dont je parle, sont encore l'orfraie & le vautour : L'orfraie est plus grande que l'aigle, sa couleur est cendrée. Pour les vautours,

μικρὸς καὶ ἐκλευκότερος, ὁ δὲ μείζων καὶ σποδοειδέστερος. Ετι τῶν νυκτερινῶν ἔνιοι γαμψώνυχές εἰσιν, οἷον νυκτικόραξ, γλαῦξ, βύας. Εστι δὲ ὁ βύας, τὴν μὲν ἰδέαν ὅμοιος γλαυκὶ, τὸ δὲ μέγεθος οὐδὲν ἀετοῦ ἐλάττων. Ετι δὲ ἔλεος, καὶ αἰγώλιος, καὶ σκώψ. Τούτων δ᾽ ὁ μὲν ἐλεὸς μείζων ἀλεκτρυόνος· ὁ δὲ αἰγώλιος παραπλήσιος· ἀμφότεροι δὲ θηρεύουσι τὰς κίττας· ὁ δὲ σκὼψ ἐλάττων γλαυκός· πάντα δὲ ταῦτα, τρία ὄντα, ὅμοια τὰς ὄψεις, καὶ σαρκοφάγα πάντα ἐστίν. Εἰσὶ δὲ καὶ τῶν μὴ γαμψωνύχων ἔνιοι σαρκοφάγοι, οἷον ἡ χελιδών.

Τὰ δὲ σκωληκοφάγα, οἷον σπίζα, στρουθὸς, βατὶς, χλωρὶς, αἰγιθαλός. Εστι δὲ τῶν αἰγιθαλῶν εἴδη τρία. Ο μὲν σπιζίτης, μέγιστος· ἔστι γὰρ ὅσον σπίζα· ἕτερος ὀρεινὸς, διὰ τὸ διατρίβειν ἐν τοῖς ὄρεσιν, οὐραῖον μακρὸν ἔχων. Ο δὲ τρίτος ὅμοιος μέν τούτοις, διαφέρει δὲ κατὰ τὸ μέγεθος· ἔστι γὰρ ἐλάχιστος. Ετι δὲ συκαλὶς, μελαγκόρυφος, πυῤῥούλας, ἐρίθακος, ἐπιλαὶς, οἶστρος, τύραννος· οὗτος τὸ μέγεθος μικρῷ μείζων ἀκρίδος, ἔστι δὲ φοινικοῦν λόφον ἔχων, καὶ ἄλλως εὔχαρι τὸ ὄρνεον, καὶ εὔρυθμον. Ο δὲ λεγόμενος ἄνθος, οὗτος τὸ μέγεθος ὅσον σπίζα. Οροσπίζος· οὗτος σπίζῃ ὅμοιος, καὶ τὸ μέγεθος παραπλήσιος· πλὴν ἔχει περὶ τὸν αὐχένα κυανοῦν, καὶ διατρίβει ἐν τοῖς ὄρεσιν. Ετι βασιλεὺς σπερμολόγος. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, τὰ μὲν ὅλως, τὰ δ᾽ ὡς ἐπιτοπολὺ σκωληκοφάγα. Τὰ δὲ τοιάδε ἀκανθοφάγα, ἀκανθὶς, θραυπίς· ἔτι ἡ καλουμένη χρυσομήτρις. Ταῦτα γὰρ πάντα ἐπὶ τῶν ἀκανθῶν νέμεται, σκώληκα δὲ οὐδὲν, οὐδ᾽ ἔμψυχον οὐδέν. Εν τ᾽ αὐτῷ δὲ καθεύδει καὶ νέμεται ταῦτα.

Αλλα δ᾽ ἐστὶν σκνιποφάγα, ἃ τοὺς σκνῖπας θηρεύοντα ζῇ μάλιστα· οἷον πίπρα, ἥ τε μείζων καὶ ἡ ἐλάττων· καλοῦσι δέ τινες ἀμφότερα ταῦτα δρυοκολάπτας. Ομοια δ᾽ ἀλλήλοις, καὶ φωνὴν ἔχουσιν ὁμοίαν, πλὴν μείζω τὸ μεῖζον· νέμονται δ᾽ ἀμφότερα

il y en a de deux especes, l'un petit & plus blanc, l'autre grand & dont la couleur est plus cendrée. Entre les oiseaux de nuit, il y en a également quelques-uns qui ont l'ongle recourbé, le corbeau de nuit, par exemple, le chat-huant, le grand duc. Celui-ci est semblable pour la figure, au chat-huant, mais pour la grandeur il ne le cede pas à l'aigle. On a encore l'effraie, la chouette & le petit duc. L'effraie est plus grande qu'un coq, la chouette approche de cette grandeur : toutes deux donnent la chasse aux pies. Le petit duc est de moindre grandeur que le chat-huant ; ce sont trois oiseaux dont la figure est semblable, & ils sont tous carnivores. Quelques oiseaux sont carnivores quoiqu'ils n'ayent pas l'ongle recourbé : telle est l'hirondelle.

D'autres oiseaux se nourrissent de vers ; le pinson, le passereau, la *bathis*, le verdier, la mésange sont de cette classe. On distingue trois especes de mésanges : la plus grande est celle qu'on appelle mésange-pinson : elle est de la grandeur du pinson. La seconde est la mésange de montagne, ainsi nommée parce qu'elle vit dans les montagnes : sa queue est longue. La troisieme espece ressemble aux deux premieres, elle ne differe d'elles que par la grandeur, & elle est la plus petite. Ajoutons le becfigue, la tête-noire, le bouvreuil, le rouge-gorge, *l'épilaïs*, l'asile, & le roitelet hupé ; ce dernier n'est gueres plus gros qu'un criquet, il a une hupe rouge, c'est en tout un oiseau joli & bien proportionné. Puis, celui qu'on nomme la *fleur*, & qui est gros comme le pinson : le pinson de montagne ressemblant au pinson ordinaire & approchant de lui pour la grosseur, mais ayant le col couleur d'eau, & habitant les montagnes ; enfin le roitelet moissonneur. Ces oiseaux & ceux qui leur ressemblent, vivent les uns uniquement, les autres ordinairement de vers. Il en est d'autres qui se nourrissent d'épines, tels que l'épinier, le briseur, & le bonnet d'or. Ils vivent sur les buissons, ne mangent ni ver ni rien qui ait vie, & dorment où ils prennent leur nourriture.

D'autres oiseaux encore se nourrissent de moucherons qu'ils attrapent : tel est le pic, grand & petit, quelques personnes les appellent l'un comme l'autre, *perce-arbres*. Ils se ressemblent & ils ont la même voix, mais le grand pic l'a plus forte. Ils se nourrissent tous deux en volant vers les arbres pour y

ταῦτα πρὸς τὰ ξύλα προσπετόμενα. Ετι κολιός· ἔςι δ' ὁ κολιὸς τὸ μέγεθος ὅσον τρυγών· τὸ δὲ χρῶμα, χλωρὸς ὅλος. Εςι δὲ ξυλοκόπος σφόδρα, καὶ νέμεται ἐπὶ τῶν ξύλων τὰ πολλά, φωνήν τε μεγάλην ἔχει· γίνεται δὲ μάλιςα τὸ ὄρνεον τοῦτο περὶ Πελοπόννησον. Αλλος, ὃς καλεῖται κνιπολόγος, τὸ μέγεθος μικρὸς ὅσον ἀκανθυλλὶς, τὴν δὲ χρόαν σποδοειδὴς καὶ καλάςικτος· φωνεῖ δὲ μικρόν· ἔςι δὲ καὶ τοῦτο ξυλοκόπον.

Αλλα δέ τινα ζῇ καρποφαγοῦντα, οἷον φάψ, φάττα, περιςερὰ, οἰνὰς, τρυγών. Φὰψ μὲν οὖν καὶ περιςερὰ ἀεὶ φαίνονται· τρυγὼν δὲ τοῦ θέρους· τοῦ γὰρ χειμῶνος ἀφανίζεται· φωλεῖ γάρ. Οἰνὰς δὲ τοῦ φθινοπώρου καὶ φαίνεται μάλιςα, καὶ ἁλίσκεται· ἔςι δὲ τὸ μέγεθος ἡ οἰνὰς μείζων μὲν περιςερᾶς, ἐλάττων δὲ φαβός. Η δὲ ἅλωσις αὐτῆς, γίνεται μάλιςα κατπλούσης τὸ ὕδωρ. Αφικνοῦνται δὲ εἰς τοὺς τόπους τούτους ἔχοντες νεοττούς· τὰ δ' ἄλλα πάντα τοῦ θέρους ἀφικνέμενα, νεοττεύει ἐνταῦθα, καὶ ἐκτρέφει τὰ πλεῖςα ζώοις, πλὴν τῶν περιςεροειδῶν.

Πάντων δὲ, ὡς εἰπεῖν, τῶν ὀρνίθων, οἱ μὲν πεζεύουσι περὶ τὴν τροφὴν, οἱ δὲ περὶ ποταμοὺς καὶ λίμνας βιοτεύουσιν, οἱ δὲ περὶ τὴν θάλασσαν. Καὶ ὅσοι μέν ςεγανόποδες ἐν αὐτῷ τῷ ὕδατι ποιούμενοι τὴν πλείςην διατριβήν· ὅσοι δὲ σχιζόποδες περὶ αὐτὸ τὸ ὕδωρ· καὶ τούτων ἔνιοι διὰ τῶν φυομένων τρεφόμενοι, ὅσοι μὴ σαρκοφάγοι. Οἷον περί τε τὰς λίμνας καὶ τοὺς ποταμοὺς ἐρωδιὸς, καὶ ὁ λευκερωδιός. Εςι δὲ τὸ μέγεθος οὗτος ἐκείνου ἐλάττων, καὶ ἔχει τὸ ῥύγχος πλατὺ καὶ μακρόν. Ετι δὲ πελαργὸς, καὶ λάρος· ὁ δὲ λάρος τὸ χρῶμα σποδοειδής· καὶ σχοίνικλος καὶ κίγκλος, καὶ ὁ τρύγγας. Οὗτος δὲ μέγιςος τῶν ἐλαττόνων τούτων· ἔςι γὰρ οἷον κίχλη. Πάντες δ' οὗτοι τὸ οὐραῖον κινοῦσιν. Ετι ὁ καλίδρις· ἔςι δὲ τοῦτο τὸ ὄρνεον ποικιλίαν ἔχον, τὸ δὲ ὅλον σποδοειδές. Καὶ τὸ τῶν ἁλκυόνων δὲ γένος πάρυδρόν ἐςι. Τυγχάνει δ' αὐτῶν ὄντα δύο εἴδη· καὶ ἡ μὲν φθέγγεται, καθιζάνουσα

trouver leur nourriture. Le pic-verd est de la même classe, il est de la taille de la tourterelle & tout verd; fort adroit à creuser les arbres où il prend ordinairement sa nourriture : sa voix est perçante. C'est particuliérement aux environs du Péloponnese qu'on le trouve. Il y a un autre oiseau qu'on nomme gobe-moucheron, qui n'est pas plus gros que le serin : il est de couleur cendrée & tacheté. Sa voix est foible & il creuse aussi les arbres.

Les fruits de la terre sont la nourriture du petit & du grand ramier, du pigeon, du pigeon vineux, de la tourterelle, & d'autres. Le grand & le petit ramier paroissent toute l'année, ainsi que le pigeon ; on ne voit la tourterelle qu'en été : elle disparoît & se cache l'hiver. Le pigeon vineux est commun en automne : c'est la saison où on en prend le plus. Sa grosseur est entre celle du petit ramier & du pigeon proprement dit. La maniere la plus sûre de le prendre est de saisir le moment où il boit. Ces oiseaux ne paroissent en Grece qu'avec leurs petits, à la différence des autres oiseaux qui y viennent l'été & qui tous y font leurs petits. La plupart des oiseaux, à l'exception de ceux du genre columbacé, nourrissent leurs petits avec des animaux.

On peut diviser à peu-près tous les oiseaux, en oiseaux qui prennent leur nourriture sur la terre, oiseaux qui la prennent auprès des rivieres & des lacs, & oiseaux qui la prennent auprès de la mer. Les oiseaux qui ont des membranes entre les doigts passent la plus grande partie de leur vie dans l'eau : ceux qui ont les doigts séparés se tiennent seulement près de l'eau; & entre ceux-ci il en est quelques-uns qui, n'étant point carnivores, vivent du produit de la terre. Le héron & le héron blanc sont du nombre des oiseaux qui fréquentent les lacs & les rivieres. Le héron blanc est plus petit que l'autre : il a le bec large & long. Joignez-y la cigogne, le goiland qui est de couleur cendrée, le jonco, le *cincle* & le *tryngas*. Ces oiseaux sont petits, le plus grand est le *tryngas*, il est de la grosseur de la grive. Tous agitent leur queue. Il y a encore le *calidris* dont le plumage est varié, mais dont l'ensemble est de couleur cendrée. Les alcyons sont aussi des oiseaux aquatiques : on en distingue de deux sortes, les uns qui chantent sur les roseaux, les autres qui sont muets;

ἐπὶ τῶν δονάκων· ἡ δ᾽ ἄφωνος· ἔστι δ᾽ αὕτη μείζων· τὸ δὲ νῶτον ἀμφότεραι κυανοῦν ἔχουσι· καὶ τροχίλος. Περὶ δὲ τὴν θάλατταν, καὶ ἀλκυὼν, καὶ κήρυλος· καὶ αἱ κορῶναι δὲ νέμονται ἁπτόμεναι τῶν ἐκπιπτόντων ζώων· παμφάγον γάρ ἐστιν. Ἔτι δὲ λάρος ὁ λευκὸς, καὶ κέπφος, αἴθυια, χαραδριός. Τῶν δὲ στεγανοπόδων τὰ μὲν βαρύτερα περὶ τοὺς ποταμοὺς καὶ λίμνας ἐστὶν, οἷον κύκνος, νῆττα, φαλαρὶς, κολυμβίς. Ἔτι δὲ βόσκας, ὅμοιος μὲν νήττῃ, τὸ δὲ μέγεθος ἐλάττων. Καὶ ὁ καλούμενος κόραξ· οὗτος δ᾽ ἐστὶ τὸ μέγεθος οἷον πελαργὸς, πλὴν τὰ σκέλη ἔχει ἐλάττω· στεγανόπους δὲ καὶ νευστικός· τὸ δὲ χρῶμα μέλας. Καθίζει δὲ οὗτος ἐπὶ τῶν δένδρων, καὶ νεοττεύει ἐνταῦθα μόνος τῶν τοιούτων. Ἔτι χὴν, καὶ ὁ μικρὸς χὴν ὁ ἀγελαῖος, καὶ χηναλώπηξ· καὶ αἲξ, καὶ πηνέλοψ. Ὁ δὲ ἁλιαίετος καὶ περὶ τὴν θάλατταν διατρίβει, καὶ τὰ λιμναῖα κόπτει.

Πολλοὶ δὲ καὶ παμφάγοι τῶν ὀρνίθων εἰσίν. Οἱ δὲ γαμψώνυχοι καὶ τῶν ἄλλων ἅπτονται ζώων ὅσων ἂν κρατῶσι, καὶ τῶν ὀρνέων· πλὴν οὐκ ἀλληλοφάγοι τοῦ γένους τοῦ οἰκείου εἰσὶν, ὥσπερ οἱ ἰχθύες ἅπτονται πολλάκις καὶ ἑαυτῶν. Ἔστι δὲ τὸ τῶν ὀρνίθων γένος πᾶν μὲν ὀλιγόποτον· οἱ δὲ γαμψώνυχες, καὶ ἄποτοι πάμπαν, εἰ μή τι ὀλίγον γένος, καὶ ὀλιγάκις. Μάλιστα δὲ τοιοῦτον ἡ κεγχρίς· καὶ ἰκτῖνος, ὀλιγάκις μὲν, ὦπται δὲ πίνων.

IV. 8. Τὰ δὲ φολιδωτὰ τῶν ζώων, οἷον σαῦρός τε καὶ τὰ τετράποδα τὰ ἄλλα, καὶ οἱ ὄφεις, παμφάγα ἐστί. Καὶ γὰρ σαρκοφάγα, καὶ πόαν ἐσθίουσιν. Οἱ δὲ ὄφεις καὶ λιχνότατοι τῶν ζώων εἰσίν. Ἔστι μὲν οὖν ὀλιγόποτα καὶ ταῦτα, καὶ τἆλλα ὅσα ἔχει τὸν πνεύμονα σομφόν. Ἔχουσι δὲ σομφὸν τὰ ὀλίγαιμα πάντα, καὶ τὰ ᾠοτόκα. Οἱ δὲ ὄφεις καὶ πρὸς τὸν οἶνόν εἰσιν ἀκρατεῖς· διὸ θηρεύουσί τινες καὶ τοὺς ἔχεις εἰς ὀστράκινα διατιθέντες οἶνον εἰς τὰς αἱμασιάς· λαμβάνονται γὰρ μεθύοντες. Σαρκοφάγοι δὲ ὄντες οἱ ὄφεις, ὅ τι ἂν λαμβάνωσι ζῶον ἐξικμάζοντες, ὅλα κατὰ τὴν

ceux-ci

ceux-ci sont plus grands. Les alcyons de l'une & l'autre espece ont le dos de couleur d'eau : il faut mettre dans la même classe le roitelet. L'alcyon & le *céryle* habitent donc auprès de la mer ; la corneille, car cet oiseau mange de tout, va aussi y chercher les poissons que l'eau a rejetté sur ses bords. Autres oiseaux aquatiques : le goilan blanc, la foulque, le plongeon & l'oiseau de roche. Les plus pesans de ceux qui ont des membranes entre les doigts comme le cygne, le canard, le *phalaris* & le colymbe, habitent auprès des lacs & des rivieres. Il y a encore la sarcelle, semblable au canard, quoique moins grande, & l'oiseau auquel on donne le nom de corbeau, qui égale la cigogne par sa grandeur, mais qui a les jambes moins hautes : il est palmipede, bon nageur, & a le plumage noir. C'est le seul de ces oiseaux qui se perche & qui niche sur les arbres. Ajoûtez l'oie, savoir la petite qui va en troupe & l'oie renard, la chevre & la *penelope*. L'aigle de mer vit auprès de la mer ; il bat les oiseaux d'étangs.

Beaucoup d'oiseaux sont carnivores. Ceux qui ont l'ongle recourbé ne mangent pas seulement les autres Animaux dont ils peuvent se saisir, ils mangent aussi des oiseaux : mais ils ne mangent pas ceux de leur espece, à la différence des poissons, qui se mangent souvent les uns les autres, ceux même de leur espece. Les oiseaux en général boivent peu, mais ceux qui ont l'ongle recourbé ne boivent point du tout, si ce n'est dans quelques especes peu nombreuses & encore ceux-ci ne boivent-ils que rarement. L'oiseau de cette classe qui boit le plus est la cresserelle : on a vu aussi le milan boire, mais rarement.

Les Animaux couverts d'une peau écailleuse tels que le lézards, les autres IV.
quadrupedes de ce genre, & les serpens, sont omnivores ; ils mangent de 8.
la chair & de l'herbe. Les serpens sont les plus friands des Animaux. Tous les Animaux dont je parle en ce moment boivent peu, de même que ceux, en général, qui ont le poumon spongieux : attribut commun à tous les Animaux qui ont peu de sang & qui sont ovipares : mais les serpens aiment passionnément le vin, c'est pourquoi on prend des viperes en mettant le long des haies des vases de terre plein de cette liqueur : on trouve les viperes ivres. Les serpens sont carnivores ; lorsqu'ils ont pris un animal ils le sucent, & ils rejettent

ὑποχώρησιν προίενται. Σχεδὸν δὲ καὶ τὰ ἄλλα τὰ τοιαῦτα, οἷον οἱ ἀράχναι· ἀλλ' ἔξω οἱ ἀράχναι ἐκχυμίζουσιν, οἱ δ' ὄφεις ἐν τῇ κοιλίᾳ. Λαμβάνει μὲν οὖν ὁ ὄφις ὅθεν ἂν τύχῃ τὸ διδόμενον· ἐσθίει γὰρ ὀρνίθια καὶ θηρία, καὶ καταπίνει ὠά. Λαβὼν δὲ ἐπανάγει, ἕως ἂν ἐπὶ τὸ ἄκρον ἔλθῶν, εἰς εὐθὺ καταστήσῃ· κἄπειθ' οὕτω συνάγει ἑαυτὸν καὶ συστέλλει εἰς μικρὸν, ὥστε ἐκταθέντος κάτω γίνεσθαι τὸ καταποθέν. Ταῦτα δὲ ποιεῖ διὰ τὸ τὸν στόμαχον εἶναι μακρὸν καὶ λεπτόν. Δύναται δ' ἄσιτα καὶ τὰ φαλάγγια καὶ οἱ ὄφεις πολὺν χρόνον ζῆν. Ἔστι δὲ τοῦτο θεωρῆσαι ἐκ τῶν παρὰ τοῖς φαρμακοπώλαις τρεφομένων.

V. Τῶν δὲ τετραπόδων καὶ ζωοτοκούντων, τὰ μὲν ἄγρια καὶ καρ-
9. χαρόδοντα, πάντα σαρκοφάγα· πλὴν τοὺς λύκους φασὶν, ὅταν πεινῶσιν, ἐσθίειν τινὰ γῆν, μόνον δὴ τούτων τῶν ζώων. Πόας δὲ ἄλλοτε μὲν οὐχ ἅπτονται· ὅταν δὲ κάμνωσι, καθάπερ καὶ αἱ κύνες, ἐσθίουσαι ἀνεμοῦσι, καὶ καθαίρονται. Ἀνθρωποφαγοῦσι δὲ οἱ μονοπεῖραι τῶν λύκων μᾶλλον αὐτῶν, ἢ τὰ κυνηγέσια. Ὃν δὲ καλοῦσιν οἱ μὲν γλάνον, οἱ δὲ ὕαιναν, ἔστι μὲν τὸ μέγεθος οὐκ ἔλαττον λύκου, χαίτην δ' ἔχει ὥσπερ ἵππου, καὶ ἔτι σκληροτέρας καὶ βαθυτέρας τὰς τρίχας, καὶ δι' ὅλης τῆς ῥάχεως· καὶ ἐπιβουλεύει δὲ καὶ θηρεύει τοὺς ἀνθρώπους· τοὺς δὲ κύνας καὶ ἐμοῦσα, θηρεύει, ὥσπερ οἱ ἄνθρωποι. Καὶ τυμβωρυχεῖ δὲ, ἐφιέμενον τῆς σαρκοφαγίας τῶν ἀνθρώπων.

Η δὲ ἄρκτος παμφάγον ἐστί· καὶ γὰρ καρπὸν ἐσθίει, καὶ ἀναβαίνει ἐπὶ τὰ δένδρα, διὰ τὴν ὑγρότητα τοῦ σώματος· καὶ τοὺς καρποὺς τοὺς χέδροπας. Ἐσθίει δὲ καὶ μέλι, τὰ σμήνη καταγνῦσα· καὶ καρκίνους, καὶ μύρμηκας· καὶ σαρκοφαγεῖ. Διὰ γὰρ τὴν ἰσχὺν, ἐπιτίθεται οὐ μόνον τοῖς ἐλάφοις, ἀλλὰ καὶ τοῖς ἀγρίοις ὑσὶν, ἐὰν δύνηται λαθεῖν ἐπιπεσοῦσα, καὶ τοῖς ταύροις ὁμόσε. Χωρήσασα γὰρ τῷ ταύρῳ κατὰ πρόσωπον, ὑπτία καταπίπτει, καὶ τοῦ ταύρου τύπτειν ἐπιχειροῦντος, τοῖς μὲν βραχίοσι τὰ

ensuite son corps entier par la voie des excrémens. C'est ce que font aussi presque tous les autres Animaux de ce genre, les araignées par exemple : il y a seulement cette différence, que l'araignée suce l'animal qu'il tient dehors, au lieu que le serpent le suce dans son estomac. Le serpent prend & mange tout ce qu'il rencontre, oiseaux & autres bêtes : il avale même les œufs. Lorsqu'il a saisi sa proie, il ramene la totalité de son corps sur lui même, jusqu'à ce qu'il puisse se dresser & se tenir en cet état. Ensuite il se ramasse encore & se racourcit tellement que lorsqu'après cela il s'étend, ce qu'il avoit avalé se trouve en bas. La nécessité de cette opération vient de ce qu'il a l'œsophage long & étroit. Les araignées & les serpens peuvent vivre longtems sans manger, on le voit par ceux de ces Animaux qu'on garde chez les droguistes.

Entre les quadrupedes vivipares, tout animal sauvage & ayant les dents V.
en forme de scie, est carnassier. Le loup, seul parmi eux, mange, dit-on, 9.
d'une sorte de terre lorsqu'il est pressé par la faim ; mais il ne touche jamais à l'herbe à moins qu'il ne soit malade : il en mange alors comme les chiens, pour se faire vomir & se purger. Les loups qui vont seuls se jettent plus fréquemment sur les hommes que ceux qui chassent en bandes. Ce que l'on appelle le *glanus* ou hyene, est un animal de la grandeur du loup : mais il a, comme le cheval, une criniere dont les poils sont & plus durs que les crins, & plus épais, & qui continue dans toute la longueur de l'épine. L'hyene se met en embuscade pour saisir les hommes ; & en vomissant comme eux elle attire les chiens & les prend. Elle fouille les tombeaux, tant elle aime la chair humaine.

L'ours est omnivore : assez souple pour monter aux arbres dont il mange le fruit : il mange aussi des légumes. Il se jette sur le miel après avoir brisé les ruches, sur les cancres & sur les fourmis. Il dévore également d'autres Animaux : non seulement il prend des cerfs, mais il est assez fort pour se rendre maître d'un sanglier, pourvu qu'il puisse se jetter sur lui sans être apperçu : il vient à bout des taureaux mêmes. Il les attaque hardiment & en face : tout-à-coup il se renverse sur le dos. Le taureau approche pour le frapper,

κέρατα περιλαμβάνει, τῷ δὲ στόματι τὴν ἀκρωμίαν δάκνουσα καταβάλλει τὸν ταῦρον. Βαδίζει δ' ἐπί τινα χρόνον ὀλίγον καὶ τοῖν δυοῖν ποδοῖν ὀρθή. Τὰ δὲ κρέα πάντα κατεσθίει, προσήπουσα πρῶτον.

Ο δὲ λέων σαρκοφάγος μέν ἐστιν, ὥσπερ καὶ τὰ ἄλλα ὅσα ἄγρια καὶ καρχαρόδοντα· τῇ δὲ βρώσει χρῆται λάβρως, καὶ καταπίνει πολλὰ οὐ διαιρῶν· εἶθ' ἡμέρας δύο ἢ τρεῖς ἀσιτεῖ· δύναται γὰρ, διὰ τὸ ὑπερπληροῦσθαι· ὀλιγόποτον δέ ἐστι. Τὸ δὲ περίττωμα προΐεται σπανίως· διὰ τρίτης γὰρ, ἢ ὅπως ἂν τύχῃ, προχωρεῖ, καὶ τοῦτο ξηρὸν καὶ ἐξικμασμένον, ὅμοιον κυνί. Προΐεται δὲ καὶ τὴν φῦσαν σφόδρα δριμεῖαν, καὶ τὸ οὖρον ἔχον ὀσμήν· διόπερ οἱ κύνες ὀσφραίνονται τῶν δένδρων· οὐρεῖ γὰρ αἴρων τὸ σκέλος, ὥσπερ οἱ κύνες. Εμποιεῖ δὲ καὶ ὀσμὴν βαρεῖαν ἐν τοῖς ἐσθιομένοις καταπνέων. Καὶ γὰρ ἀνοιχθέντος αὐτοῦ, τὰ ἔσω ἀτμίδα ἀφίησι βαρεῖαν.

Ενια δὲ τῶν τετραπόδων καὶ ἀγρίων ζώων ποιεῖται τὴν τροφὴν περὶ λίμνας καὶ ποταμούς· περὶ δὲ τὴν θάλατταν οὐδὲν, ἔξω φώκης. Τοιαῦτα δέ ἐστιν ὅ τε καλούμενος κάστωρ, καὶ τὸ σαθέριον, καὶ τὸ σατύριον, καὶ ἐνυδρὶς, καὶ ἡ καλουμένη λάταξ. Εστι δὲ τοῦτο πλατύτερον ἐνυδρίδος, καὶ ὀδόντας ἔχει ἰσχυρούς· ἐξιοῦσα γὰρ νύκτωρ πολλάκις, τὰς περὶ τὸν ποταμὸν κερκίδας ἐκτέμνει τοῖς ὀδοῦσι. Δάκνει δὲ τοὺς ἀνθρώπους καὶ ἡ ἐνυδρὶς, καὶ οὐκ ἀφίησιν, ὡς λέγουσι, μέχρις ἂν ὀστοῦ ψόφον ἀκούσῃ. Τὸ δὲ τρίχωμα ἔχει ἡ λάταξ σκληρὸν, καὶ τὸ εἶδος μεταξὺ τοῦ τῆς φώκης τριχώματος, καὶ τοῦ τῆς ἐλάφου.

VI. Πίνει δὲ τῶν ζώων τὰ μὲν καρχαρόδοντα, λάπτοντα· ἔνια δὲ καὶ τῶν μὴ καρχαροδόντων, οἷον οἱ μῦες. Τὰ δὲ συνόδοντα σπᾷ, οἷον ἵπποι καὶ βόες. Η δὲ ἄρκτος, οὔτε σπᾷ, οὔτε λάπτει, ἀλλὰ κάψει πίνει. Καὶ τῶν ὀρνέων δὲ τὰ μὲν ἄλλα σπάσει· πλὴν τὰ μὲν μακραύχενα, διαλείποντα καὶ αἴροντα τὴν κεφαλήν· ὁ δὲ πορφυρίων μόνος κάψει.

alors l'ours le saisit par les cornes avec ses bras, il lui mord les épaules & le renverse. L'ours peut marcher pendant quelque tems droit sur ses deux pieds. Toute la chair qu'il mange, il la laisse pourrir auparavant.

Le lion est carnassier, comme les autres Animaux sauvages qui ont les dents en scie : il mange avec avidité & il avale de grosses pieces sans les déchirer. Après cela il passe deux ou trois jours sans manger, ce qui ne lui est pas impossible, s'étant rempli avec excès. Le lion boit peu. Il fiente rarement, & ne le fait gueres que tous les trois jours ; ses excrémens sont secs & arides, semblables à ceux du chien. Il lâche des vents extrêmement puans ; & son urine a aussi de l'odeur. Les chiens qui le quêtent vont flairant au pied des arbres, car le lion leve la cuisse comme eux pour uriner. Son haleine suffit pour imprimer une odeur très-forte aux restes de ce qu'il a mangé. Quand on ouvre un lion, l'intérieur de son corps donne aussi des exhalaisons très-fortes.

Il y a des quadrupédes sauvages qui prennent leur nourriture auprès des lacs & des rivieres : le phoque seul la cherche auprès de la mer. Les premiers sont le castor, le *satherion*, le *satyrion*, la loutre & celui qu'on appelle *latax*. Ce dernier a le corps plus large que la loutre & il a la dent forte : son habitude est de sortir la nuit, & de couper avec les dents les arbrisseaux qui viennent près des rivieres. La loutre aussi, mord l'homme, & on prétend qu'elle ne lâche prise qu'après avoir entendu l'os sonner. Le *latax* a le poil dur, tenant de celui du phoque & de celui du cerf.

Les Animaux qui ont les dents en forme de scie boivent en lappant : quelques autres encore, quoique d'une classe différente, boivent de la même maniere : les rats par exemple. Les Animaux qui ont les dents égales & continues, boivent en aspirant : c'est la maniere de boire des chevaux & des bœufs : l'ours ne hume ni ne lappe ; il mord l'eau, pour ainsi dire. Les oiseaux boivent en aspirant ; ceux d'entre eux qui ont le col allongé mettent en buvant des intervalles, pendant lesquels ils relevent la tête. Le porphyrion seul boit de la même maniere que l'ours. VI.

Τὰ δὲ κερατώδη τῶν ζώων, καὶ ἥμερα καὶ ἄγρια, καὶ ὅσα μὴ καρχαρόδοντα, πάντα καρποφάγα καὶ ποηφάγα ἐστί, μὴ λίαν κατεχόμενα τῷ πεινῆν, ἔξω τῆς κυνός· αὕτη δὲ ἥκιστα ποηφάγον καὶ καρποφάγον ἐστί. Ῥιζοφάγον δὲ μάλιστα ἡ ὗς ἐστὶ τῶν ζώων, διὰ τὸ εὖ πεφυκέναι τὸ ῥύγχος πρὸς τὴν ἐργασίαν ταύτην· καὶ εὐχερέστατον πρὸς πᾶσαν τροφὴν τῶν ζώων ἐστί. Τάχιστα δὲ καὶ ἐπιδίδωσιν εἰς παχύτητα, ὡς κατὰ μέγεθος· πιαίνεται γὰρ ἐν ἑξήκοντα ἡμέραις· ὅσον δ' ἐπιδίδωσι, ἐπιγινώσκουσιν οἱ περὶ ταῦτα πραγματευόμενοι, νῆστιν ἱστάντες. Πιαίνεται δὲ προλιμοκτονηθεῖσα ἡμέρας τρεῖς. Σχεδὸν δὲ καὶ τὰ ἄλλα πάντα προλιμοκτονούμενα πιαίνεται· μετὰ δὲ τὰς τρεῖς ἡμέρας εὐωχοῦσιν ἤδη οἱ πιαίνοντες τὰς ὗς. Οἱ δὲ Θρᾷκες πιαίνουσι τῇ μὲν πρώτῃ πιεῖν διδόντες· εἶτα διαλείπουσιν ἡμέραν μίαν τὸ πρῶτον, μετὰ δὲ ταῦτα δύο, εἶτα καὶ τρεῖς καὶ τέτταρας, μέχρι τῶν ἑπτά. Πιαίνεται δὲ τὸ ζῶον τοῦτο κριθαῖς, κέγχροις, σύκοις, ἀκύλοις, ἀχράσι, σικύοις. Μάλιστα δὲ καὶ ταῦτα καὶ τὰ ἄλλα τὰ ἔχοντα κοιλίαν ἀγαθὴν, ἡ ἀτρεμία πιαίνει· τὰς δὲ ὗς καὶ τὸ λούεσθαι ἐν πηλῷ. Νέμεσθαι δὲ βούλονται κατὰ τὰς ἡλικίας. Μάχεται δὲ ὗς καὶ λύκῳ. Ἀπογίνεται δὲ ἀπὸ τῶν σταθμῶν, ὅσον ἕλκει ζῶσα, τὸ ἕκτον μέρος εἰς τρίχας καὶ αἷμα, καὶ τὰ τοιαῦτα. Θηλαζόμεναι δὲ καὶ αἱ ὕες καὶ τὰ ἄλλα πάντα λεπτότερα γίνεται.

VII. Ταῦτα μὲν οὖν τοῦτον ἔχει τόν τρόπον. Οἱ δὲ βόες εἰσὶ μὲν
10. καὶ καρποφάγοι καὶ ποηφάγοι. Πιαίνονται δὲ τοῖς φυσητικοῖς, οἷον ὀρόβοις, καὶ κυάμοις ἐρηριγμένοις, καὶ χλόῃ κυάμων· καὶ ἐάν τις τὸ δέρμα ἐντεμὼν φυσήσῃ, καὶ μετὰ ταυτα παρέχῃ τὴν τροφὴν τοῖς πρεσβυτέροις. Ετι δὲ κριθαῖς, καὶ ἁπλῶς καὶ ἐπτισμέναις· καὶ τοῖς γλυκέσιν, οἷον σύκοις καὶ σταφίσι, καὶ οἴνῳ, καὶ τοῖς φύλλοις τῆς πτελέας. Μάλιστα δὲ οἱ ἥλιοι, καὶ τὰ λουτρὰ τὰ θερμά. Τὰ δὲ κεράτια τῶν νέων χλιαινόμενα τῷ κηρῷ, ἄγεται

Les Animaux, soit privés, soit sauvages, qui portent des cornes & ceux qui n'ont point les dents en scie, se nourrissent tous de fruits & d'herbe, à moins qu'ils ne soient très-pressés par la faim : il faut en excepter le chien qui ne mange ni fruits ni herbes. Le porc est celui des Animaux qui se nourrit le plus volontiers de racines, son groin est conformé comme il faut pour les déterrer : c'est aussi l'animal qui s'accommode le plus facilement de toute sorte de nourriture. Il s'engraisse très promptement, eu égard à sa grandeur : soixante jours suffisent : ceux qui les prennent maigres pour les engraisser ont observé les degrés d'accroissement qu'ils reçoivent. Lorsqu'on veut engraisser un porc, on commence par le faire jeûner trois jours : il en est de même de presque tous les autres Animaux, il faut commencer par les faire jeûner pour les engraisser. Ces trois jours passés, on leur donne de la nourriture abondamment. Les Thraces engraissent leurs porcs en leur donnant le premier jour à boire; ils les laissent après cela un jour sans boire, puis deux jours, puis trois & quatre, jusqu'à ce qu'ils arrivent jusqu'à sept. Le porc s'engraisse avec de l'orge, du millet, des figues, des glands, des poires sauvages, des concombres. Le repos contribue aussi beaucoup à les engraisser, ainsi que les autres Animaux qui ont l'estomac bon. Le porc profite encore en se veautrant dans la boue. Ils aiment à paître par bandes suivant leurs âges. Le porc est en état de se battre contre le loup. Un porc tué perd un sixième de ce qu'il pesoit en vie; ce sixieme est absorbé par les poils, le sang & autres choses de ce genre. Les truies maigrissent, ainsi que les autres Animaux, dans le tems où elles allaitent leurs petits.

La nourriture des bœufs est l'herbe & le grain. On les engraisse avec les graines qui contiennent beaucoup d'air, comme l'orobe & les féves : on les leur donne moulues & on leur en donne aussi les feuilles. Pour engraisser de vieux bœufs il est bon de leur faire des incisions à la peau, de les souffler par ces incisions, & de leur donner après cela à manger. On engraisse encore les bœufs avec de l'orge soit entiere soit pilée; avec des fruits secs, des figues par exemple & des raisins secs : même avec du vin & des feuilles d'ormes. La chaleur du soleil & les bains chauds leurs sont excellens. Des fomentations de cire chaude rendent la corne des jeunes bœufs souple, & facile à VII. 10.

ῥᾳδίως ὅπου ἂν τις ἐθέλῃ· καὶ τοὺς πόδας ἧττον ἀλγοῦσιν ἐάν τις τὰ κεράτια ἀλείφῃ κηρῷ, ἢ πίττῃ, ἢ ἐλαίῳ. Πονοῦσι δὲ αἱ ἀγέλαι μᾶλλον ὑπὸ τῆς πάχνης μελανισάμεναι, ἢ ὑπὸ χιόνος. Αὐξάνονται δὲ, ὅταν πλείω ἔτη ἀνόχευτοι ὦσι· διὸ οἱ ἐν τῇ Ἠπείρῳ τὰς καλουμένας Πυῤῥίχας βοῦς, ἐννέα ἔτη διατηροῦσιν ἀνοχεύτους· καὶ καλοῦσιν ἀπταύρους, ὅταν αὔξωνται. Τούτων δὲ τὸ μὲν πλῆθος εἶναί φασι περὶ τετρακοσίους, ἰδίους τῶν βασιλέων· ἐν ἄλλῃ δὲ ζῆν χώρᾳ οὐ δύνασθαι, καίτοι πεπειρᾶσθαι τινάς.

VIII. 11. Ἵπποι δὲ, καὶ ὀρεῖς, καὶ ὄνοι, καρποφάγα μέν ἐστι καὶ ποηφάγα· μάλιστα δὲ πιαίνεται τῷ ποτῷ. Ὡς γὰρ ἂν πίνῃ τὰ ὑποζύγια τὸ ὕδωρ, οὕτω καὶ πρὸς τὴν ἀπόλαυσιν ἔχει τῆς τροφῆς. Καὶ ὁποῖον ἂν ἧττον δυσχεραίνει τὸ ποτὸν, τοῦτο μᾶλλον εὔχορτον. Ἡ δὲ κράστις λειοτριχεῖν ποιεῖ, ὅταν ἔγκυος ᾖ· ὅταν δ' ἀθέρας ἔχῃ σκληροὺς, οὐκ ἀγαθή. Τῆς δὲ πόας τῆς μηδικῆς ἥ τε πρωτόκουρος φαύλη, καὶ ὅπου ἂν ὕδωρ δυσῶδες ἐπάγηται τῇ πόᾳ· ὄζει γάρ. Πίνειν δὲ οἱ μὲν βόες ζητοῦσι καθαρόν· οἱ δὲ ἵπποι, ὥσπερ αἱ κάμηλοι. Ἡ δὲ κάμηλος πίνει ἥδιον θολερὸν καὶ παχύ· οὐδ' ἀπὸ τῶν ποταμῶν πρότερον πίνει, ἢ συνταράξει. Δύναται δ' ἄποτος ἀνέχεσθαι καὶ τέτταρας ἡμέρας, εἶτα μετὰ ταῦτα πίνει πολὺ πλῆθος.

IX. 12. Ὁ δ' ἐλέφας ἐσθίει, πλεῖστον μὲν, κριθῶν μεδίμνους Μακεδονικοὺς ἐννέα ἐπὶ μιᾶς ἐδωδῆς· ἐπικίνδυνον δὲ τὸ τοσοῦτον πλῆθος· τὸ δ' ἐπίπαν, ἓξ μεδίμνους ἢ ἑπτά. Ἀλφίτων δὲ πέντε μεδίμνους· καὶ οἴνου πέντε μαρεῖς· Ἔστι δὲ ὁ μαρὶς ἓξ κοτύλαι. Ἤδη δέ τις ἔπιεν ἐλέφας μετρητὰς ὕδατος Μακεδονικοὺς εἰσάπαξ δέκα καὶ τέσσαρας, καὶ πάλιν τῆς δείλης ἄλλους ὀκτώ. Ζῶσι δ' αἱ μὲν πολλαὶ τῶν καμήλων περὶ ἔτη τριάκοντα, ἔνιαι δὲ πολλῷ πλείω. Καὶ γὰρ εἰς ἔτη ἑκατὸν ζῶσι. Τὸν δ' ἐλέφαντα ζῆν φασὶν οἱ μὲν περὶ ἔτη τριακόσια, οἱ δὲ διακόσια.

plier comme on veut. C'eſt également un moyen pour leur rendre les pieds moins douloureux, d'en frotter la corne avec de la cire, de la poix ou de l'huile. Les gelées blanches tourmentent les troupeaux de bœufs quand on les fait marcher pendant ce tems, & les font ſouffrir davantage que la neige. Si on laiſſe les vaches pluſieurs années ſans leur permettre de s'accoupler, elles deviennent plus groſſes; auſſi en Epire, ceux qui ont ſoin des vaches que l'on appelle Pyrrhiques, ne laiſſent-ils approcher le taureau d'elles qu'à neuf ans : ils les appellent vierges tant qu'elles croiſſent. Ces vaches ne ſont, dit-on, au nombre que d'environ quatre cent, reſervées pour le Roi, & elles ne peuvent, ajoute-t-on, vivre hors de l'Epire : on en a fait l'épreuve.

Les chevaux, les mulets & les ânes ſe nourriſſent d'herbe & de grain. L'eau VIII.
eſt ce qui les engraiſſe le plus, parce que plus ils boivent, plus ils ont d'ap- 11.
pétit ; moins ils ſont difficiles pour la boiſſon, plus il eſt facile de les bien nourrir. Le fourage frais & plein leur rend le poil liſſe : ſec & dur, il ne leur eſt pas auſſi bon. La premiere coupe de la luzerne ne leur vaut rien, non plus que l'herbe qui a été arroſée d'eaux fétides, parce qu'alors elle contracte elle même de l'odeur. Les bœufs veulent l'eau pure & claire : les chevaux l'aiment trouble & épaiſſe : de même le chameau, qui ne boiroit pas de l'eau d'une riviere ſans l'avoir troublée. Le chameau reſtera ſans boire juſqu'à quatre jours : mais après cela il boit en grande quantité.

L'éléphant peut manger en un ſeul repas juſqu'à neuf médimnes Macédo- IX.
niennes d'orge : cependant il eſt dangereux de lui en donner cette quantité. 12.
Il lui en faut ordinairement ſix à ſept médimnes ; cinq médimnes de farine, & cinq maris de vin. Le maris contient ſix cotyles. On a vu un éléphant boire en une ſeule fois quatorze meſures Macédoniennes d'eau, & l'après-midi en boire huit autres. La vie des chameaux eſt d'ordinaire de trente ans ou environ : quelques-uns vivent beaucoup au-delà, & vont juſqu'à cent ans. L'éléphant vit, ſelon les uns, cent ans, ſelon d'autres deux cent.

X. Πρόβατα δὲ καὶ αἶγες εἰσὶ μὲν ποηφάγα· τὴν δὲ νομὴν ποιοῦν-
13. ται τὰ μὲν πρόβατα, προσεδρεύοντα καὶ μονίμως, αἱ δὲ αἶγες
ταχὺ μεταβάλλουσαι, καὶ τῶν ἄκρων ἁπτόμεναι μόνον. Πιαίνει δὲ
μάλιστα τὸ πρόβατον τὸ ποτόν· διὸ καὶ τοῦ θέρους διδόασιν ἅλας
διὰ πέντε ἡμερῶν, μέδιμνον τοῖς ἑκατόν· γίνεται γὰρ ὑγιεινό-
τερον οὕτω καὶ πιότερον τὸ ποιμνίον. Καὶ τὰ πολλὰ δὲ ἁλίζοντες
διὰ τοῦτο προσφέρουσιν, οἷον ἔν τε τοῖς ἀχύροις ἅλας πολλοὺς,
διψῶντα γὰρ πίνει μᾶλλον· καὶ τοῦ μετοπώρου τὴν κολοκύντην,
ἅλας πάττοντες· τοῦτο γὰρ καὶ γάλα ποιεῖ πλεῖον. Καὶ κινούμεναι
δὲ μεσημβρίας, πίνουσι μᾶλλον πρὸς τῇ δείλῃ. Πρὸς δὲ τοὺς
τόκους ἁλιζόμεναι μείζω τὰ οὔθατα καθιᾶσι. Πιαίνει δὲ τὰ πρό-
βατα θαλλὸς, κότινος, ἀφάκη, ἄχυρα, καὶ πόα· πάντα δὲ
μᾶλλον πιαίνει ἅλμῃ προῤῥανθέντα. Παχύνεται δὲ καὶ ταῦτα
μᾶλλον προλιμοκτονηθέντα τρεῖς ἡμέρας. Ὕδωρ δὲ προβάτοις
τοῦ μετοπώρου τὸ βόρειον τοῦ νοτίου ἄμεινον, καὶ αἱ νομαὶ αἱ
πρὸς ἑσπέραν συμφέρουσι. Λεπτύνουσι δὲ αἱ ὁδοὶ καὶ αἱ ταλαι-
πωρίαι. Οἱ δὲ ποιμένες γινώσκουσι τὰς ἰσχυρὰς τῶν οἰῶν, ὅταν
χειμὼν ᾖ, τῷ πάχνην ἔχειν, τὰς δὲ τῷ μὴ ἔχειν· διὰ γὰρ
τὴν ἀσθένειαν κινούμεναι, ἀποβάλλουσιν αἱ μὴ ἰσχύουσαι. Παντὸς
δὲ τετράποδος τὰ κρέα χείρω ὅπου εἰς ἑλώδη χωρία νέμονται,
ἢ ὅπου μετεωρότερα. Εἰσὶ δ᾽ εὐχειμερώτεραι αἱ πλατύκερκοι
ὄιες τῶν μακροκέρκων, καὶ αἱ κολέραι τῶν λασίων· δυσχείμεροι
δὲ καὶ αἱ οὖλαι. Ὑγιεινότεραι μὲν οὖν ὄιες τῶν αἰγῶν· ἰσχύουσι
δὲ μᾶλλον αἱ αἶγες τῶν οἰῶν. Τῶν δὲ λυκοβρώτων προβάτων,
τὰ κώδια, καὶ τὰ ἔρια, καὶ τὰ ἐξ αὐτῶν ἱμάτια, φθειρωδέστερα
γίνεται πολὺ μᾶλλον τῶν ἄλλων.

XI. Τῶν δ᾽ ἐντόμων τὰ μὲν ἔχοντα ὀδόντας παμφάγα ἐστί, τὰ
14. δὲ γλῶτταν μόνον, τοῖς ὑγροῖς τρέφεται, πάντοθεν ἐκχυλίζοντα
ταύτῃ. Καὶ τούτων τὰ μὲν παμφάγα· πάντων γὰρ γεύεται τῶν
χυμῶν· οἷον αἱ μυῖαι· τὰ δ᾽ αἱμοβόρα, καθάπερ μύωψ, καὶ

Les brebis & les chevres se nourrissent d'herbes, mais les brebis paissent X.
dans un même endroit sans le quitter, au lieu que les chevres ne broutent 13.
que le sommet de l'herbe & restent peu à la même place. Les brebis s'engraissent beaucoup en buvant, c'est pourquoi l'été on leur donne du sel : un médimne pour cinq jours, entre cent brebis. Cela les fait bien porter & les engraisse. C'est pour la même raison, & parce qu'elles boivent davantage lorsqu'elles ont soif, qu'on sale la plupart de leurs nourritures; qu'on jette par exemple beaucoup de sel dans la paille qu'elles mangent, & qu'en automne on leur donne des courges saupoudrées de sel ; on augmente aussi par ce dernier moyen la quantité de leur lait. En faisant marcher les troupeaux à midi, ils boivent davantage le soir ; & en donnant du sel aux femelles avant qu'elles mettent bas, leurs mammelles s'allongent davantage. Les feuilles d'olivier soit franc, soit sauvage, le pissenlit, la paille & l'herbe engraissent les brebis, & davantage encore si on les leur donne saupoudrées de sel ; les brebis s'engraissent mieux aussi, en les faisant d'abord jeûner trois jours. En automne les eaux exposées au nord leur valent mieux que celles qui sont au midi, & le tems de les mener paître est le soir. Le chemin & la fatigue les font maigrir. Les bergers reconnoissent celles de leurs brebis qui sont fortes, à ce que la gelée blanche reste sur elles en hiver. Les autres étant plus foibles, se secouent pour la faire tomber. Tout quadrupede qui paît dans des cantons marécageux a la chair moins bonne que celui qui paît dans des lieux élevés. Les brebis qui ont la queue large supportent plus facilement le froid que celles dont la queue est allongée, celles qui ont la laine claire plus facilement que celles qui l'ont épaisse. Les brebis qui ont la laine frisée souffrent davantage de la rigueur de l'hiver. Quoique les chevres soient plus fortes que les brebis, celles-ci sont d'un tempérament plus sain. La peau & la toison des brebis qui ont été dévorées par les loups, les vêtemens même que l'on fait de cette toison, sont beaucoup plus sujets à la vermine que les autres.

Ceux des insectes qui ont des dents sont omnivores ; ceux qui n'ont XI.
qu'une langue se nourrissent de choses humides dont ils tirent de toutes 14.
parts le suc avec leur langue. On peut en distinguer encore entre ces derniers qui sont omnivores, & qui, comme les mouches par exemple, ne

οἶστρος· τὰ δὲ φυτῶν καὶ καρπῶν ζῆ χυμοῖς. Η δ' μέλιττα μόνον πρὸς οὐδὲν προσίζει σαθρόν, χρῆται δὲ τροφῇ οὐδεμιᾷ ἀλλ' ἢ τῇ γλυκὺν ἐχούσῃ χυμόν. Καὶ ὕδωρ δὲ ἥδιστον εἰς ἑαυτὰς λαμβάνουσιν, ὅπου ἂν καθαρὸν ἀναπηδᾷ.

XII. Τροφαῖς μὲν οὖν χρῶνται τὰ γένη τῶν ζώων ταῖς εἰρημέναις.

15. Αἱ δὲ πράξεις αὐτῶν ἅπασαι περί τε τὰς ὀχείας καὶ τεκνώσεις εἰσὶ, καὶ περὶ τὰς εὐπορίας τῆς τροφῆς, καὶ πρὸς τὰ ψύχη καὶ τὰς ἀλέας πεπορισμέναι, καὶ πρὸς τὰς μεταβολὰς τὰς τῶν ὡρῶν. Πάντα γὰρ τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν μεταβολῆς αἴσθησιν ἔχει σύμφυτον. Καὶ καθάπερ τῶν ἀνθρώπων οἱ μὲν εἰς τὰς οἰκίας τοῦ χειμῶνος μεταβάλλουσιν, οἱ δὲ πολλῆς χώρας κρατοῦντες, θερίζουσι μὲν ἐν τοῖς ψυχροῖς, χειμάζουσι δὲ ἐν τοῖς ἀλεεινοῖς· οὕτω καὶ τῶν ζώων τὰ δυνάμενα μεταβάλλει τοὺς τόπους. Καὶ τὰ μὲν ἐν αὐτοῖς τοῖς συνήθεσι τόποις εὑρίσκεται τὰς βοηθείας· τὰ δ' ἐκτοπίζει· μετὰ μὲν τὴν φθινοπωρινὴν ἰσημερίαν, ἐκ τοῦ Πόντου καὶ τῶν ψυχρῶν φεύγοντα τὸν ἐπιόντα χειμῶνα· μετὰ δὲ τὴν ἐαρινὴν, ἐκ τῶν θερινῶν εἰς τοὺς τόπους τοὺς ψυχροὺς, φοβούμενα τὰ καύματα· τὰ μὲν ἐκ τῶν ἐγγὺς τόπων ποιούμενα τὰς μεταβολὰς, τὰ δὲ καὶ ἐκ τῶν ἐσχάτων, ὡς εἰπεῖν, οἷον αἱ γέρανοι ποιοῦσι. Μεταβάλλουσι γὰρ ἐκ τῶν Σκυθικῶν πεδίων εἰς τὰ ἕλη τὰ ἄνω τῆς Αἰγύπτου, ὅθεν ὁ Νεῖλος ῥεῖ. Εστι δὲ ὁ τόπος οὗτος περὶ ὃν οἱ Πυγμαῖοι κατοικοῦσιν. Οὐ γάρ ἐστι τοῦτο μῦθος, ἀλλ' ἔστι κατὰ τὴν ἀλήθειαν, γένος μικρὸν μὲν, ὥσπερ λέγεται, καὶ αὐτοὶ καὶ οἱ ἵπποι· τρωγλοδύται δ' εἰσὶ τὸν βίον.

Καὶ οἱ πελεκᾶνες δὲ ἐκτοπίζουσι, καὶ πέτονται ἀπὸ τοῦ Στρυμόνος ἐπὶ τὸν Ιστρον, κἀκεῖ τεκνοποιοῦνται· ἀθρόοι δ' ἀπέρχονται, ἀναμένοντες οἱ πρότερον τοὺς ὕστερον, διὰ τὸ ὅταν ὑπερπτῶνται τὸ ὄρος, ἀδήλους γίνεσθαι τοὺς ὑστέρους τοῖς προτέροις.

rejettent aucun des sucs qu'ils rencontrent ; les autres se nourrissent de sang, comme le taon & la mouche asile, d'autres de sucs tirés de plantes & de fruits. L'abeille seule ne s'approche de rien de pourri, & ne prend sa nourriture que sur ce qui peut lui fournir un suc doux. Elle se plait aussi à boire dans les sources où l'eau jaillit pure.

Voilà de quelle nourriture usent les différentes especes d'Animaux. A l'égard de leurs actions, elles ont toutes rapport à l'accouplement, à l'éducation de leurs petits, aux moyens de pourvoir à leur nourriture, aux différentes températures de chaud & de froid, & au changement des saisons. Tous les Animaux sont naturellement sensibles aux variations du chaud & du froid ; ceux d'entre eux qui ont la faculté de se déplacer sont comme les hommes, dont les uns se retirent seulement dans leur maison pendant l'hiver, tandis que d'autres, maîtres d'une grande étendue de pays, vont passer l'été dans les lieux frais, & l'hiver dans les lieux tempérés. Il y a des Animaux qui trouvent dans les lieux mêmes qu'ils habitent, de quoi se défendre contre les inégalités de la température : d'autres changent absolument de domicile. On en voit après l'équinoxe d'automne, venir du Pont & des pays froids pour fuir l'hiver qui approche ; après le printems, quitter les pays chauds dont ils redoutent les ardeurs brûlantes, & passer dans les pays froids. Il en est qui ne font ces transmigrations que de proche en proche, d'autres qui les font, pour ainsi dire, d'une extrémité de la terre à l'autre. Les grues, par exemple, passent des plaines de la Scythie aux marais de la haute Egypte, vers les sources du Nil. C'est ce canton qu'habitent les Pygmées dont l'existence n'est point une fable. C'est réellement comme on le dit, une espece d'hommes de petite stature, & leurs chevaux sont petits aussi. Ils passent leur vie dans des cavernes. XII. 15.

Les Pélicans changent également d'habitation ; ils vont du Strymon au Danube & c'est là qu'ils font leurs petits. Ils volent en grandes troupes, & dans la traversée les premiers attendent les derniers, parce qu'au passage des montagnes ils les perdroient de vue.

Καὶ οἱ ἰχθύες δὲ τὸν αὐτὸν τρόπον, οἱ μὲν ἐκ τοῦ Πόντου, ἢ εἰς τὸν Πόντον μεταβάλλουσιν· οἱ δ' ἐν μὲν τῷ χειμῶνι, ἐκ τοῦ πελάγους πρὸς τὴν γῆν, τὴν ἀλέαν διώκοντες· ἐν δὲ τῷ θέρει, ἐκ τῶν προσγείων εἰς τὸ πέλαγος, φεύγοντες τὴν ἀλέαν. Καὶ τὰ ἀσθενῆ δὲ τῶν ὀρνέων, ἐν μὲν τῷ χειμῶνι καὶ τοῖς πάγοις, εἰς τὰ πεδία καταβαίνουσι, διὰ τὴν ἀλέαν· ἐν δὲ τῷ θέρει, ἀποχωροῦσιν εἰς τὰ ὄρη ἄνω, διὰ τὰ καύματα. Ποιεῖται δὲ ἀεὶ τὰ πρῶτα τὴν μετάβασιν τὰ ἀσθενέστερα, καθ' ἑκατέραν τὴν ὑπερβολήν· οἷον οἱ μὲν σκόμβροι τῶν θύννων, οἱ δὲ ὄρτυγες τῶν γεράνων. Τὰ μὲν γὰρ μεταβάλλει τοῦ βοηδρομιῶνος, τὰ δὲ τοῦ μαιμακτηριῶνος. Ἔστι δὲ πιότερα πάντα, ὅταν ἐκ τῶν ψυχρῶν τόπων μεταβάλλῃ, ἢ ὅταν ἐκ τῶν θερμῶν· οἷον καὶ οἱ ὄρτυγες τοῦ φθινοπώρου μᾶλλον, ἢ τοῦ ἔαρος. Συμβαίνει δ' ἐκ τῶν ψυχρῶν τόπων ἅμα μεταβάλλειν, καὶ ἐκ τῆς ὥρας τῆς θερμῆς. Ἔχουσι δὲ καὶ πρὸς τὰς ὀχείας ὁρμητικώτερον κατὰ τὴν ἐαρινὴν ὥραν, καὶ ὅταν μεταβάλλωσιν ἐκ τῶν θερμῶν.

Τῶν μὲν οὖν ὀρνέων αἱ γέρανοι, καθάπερ εἴρηται πρότερον, ἐκτοπίζουσιν εἰς τὰ ἔσχατα ἐκ τῶν ἐσχάτων· πέτονται δὲ πρὸς τὸ πνεῦμα. Τὸ δὲ περὶ τοῦ λίθου, ψεῦδός ἐστι. Λέγεται γὰρ ὡς ἔχουσιν ἕρμα λίθον, ὃς γίνεται χρήσιμος πρὸς τὰς τοῦ χρυσοῦ βασάνους, ὅταν ἐκπέσῃ.

Ἀπαίρουσι δὲ καὶ αἱ φάτται, καὶ αἱ πελειάδες, καὶ οὐ χειμάζουσι, καὶ αἱ χελιδόνες καὶ αἱ τρυγόνες· αἱ δὲ περιστεραὶ καταμένουσιν. Ὁμοίως δὲ καὶ οἱ ὄρτυγες, ἐὰν μή τινες ὑπολειφθῶσι καὶ τῶν τρυγόνων καὶ τῶν ὀρτύγων, ἐν εὐηλίοις χωρίοις. Ἀγελάζονται δὲ αἵ τε φάτται καὶ αἱ τρυγόνες, ὅταν τε παραγένωνται, καὶ ὅταν πάλιν ὥρα ᾖ πρὸς τὴν ἀνακομιδήν. Οἱ δὲ ὄρτυγες, ὅταν πέτωνται, ἐὰν μὲν εὐδία ἢ βόρειον ᾖ, συνδυάζονταί τε καὶ εὐημεροῦσιν· ἐὰν δὲ νότος, χαλεπῶς ἔχουσι, διὰ τὸ μὴ εἶναι πτητικοί· ὑγρὸς γὰρ καὶ βαρὺς ὁ ἄνεμος· διὸ καὶ οἱ

Il y a pareilles migrations parmi les poissons. Les uns ou sortent du Pont ou y entrent, les autres quittent, dans l'hiver, la haute mer pour se rapprocher du rivage où ils trouvent une température plus douce ; dans l'été ils abandonnent les côtes & gagnent la haute mer, pour éviter la chaleur. Parmi les oiseaux, les plus foibles descendent dans les plaines pendant l'hiver & lorsqu'il fait froid, parce qu'ils y trouvent l'air plus tempéré ; l'été ils se retirent sur le haut des montagnes, parce que les plaines sont brûlantes. Les especes les moins robustes dévancent toujours les autres, soit au départ, soit au retour ; par exemple les maquereaux partent avant les thons, & les cailles avant les grues. Les uns partent en Août, les autres en Septembre. Ils sont tous plus gras lorsqu'ils arrivent des pays froids que lorsqu'ils quittent les pays chauds, ainsi les cailles sont plus grasses en automne qu'au printems. Elles sortent d'un pays froid, mais elles en sortent dans une saison chaude. C'est au printems que ceux même des Animaux qui arrivent des pays chauds entrent en amour.

Revenons au passage des grues. J'ai dit qu'elles alloient d'une extrémité de la terre à l'autre : elles volent en prenant le vent ; mais ce que l'on dit de leur pierre est faux : on prétend qu'elles portent pour se lester une pierre qui devient bonne pour éprouver l'or l'orsqu'elles la laissent tomber.

Les grands ramiers & les bizets voyagent pareillement & ne passent point l'hiver ici, non plus que les hirondelles ni les tourterelles ; mais les pigeons demeurent. Les cailles s'en vont aussi ; s'il reste ou quelque caille ou quelque tourterelle, c'est qu'elles se sont trouvées dans des cantons bien exposés au soleil. Les grands ramiers & les tourterelles se rassemblent en troupes, soit quand elles viennent, soit quand la saison de repartir est arrivée. Les cailles dans le tems de la passée se réunissent & elles vont bien tant que l'air est serein, ou que le vent du nord souffle : mais le vent du midi les incommode, parce qu'il est humide & pesant, & que d'ailleurs la caille n'a pas le vol

θηρεύοντες ἐπιχειρῦσι τοῖς νοτίοις. Οὐ πέτονται δὲ διὰ τὸ βάρος· πολὺ γὰρ τὸ σῶμα· διὸ καὶ βοῶντες πέτονται, πονῦσι γάρ. Οταν μὲν οὖν ἐκεῖθεν παραβάλλωσιν, οὐκ ἔχουσιν ἡγεμόνας· ὅταν δ' ἐντεῦθεν ἀπαίρωσιν, ἥ τε γλωττὶς συναπαίρει, καὶ ἡ ὀρτυγομήτρα, καὶ ὁ ὠτὸς, καὶ ὁ κύχραμος, ὅσπερ αὐτὺς καὶ ἀνακαλεῖται νύκτωρ. Καὶ ὅταν τούτυ τὴν φωνὴν ἀκούσωσιν οἱ θηρεύοντες, ἴσασιν ὅτι οὐ καταμένουσιν. Η δὲ ὀρτυγομήτρα παραπλήσιος τὴν μορφὴν τοῖς λιμναίοις ἐςί· καὶ ἡ γλωττὶς, γλῶτταν ἐξαγομένην ἔχουσα μέχρι πόῤῥω. Ο δὲ ὠτὸς ὅμοιος ταῖς γλαυξὶ, καὶ περὶ τὰ ὦτα πτερύγια ἔχων. Ενιοι δὲ αὐτὸν νυκτικόρακα καλοῦσιν. Εςι δὲ κόβαλος καὶ μιμητὴς, καὶ ἀντορχούμενος ἁλίσκεται, περιελθόντος θατέρου τῶν θηρευτῶν, καθάπερ γλαύξ. Ολως δὲ τὰ γαμψώνυχα πάντα βραχύτράχηλα, καὶ πλατύγλωττα, καὶ μιμητικά. Καὶ γὰρ τὸ Ινδικὸν ὄρνεον, ἡ ψιττάκη, τὸ λεγόμενον ἀνθρωπόγλωττον, τοιοῦτόν ἐςι· καὶ ἀκολαςότερον δὲ γίνεται ὅταν πίῃ οἶνον. Αγελαῖοι δὲ τῶν ὀρνίθων εἰσὶ, γέρανος, κύκνος, πελεκὰν, χὴν ὁ μικρός.

XIII. Τῶν δὲ ἰχθύων οἱ μὲν, ὥσπερ εἴρηται, μεταβάλλυσιν πρὸς
16. τὴν γῆν ἐκ τῦ πελάγους, καὶ εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς, φεύγοντες τὰς ὑπερβολὰς τῦ ψύχους καὶ τῆς ἀλέας. Αμείνυς δ' εἰσὶν οἱ πρόσγειοι τῶν πελαγίων. Πλείω γὰρ καὶ βελτίω νομὴν ἔχουσιν. Οπου γὰρ ἂν ὁ ἥλιος ἐπιβάλλῃ, φύεται πλείω, καὶ βελτίω, καὶ ἁπαλώτερα, οἷον ἐν κήποις· καὶ ὁ θὶς ὁ μέλας φύεται πρὸς τῇ γῇ, ὁ δ' ἄλλος ὅμοιός ἐςι τοῖς ἀγρίοις. Ετι δὲ καὶ κεκραμμένοι τυγχάνουσι καλῶς τῷ θερμῷ καὶ τῷ ψυχρῷ οἱ τόποι οἱ πρόσγειοι τῆς θαλάττης· διὸ καὶ σάρκες συνεςήκασι μᾶλλον τῶν τοιούτων ἰχθύων· τῶν δὲ πελαγίων ὑγραί εἰσι καὶ κεχυμέναι. Εἰσὶ δὲ πρόσγειοι, σινόδων, κάνθαρος, ὀρφὸς, χρύσοφρυς, κεςρεὺς, τρίγλη, κίχλη, δράκων, καλλιώνυμος, κωβιὸς, καὶ τὰ πετραῖα πάντα. Πελάγιοι δὲ,

facile;

facile : c'est ce qui fait choisir le tems où ce vent souffle, pour prendre les cailles. La difficulté qu'elles ont à voler vient de la pésanteur de leur corps qui est d'un volume considérable, & elles expriment par leurs cris la peine qu'elles éprouvent. Lorsque les cailles viennent en Grece, elles n'ont point d'autres oiseaux à leur tête qui les conduisent ; mais à leur départ, la *glottis* les accompagne, ainsi que la caille-mere, le hibou & le *cychrams*. Ce dernier même les appelle la nuit ; quand les chasseurs entendent sa voix, ils en concluent que les cailles partiront bientôt. La caille-mere a, à-peu-près, la forme des oiseaux d'étang ; la *glottis* à une langue fort longue qu'elle tire beaucoup hors du bec. Le hibou est semblable au chat-huant, & il a des plumes élevées autour des oreilles : quelques-uns l'appellent corbeau de nuit. Cet oiseau est grand causeur & aime à imiter ce qu'il voit faire. On le prend comme le chat-huant ; tandis qu'il contrefait la danse d'un des chasseurs, l'autre le tourne & l'attrape. Un attribut commun à tous les oiseaux qui ont l'ongle recourbé c'est d'avoir le col court, la langue large, & d'imiter ce qu'ils voient faire. Tel est aussi le perroquet, cet oiseau indien, qu'on appelle *langue humaine*. Il est plus mutin & plus indocile quand il boit du vin. Les oiseaux qui vivent en troupe sont la grue, le cygne, le pélican, & l'oie de la petite espece.

A l'égard des poissons, j'ai déja dit qu'une partie d'entr'eux passoit tantôt XIII.
de la haute mer vers les côtes, tantôt des côtes en haute mer, pour éviter 16.
l'excès du froid & de la chaleur. Les poissons qui habitent les côtes surpassent en bonté ceux qui habitent la haute mer, parce qu'ils y ont une nourriture & meilleure & plus abondante : car les lieux sur lesquels le soleil frappe produisent davantage. Leurs fruits sont d'une qualité supérieure & plus tendres, comme on le voit dans les jardins. L'algue noire vient sur les côtes : l'autre espece d'algue ressemble à une herbe sauvage. Enfin les parages voisins de la côte jouissent d'une température plus égale l'hyver & l'été, ce qui donne plus de consistance à la chair des poissons de ces lieux, tandis que celle des poissons de haute mer est lâche & humide. Les poissons qui se tiennent sur les côtes sont le dentale, le scarabée, l'*orphus*, la dorade, le muge, le surmulet, la grive, la vive, le callionyme, le goujon & tous les

τρυγὼν, καὶ τὰ σελάχη, καὶ γόγγροι οἱ λευκοὶ, χάννη, ἐρυθρῖνος, γλαῦκος. Φάγροι δὲ, καὶ σκορπίοι, καὶ γόγγροι οἱ μέλανες, καὶ μύραιναι, καὶ κόκκυγες, ἐπαμφοτερίζουσιν. Εἰσὶ δὲ διαφοραὶ τούτων καὶ κατὰ τοὺς τόπους· οἷον περὶ Κρήτην οἱ κωβιοὶ καὶ τὰ πετραῖα πάντα, πίονα γίνεται. Γίνεται δὲ καὶ ὁ θύννος ἀγαθὸς πάλιν μετὰ ἀρκτοῦρον. Ἤδη γὰρ οἰστρῶν παύεται ταύτην τὴν ὥραν· διὰ γὰρ τοῦτο ἐν τῷ θέρει χείρων ἐστί. Γίνονται δὲ καὶ ἐν ταῖς λιμνοθαλάτταις πολλοὶ τῶν ἰχθύων, οἷον σάλπαι, χρύσοφρυς, τρίγλη, καὶ τῶν ἄλλων σχεδὸν οἱ πλεῖστοι. Γίνονται δὲ καὶ αἱ ἄμιαι, οἷον περὶ Ἀλωπεκόννησον· καὶ ἐν τῇ Βιστωνίδι λίμνῃ ἔνεστι πλεῖστα γένη τῶν ἰχθύων.

Τῶν δὲ κολίων οἱ πολλοὶ, εἰς μὲν τὸν Πόντον οὐκ ἐμβάλλουσιν, ἐν δὲ τῇ Προποντίδι θερίζουσι καὶ ἐκτίκτουσι, χειμάζουσι δ᾽ ἐν τῷ Αἰγαίῳ. Θυννίδες δὲ καὶ πηλαμίδες, καὶ ἄμιαι, εἰς τὸν Πόντον ἐμβάλλουσι τοῦ ἔαρος, καὶ θερίζουσι. Σχεδὸν δὲ καὶ οἱ πλεῖστοι τῶν ῥυάδων τε καὶ ἀγελαίων ἰχθύων· εἰσὶ δὲ οἱ πλεῖστοι ἀγελαῖοι· ἔχουσι δὲ οἱ ἀγελαῖοι ἡγεμόνα. Πάντες δὲ εἰσπλέουσιν εἰς τὸν Πόντον, διά τε τὴν τροφήν· ἡ γὰρ νομὴ καὶ πλείων καὶ βελτίων διὰ τὸ πότιμον· καὶ διὰ τὰ θηρία τὰ μεγάλα, ὅτι ἐλάττω εἰσὶν ἐκεῖσε. Ἔξω γὰρ φωκαίνης καὶ δελφῖνος, οὐδέν ἐστιν ἐν τῷ Πόντῳ· καὶ ὁ δελφὶς μικρός· ἔξω δὲ εὐθὺς προελθόντι μεγάλοι. Διά τε δὴ τὴν τροφὴν εἰσπλέουσι, καὶ διὰ τὸν τόκον. Τόποι γάρ εἰσιν ἐπιτήδειοι εἰς τὸ τίκτειν· καὶ τὸ πότιμον, καὶ τὸ γλυκύτερον ὕδωρ ἐκτρέφει τὰ κυήματα. Ὅταν δὲ τέκωσι, καὶ τὰ γεννώμενα αὐξηθῇ, ἐκπλέουσιν εὐθὺς μετὰ πλειάδα. Ἂν μὲν οὖν νότιος ὁ χειμὼν ᾖ, βραδύτερον ἐκπλέουσιν· ἂν δὲ βόρειος, θᾶττον· διὰ τὸ τὸ πνεῦμα συνεπουρίζειν· καὶ ὁ γόνος δὲ τότε μικρὸς ἁλίσκεται περὶ Βυζάντιον, ἅτ᾽ οὐ γενομένης ἐν τῷ Πόντῳ πολλῆς διατριβῆς. Οἱ μὲν οὖν ἄλλοι καὶ ἐκπλέοντες καὶ εἰσπλέοντες δηλοί εἰσιν· οἱ δὲ τριχίαι μόνοι

poissons saxatiles. En haute mer sont les selaques, la pastenaque, les congres blancs, le serran, le rouget, le *glaucus*. A l'égard des pagres, des scorpions, des congres noirs, des murenes, des coucous, on les trouve dans la haute mer comme près des côtes. La diversité des parages met encore de la différence entre les poissons. Ainsi les goujons & tous les saxatiles deviennent gras aux environs de l'isle de Créte. Le thon reprend sa qualité après le lever de l'arcture, parce qu'alors il est délivré de l'œstre qui le tourmente en été, ce qui le rend beaucoup moins bon. Les étangs formés par la mer sont également peuplés de poissons. On y prend la saupe, la dorade, le surmulet, & on peut dire la plûpart des autres poissons. Les bonitons y viennent aussi, comme auprès d'Alopeconnese; dans l'étang de Biston on trouve la plupart des especes de poissons.

La majeure partie des *colias* n'entrent point dans le Pont; ils passent l'été dans la Propontide: & y frayent; l'hiver, ils se rendent dans la mer Egée. Les femelles des thons, les pélamides & les bonitons entrent dans le Pont au printems, & y demeurent l'été. Il en est de même de la plupart des poissons nommés *ruades*, & de ceux qui vivent en troupe. Le nombre des poissons qui vivent en troupe est considérable, & ils ont un chef qui les conduit. Ils passent tous dans le Pont, soit à cause de la nourriture qui y est en plus grande quantité & meilleure, à raison de l'abondance des eaux douces; soit à cause que les grands poissons voraces sont moins communs dans cette mer. On n'y en trouve point d'autres que le dauphin & la *phocene*, encore le dauphin y est-il petit; dès que l'on sort du Pont, on trouve de grands dauphins. Les poissons s'y rendent donc & pour s'y nourrir & pour y faire leur ponte. Cette mer leur offre des endroits commodes pour déposer le frai, & des eaux potables & plus douces qu'ailleurs pour la nourriture des petits poissons. Quand leur ponte est faite & que leurs petits ont pris quelque croissance, ils sortent du Pont d'abord après le lever des Pléiades. Si le vent du midi regne pendant l'hiver, ils sortent plus tard: si c'est le vent du nord, ils sortent plutôt, parce que ce vent favorise leur sortie; & alors le poisson de l'année qu'on prend aux environs de Byzance est plus petit, parce qu'il a séjourné moins long-tems dans le Pont. Les poissons que l'on voit entrer dans le Pont, on les en voit aussi sortir, excepté le *trichias*. C'est le seul qu'on prenne à son entrée dans le Pont, mais qu'on

τῶν ἰχθύων εἰσπλέοντες μὲν ἁλίσκονται, ἐκπλέοντες δὲ οὐχ ὁρῶνται· ἀλλ᾽ ὅταν καὶ ληφθῇ τις περὶ Βυζάντιον, οἱ ἁλιεῖς τὰ δίκτυα περικαθαίρουσι, διὰ τὸ μὴ εἰωθέναι ἐκπλεῖν. Αἴτιον δὲ ὅτι ἤτοι μόνοι ἀναπλέουσιν εἰς τὸν Ἴστρον· εἶθ᾽ ᾗ σχίζεται, καταπλέουσιν εἰς τὸν Ἀδρίαν. Σημεῖον δέ· καὶ γὰρ συμβαίνει τοὐναντίον, εἰσπλέοντες μὲν γὰρ οὐχ ἁλίσκονται εἰς τὸν Ἀδρίαν· ἐκπλέοντες δὲ ἁλίσκονται. Εἰσπλέουσι δὲ οἱ θύννοι ἐπὶ δεξιὰ, ἐχόμενοι τῆς γῆς· ἐκπλέουσι δ᾽ ἐπ᾽ ἀριστερά. Τοῦτο δέ φασίν τινες ποιεῖν ὅτι τῷ δεξιῷ ὀξύτερον ὁρῶσι φύσει, τῷ δ᾽ ἀριστερῷ οὐκ ὀξὺ βλέπουσι.

Τὴν μὲν οὖν ἡμέραν οἱ ῥυάδες κομίζονται, τὴν δὲ νύκτα ἡσυχάζουσι καὶ νέμονται, ἐὰν μὴ σελήνη ᾖ· τότε δὲ κομίζονται καὶ οὐχ ἡσυχάζουσι. Λέγουσι δέ τινες τῶν περὶ τὴν θάλατταν, ὡς ὅταν τροπαὶ χειμεριναὶ γίνωνται, οὐκέτι κινοῦνται, ἀλλ᾽ ἡσυχάζουσιν, ὅπου ἂν τύχωσι καταληφθέντες, μέχρι ἰσημερίας. Οἱ μὲν οὖν κολίαι εἰσιόντες ἁλίσκονται· ἐξιόντες δὲ, ἧττον. Ἄριστοι δέ εἰσιν ἐν τῇ Προποντίδι πρὸ τοῦ τίκτειν. Οἱ δ᾽ ἄλλοι ῥυάδες, ἐξιόντες ἐκ τοῦ Πόντου ἁλίσκονται μᾶλλον, καὶ ἄριστοι τότε εἰσίν. Ὅταν δὲ εἰσπλέωσιν, ἐγγύτατα τοῦ Αἰγαίου πιότατοι ἁλίσκονται, ὅσῳ δ᾽ ἀνωτέρω ἀεὶ λεπτότεροι. Πολλάκις δὲ καὶ ὅταν πνεῦμα ἀντικόψῃ νότιον, συνεκπλέουσι τοῖς κολίαις καὶ τοῖς σκόμβροις, καὶ κάτω ἁλίσκονται μᾶλλον ἢ περὶ Βυζάντιον.

17. Τοὺς μὲν οὖν ἐκτοπισμοὺς τοῦτον ποιοῦνται τὸν τρόπον. Τὸ δ᾽ αὐτὸ τοῦτο συμβαίνει πάθος καὶ ἐπὶ τῶν χερσαίων κατὰ τὴν φωλείαν. Τοῦ μὲν γὰρ χειμῶνος ὁρμῶσι πρὸς τὴν φωλείαν, ἀπαλλάττονται δὲ κατὰ τὴν θερμοτέραν ὥραν. Ποιοῦνται δὲ τὰ ζῶα καὶ τὰς φωλείας πρὸς τὴν βοήθειαν καὶ τὰς ὑπερβολὰς τῆς ὥρας ἑκατέρας. Φωλεῖ δὲ τῶν μὲν ὅλον τὸ γένος· ἐνίων δὲ τὰ μὲν, τὰ δ᾽ οὔ. Τὰ μὲν γὰρ ὀστρακόδερμα πάντα φωλεῖ· οἷον τά τε ἐν τῇ θαλάττῃ πορφύραι, καὶ κήρυκες, καὶ πᾶν τὸ τοιοῦτο

ne voye point sortir de cette mer. Si par hazard il s'en prend quelqu'un auprès de Byzance hors du tems où ils entrent, les pêcheurs purifient leurs filets, tant il est rare que ces poissons sortent du Pont par le détroit. La raison de cette singularité est que les *trichias* seuls remontent le Danube, & descendent ensuite par un de ses bras, dans la mer Adriatique ; & la preuve de ce fait est qu'on observe dans la mer Adriatique précisément le contraire de ce qui arrive dans le Pont : on ne prend point de *trichias* qui entrent dans la mer Adriatique, mais on en prend qui en sortent. Lorsque les thons entrent dans le Pont, ils rasent la côte qui est à droite, & à leur retour ils rasent celle qui est à gauche. Cela vient, dit-on, de ce qu'ils voyent mieux de l'œil droit que de l'œil gauche.

Les ruades voyagent le jour ; la nuit ils restent tranquilles & prennent leur nourriture, à moins qu'il ne fasse clair de lune : en ce cas ils ne se reposent point, mais ils continuent à avancer. Des gens qui fréquentent la mer disent que quand le solstice d'hiver arrive, ces poissons n'avancent plus & restent à l'endroit où le solstice les trouve, jusqu'à l'équinoxe du printems. On prend les *colias* à leur entrée dans le Pont, on en prend peu lorsqu'ils sortent, & c'est dans la Propontide qu'ils sont meilleurs, avant d'avoir jetté leur frai. Les autres *ruades* se pêchent plus volontiers en sortant du Pont : c'est le moment où ils sont les meilleurs. Ceux qu'on prend dans la saison où ils entrent dans le Pont, sont d'autant plus gras qu'il sont pêchés plus près de la mer Egée ; plus ils ont remonté vers le Pont, plus on les trouve maigres. Lorsque des vents violens du midi les ont arrêtés, il n'est pas rare de les voir sortir du Pont de compagnie avec les *colias*. & les maquereaux, & alors on les pêche plutôt au-dessous de Byzance que devant cette ville.

Je viens de rendre compte des transmigrations des poissons. Les Animaux 17.
terrestres sont également affectés de la variété des saisons. L'hiver ils se réfugient dans leurs retraites ; & ils les quittent lorsque le tems devient plus doux. C'est pour se garantir de l'excès ou du chaud ou du froid qu'ils se retirent ainsi. Il est des especes où tous les individus se retirent également ; il en est d'autres où une partie de ces individus seulement disparoît. Les testacées se retirent tous pendant un tems : voyez parmi ceux qui habitent la mer, les pourpres, les buccins & tous les autres Animaux de ce genre. Seulement il

γένος. Αλλὰ τῶν μὲν ἀπολελυμένων ἐπιδηλότερός ἐςιν ἡ φωλεία· κρύπτουσι γὰρ αὐτὰ, οἷον οἱ κτένες· τὰ δὲ ἔχει ἐπιπολῆς ἐπικάλυμμα, οἷον οἱ χερσαῖοι κοχλίαι· τῶν δ' ἀναπολύτων, ἄδηλος ἡ μεταβολή. Φωλοῦσι δὲ οὐ τὴν αὐτὴν ὥραν· ἀλλ' οἱ μὲν κοχλίαι τοῦ χειμῶνος, αἱ δὲ πορφύραι, καὶ οἱ κήρυκες, ὑπὸ κύνα περὶ ἡμέρας τριάκοντα· καὶ οἱ κτένες περὶ τὸν αὐτὸν χρόνον. Τὰ δὲ πλεῖςα αὐτῶν φωλεῖ καὶ ἐν τοῖς σφόδρα ψύχεσι, καὶ ἐν ταῖς σφόδρα ἀλέαις.

XIV. Τὰ δ' ἔντομα σχεδὸν ἅπαντα φωλεῖ, πλὴν εἴ τι ἐν ταῖς οἰ-
18. κήσεσι συνανθρωπεύεται αὐτῶν, καὶ ὅσα φθείρεται καὶ μὴ διετίζει. Ταῦτα δὲ φωλεῖ τοῦ χειμῶνος. Φωλεῖ δὲ τὰ μὲν πλείους ἡμέρας, τὰ δὲ τὰς χειμεριωτέρας, οἷον αἱ μέλιτται· καὶ γὰρ αὗται φωλοῦσι. Σημεῖον δ' ὅτι οὐδὲν φαίνονται γευόμεναι τῆς παρακειμένης τροφῆς· καὶ ἐάν τις αὐτῶν ἐξερπύσῃ, φαίνεται διαφανὴς, καὶ οὐδὲν ἐν τῇ κοιλίᾳ ἐνὸν δῆλον. Ησυχάζει δ' ἀπὸ πλειάδος δύσεως μέχρι τοῦ ἔαρος. Ποιεῖται δὲ τὰ ζῶα τὰς φωλείας ἀποκρυπτόμενα ἐν ἀλεεινοῖς, καὶ ἐν οἷς εἴωθε τόποις ἐπικοιτάζεσθαι.

XV. Φωλεῖ δὲ πολλὰ καὶ τῶν ἐναίμων· οἷον τά τε φολιδωτὰ,
19. ὄφεις τε, καὶ σαῦραι, καὶ ἀσκαλαβῶται, καὶ κροκόδειλοι οἱ ποτάμιοι, τέτταρας μῆνας τοὺς χειμεριωτάτους, καὶ οὐκ ἐσθίουσιν οὐδέν. Οἱ μὲν οὖν ἄλλοι ὄφεις ἐν τῇ γῇ φωλεύουσιν· αἱ δὲ ἔχιδναι ὑπὸ τὰς πέτρας κρύπτουσιν ἑαυτάς.

20. Φωλοῦσι δὲ πολλοὶ καὶ τῶν ἰχθύων· ἐμφανέςατα δὲ ἵππουρος καὶ κορακῖνος, τοῦ χειμῶνος. Οὗτοι γὰρ μόνοι οὐχ ἁλίσκονται οὐδαμοῦ, πλὴν κατά τινας χρόνους τακτοὺς καὶ τοὺς αὐτοὺς, ἀεί. Τὰ δὲ λοιπὰ πάντα σχεδόν φωλεῖ, καὶ μύραινα, καὶ ὀρφὸς, καὶ γόγγρος. Κατὰ συζυγίας δὲ καὶ οἱ πετραῖοι φωλεύουσιν, οἱ ἄῤῥενες τοῖς θήλεσιν, ὥσπερ καὶ νεοττεύουσιν· οἷον κίχλαι, κόττυφοι, πέρκαι. Φωλοῦσι δὲ καὶ οἱ θύννοι τοῦ χειμῶνος

faut obſerver que la retraite de ceux de ces Animaux qui ne ſont point adhérens à un corps fixe, eſt plus ſenſible que celle des autres. Les uns ſe cachent entiérement, comme les petoncles, d'autres comme les limaçons de terre, ſe couvrent ſeulement d'une croute legere : la retraite des teſtacées qui ſont adhérens à un corps n'eſt pas ſenſible. Le tems où les uns & les autres ſe retirent n'eſt pas non plus le même. C'eſt en hiver que les limaçons ſe cachent; la retraite des pourpres & des buccins dure trente jours pendant la canicule; celle des pétoncles arrive dans le même tems. Dans une ſaiſon comme dans l'autre, c'eſt toujours le tems ou des grands froids ou des grands chauds qui eſt celui de leur retraite.

Il eſt peu d'inſectes qui ne ſe cachent quelque tems, ſi l'on excepte ceux qui habitent avec l'homme, & ceux qui périſſent avant de voir la révolution de l'année. L'hiver eſt la ſaiſon de leur retraite, mais elle eſt plus longue pour les uns, tandis que les autres y demeurent ſeulement le tems du plus grand froid. Je donne pour exemple les abeilles : elles ont ſûrement un têms de retraite : la preuve, c'eſt que quoiqu'elles ayent alors de la nourriture devant elles, on ne les voit point y toucher; s'il en ſort quelqu'une, elle paroît tranſparente : on n'apperçoit rien dans ſon eſtomac. L'inertie des abeilles dure depuis le coucher des pléiades juſqu'au printems. Les Animaux choiſiſſent pour leur retraite d'hiver, des endroits chauds, & les lieux où ils ont habitude de prendre leur repos ordinaire. XIV. 18.

XV.

Beaucoup d'Animaux de la claſſe de ceux qui ont du ſang ſe retirent auſſi : 19.
ceux par exemple qui ont la peu écailleuſe, tels que les ſerpens, les lézards, les ſtellions & les crocodiles de riviere. Ces Animaux reſtent cachés pendant les quatre mois les plus froids de l'hiver, ſans rien manger. La vipere ſe retire ſous les pierres, les autres ſerpens ſe cachent dans la terre.

Parmi les poiſſons même, il en eſt qui ont des retraites pour l'hiver. On peut 20.
aiſément s'en aſſurer, ſur-tout à l'égard de l'hippure & du coracin. Dans tous les lieux où l'on en pêche, ce n'eſt que pendant certains eſpaces de tems déterminés & qui ſont toujours les mêmes. Ces poiſſons ſont les ſeuls dont la diſparution ſoit auſſi marquée. Cependant preſque tous les autres ont auſſi un tems où ils ſe retirent : la murene par exemple, l'*orphus* & le congre. Les poiſſons ſaxatiles ſe retirent par couples, les mâles avec les femelles : de la même maniere qu'ils ſe réuniſſent pour produire. On peut citer pour exemple les grives, les merles & les perches. Les thons ſe retirent l'hiver dans les lieux

ἐν τοῖς βάθεσι, καὶ γίνονται πιότατοι μετὰ τὴν φωλείαν, καὶ ἄρχονται θηρεύεσθαι ἀπὸ πλειάδος ἀνατολῆς, μέχρι ἀρκτούρου δύσεως τὸ ἔσχατον· τὸν δ᾽ ἄλλον χρόνον ἡσυχίαν ἔχουσι φωλοῦντες. Ἁλίσκονται δ᾽ ἔνιοι περὶ τὸν χρόνον τῆς φωλείας, καὶ τούτων, καὶ τῶν ἄλλων τινὲς τῶν φωλούντων, κινούμενοι ἐν ἀλεεινοῖς τόποις, καὶ εἰ ἐπιτείνονται αἱ εὐδίαι παράλογοι· ἀπὸ γὰρ τῆς θαλάμης προέρχονται μικρὸν ἐπὶ νομὴν, καὶ ταῖς πανσελήνοις. Εἰσὶ δὲ οἱ πολλοὶ φωλοῦντες ἥδιστοι. Αἱ δὲ πριμαδίαι κρύπτουσιν ἑαυτὰς ἐν τῷ βορβόρῳ. Σημεῖον δὲ, τότε μὴ ἁλίσκεσθαι, ἰλὺν δ᾽ ἔχουσαι τῷ νώτῳ φαίνονται πολλὴν, καὶ τὰ πτερύγια ἐντεθλιμμένα. Κατὰ δὲ τὴν ἐαρινὴν ὥραν κινοῦνται, καὶ προέρχονται πρὸς τὴν γῆν ὀχευόμεναι καὶ τίκτουσαι, καὶ ἁλίσκονται κύουσαι, καὶ τότε ὡραῖοι δοκοῦσιν εἶναι· οἱ δὲ μετοπωρινοὶ καὶ χειμερινοὶ, χείρους. Ἅμα δὲ καὶ οἱ ἄῤῥενες φαίνονται πλήρεις ὄντες θοροῦ. Ὅταν μὲν οὖν μικρὰ τὰ κυήματα ἔχωσι, δυσάλωτοί εἰσιν· ὅταν δὲ μείζω, πολλοὶ ἁλίσκονται, διὰ τὸ οἰστρᾶν. Φωλεῖ δὲ τὰ μὲν ἐν τῇ ἄμμῳ· τὰ δὲ ἐν τῷ πηλῷ, ὑπερέχοντα τὸ στόμα μόνον. Τὰ μὲν οὖν πλεῖστα φωλεῖ τοῦ χειμῶνος· τὰ δὲ μαλακόστρακα, καὶ τῶν ἰχθύων οἱ πετραῖοι, καὶ βάτοι, καὶ τὰ σελαχώδη, τὰς χειμεριωτάτας μόνον ἡμέρας· δηλοῖ δὲ, τὸ μὴ ἁλίσκεσθαι ὅταν ᾖ ψύχη. Ἔνιοι δὲ τῶν ἰχθύων φωλοῦσι καὶ τοῦ θέρους, οἷον ὁ γλαῦκος. Οὗτος γὰρ τοῦ θέρους φωλεῖ περὶ ἑξήκονθ᾽ ἡμέρας. Φωλεῖ δὲ καὶ ὁ ὄνος, καὶ ὁ χρύσοφρυς. Σημεῖον δὲ δοκεῖ εἶναι τοῦ τὸν ὄνον φωλεῖν πλεῖστον χρόνον, τὸ διὰ πλείστου ἁλίσκεσθαι χρόνου. Τοῦ δὲ καὶ θέρους τοὺς ἰχθῦς φωλεῖν δοκεῖ σημεῖον εἶναι τὸ ἐπὶ τοῖς ἄστροις γίνεσθαι τὰς ἁλώσεις, καὶ μάλιστα ἐπὶ κυνί. Την καῦτα γὰρ ἀνατρέπεσθαι τὴν θάλατταν· ὅπερ ἐν τῷ Βοσπόρῳ γνωριμώτερόν ἐστιν. Ἡ γὰρ ἰλὺς ἐπάνω γίνεται, καὶ ἐπιφέρονται οἱ ἰχθύες. Φασὶ δὲ καὶ πολλάκις τριβομένου τοῦ βυθοῦ ἁλίσκεσθαι πλείους ἐν τῷ αὐτῷ βόλῳ τὸ δεύτερον ἢ τὸ πρῶτον. Ἐπειδὰν δ᾽ ὄμβροι μεγάλοι γίγνωνται, πολλὰ φαίνονται ζῶα, τῶν πρότερον ἢ ὅλως οὐχ ἑωραμένων, ἢ οὐ πολλάκις.

οἱ

où la mer est profonde ; ils deviennent plus gros après ce tems, & on commence à les prendre depuis le lever de la pléiade, jusqu'au coucher de l'arcture pour le plus tard : hors cet intervalle ils se tiennent tranquilles dans leurs retraites. Cependant vers le tems où ils commencent à se retirer on prend encore quelque thons, & de même quelques-uns des autres poissons qui sont sujets à disparoître : ce sont quelques individus que la température des lieux où ils se trouvent, ou bien une suite de beaux jours qui arriveront quelquefois dans une saison dans laquelle on ne devoit pas les attendre, font mettre en mouvement. Alors ils sortent un peu pour prendre de la nourriture, & cela arrive sur-tout dans les pleines lunes. La plûpart des poissons ne sont jamais plus agréables au goût que dans le tems où ils se cachent. J'excepte les *primades* ; elles se cachent en s'enfonçant dans la bourbe : on en juge parce que l'on est un tems sans en prendre, & que si pendant ce tems on en rencontre quelqu'une, elle a beaucoup de limon sur le dos, & les nageoires froissées. Au printems elles sortent & s'avançent vers les côtes, où elles s'accouplent & font leurs petits ; on les prend pleines, & c'est à ce qu'il paroît la saison de les manger : celles qu'on prend en automne ou en hiver sont moins bonnes. Les mâles aussi sont, dans ce même tems, pleins de laite. Lorsque leurs œufs sont encore petits, elles sont difficiles à prendre ; quand ils sont devenus plus gros on en prend beaucoup, à cause de l'œstre qui les tourmente. Il y a des poissons qui se cachent dans le sable, d'autres dans le limon : on ne leur voit que la bouche. La plupart se cachent tout l'hiver ; mais les crustacées, les poissons saxatiles, les raies & autres sélaques ne demeurent cachés que les jours de l'hiver les plus froids : la preuve est qu'on n'en prend point ces jours-là. Quelques poissons disparoissent en été : le *glaucus* par exemple, qui demeure caché environ soixante jours pendant cette saison. L'âne & la dorade sont aussi du nombre des poissons qui se retirent ; une preuve que le premier demeure caché long-tems, c'est qu'on est un long intervalle sans en prendre. Il semble que l'on peut donner comme une autre preuve de la retraite de certains poissons qui se cachent en été, les pêches qui se font au lever des constellations, & surtout au lever de la canicule. On prétend que la mer éprouve alors une sorte de bouleversement ; ce qui est sensible sur-tout dans le Bosphore. On voit le limon remonter & les poissons nager à la surface des eaux. On dit aussi que souvent il arrive qu'en remuant le fond de l'eau, le même filet prend bien plus de poissons la seconde fois qu'on le jette, que la premiere. Enfin lorsqu'il tombe de grandes pluies, on voit paroître plusieurs Animaux que l'on n'avoit pas vus précédemment, ou que l'on n'avoit vus que rarement.

XVI. 21. Φωλεῦσι δὲ πολλοὶ καὶ τῶν ὀρνίθων, καὶ οὐχ, ὥς τινες οἴονται, εἰς ἀλεεινοὺς τόπους ἀπέρχονται πάντες· ἀλλ' οἱ μὲν πλησίον ὄντες τοιούτων τόπων ἐν οἷς ἀεὶ διαμένουσι, οἷον ἰκτῖνοι καὶ χελιδόνες, ἀποχωροῦσιν ἐνταῦθα· οἱ δὲ πορρωτέρω ὄντες τῶν τοιούτων, οὐκ ἐκτοπίζουσιν, ἀλλὰ κρύπτουσιν ἑαυτούς. Ἤδη γὰρ ὤμμέναι εἰσὶ πολλαὶ χελιδόνες ἐν ἀγγείοις ἐψιλωμέναι πάμπαν, καὶ ἰκτῖνοι ἐκ τοιούτων ἐκπετόμενοι χωρίων ὅταν φαίνωνται τὸ πρῶτον. Φωλοῦσι δὲ οὐδὲν διακεκριμένως, καὶ τῶν γαμψωνύχων καὶ τῶν εὐθυωνύχων. Φωλεῖ γὰρ καὶ πελαργὸς, καὶ κόττυφος καὶ τρυγὼν, καὶ κόρυδος. Καὶ ἥ γε τρυγὼν ὁμολογουμένως μάλιστα πάντων. Οὐδεὶς γὰρ, ὡς εἰπεῖν, λέγεται τρυγόνα ἰδεῖν οὐδαμοῦ χειμῶνος. Ἄρχεται δὲ τῆς φωλείας σφόδρα πίειρα οὖσα, καὶ πτερορρυεῖ μὲν ἐν τῇ φωλείᾳ· παχεῖα μέντοι διατελεῖ οὖσα. Τῶν δὲ φασσῶν ἔνιαι μὲν φωλοῦσιν, ἔνιαι δὲ οὐ φωλοῦσιν, ἀπέρχονται δὲ ἅμα ταῖς χελιδόσι. Φωλεῖ δὲ καὶ ἡ κίχλη, καὶ ὁ ψάρος, καὶ τῶν γαμψωνύχων ὀλίγας ἡμέρας ἰκτῖνος, καὶ ἡ γλαῦξ.

XVII. 22. Τῶν δὲ ζωοτόκων καὶ τετραπόδων φωλοῦσιν οἵ τε ὕστριχες καὶ αἱ ἄρκτοι. Ὅτι μὲν οὖν φωλοῦσιν αἱ ἄγριαι ἄρκτοι, φανερόν ἐστι· πότερον δὲ διὰ ψῦχος, ἢ δι' ἄλλην αἰτίαν, ἀμφισβητεῖται. Γίνονται γὰρ περὶ τὸν χρόνον τοῦτον οἱ ἄρρενες καὶ αἱ θήλειαι πιότατοι, ὥστε μὴ εὐκίνητοι εἶναι. Ἡ δὲ θήλεια, καὶ τίκτει περὶ τοῦτον τὸν καιρὸν, καὶ φωλεῖ ἕως ἂν ἐξάγειν ὥρα ᾖ τοὺς σκύμνους. Τοῦτο δὲ ποιεῖ τοῦ ἔαρος περὶ τρίτον μῆνα ἀπὸ τροπῶν· τὸ δ' ἐλάχιστον φωλεῖ περὶ τετταράκοντα ἡμέρας. Τούτων δὲ δὶς ἑπτὰ λέγουσιν ἐν αἷς οὐδὲν κινεῖται, ἐν δὲ ταῖς πλείοσι ταῖς μετὰ ταῦτα, φωλεῖ μὲν, κινεῖται δὲ καὶ ἐγείρεται. Κύουσα δ' ἄρκτος, ἢ ὑπ' οὐδενὸς, ἢ πάνυ ὑπ' ὀλίγων εἴληπται. Ἐν δὲ τῷ χρόνῳ τούτῳ φανερόν ἐστιν ὅτι οὐδὲν ἐσθίουσιν· οὔτε γὰρ ἐξέρχονται· ὅταν δὲ ληφθῶσι, κενὰ φαίνεται ἥ τε κοιλία καὶ τὰ ἔντερα. Λέγεται δὲ, διὰ τὸ μηδὲν προσφέρεσθαι, τὸ ἔντερον ὀλίγου συμφύεσθαι

Un grand nombre d'oiseaux ont pareillement des retraites ; & il ne faut XVI.
pas croire comme le prétendent quelques-uns, que tous ceux qui disparoissent 21.
s'en aillent dans des climats plus chauds. On peut voir les milans & les hirondelles : ceux dont la demeure habituelle est voisine de tels climats, y passent : ceux qui en sont plus éloignés ne quittent point le pays où ils vivent, mais s'y procurent des retraites, où ils se réfugient. On a trouvé, par exemple, des quantités d'hirondelles dans des creux, toutes dépouillées de plumes. On a vu aussi des milans sortir de pareils endroits, dans la saison où ils paroissent pour la premiere fois. Il n'y a point de différence à cet égard entre les oiseaux qui ont l'ongle recourbé & ceux qui l'ont droit. Dans l'un & l'autre genre il se trouve des especes qui se réfugient dans des retraites. Ainsi la cicogne, le merle, la tourterelle, l'alouette, se cachent également. La tourterelle est l'oiseau dont on peut l'assurer avec plus de certitude. Car on ne croit pas qu'en aucun pays, aucun homme puisse dire avoir vu une tourterelle l'hiver. Au moment où elle entre dans sa retraite elle est extrêmement grasse ; & quoiqu'ensuite les plumes de ses aîles tombent, elle conserve sa graisse. Dans l'espece des ramiers il en est qui se retirent dans des lieux cachés, d'autres ne le font pas, mais quittent le pays, en même tems que les hirondelles. La grive & l'étourneau sont du nombre de ceux qui se cachent. Parmi les oiseaux qui ont l'ongle recourbé, le milan & le chat-huant demeurent cachés pendant quelques jours.

Parmi les quadrupedes vivipares, le porc-épic & l'ours se cachent. Le fait XVII.
de la retraite des ours sauvages est certain, mais se retirent-ils à cause du froid 22.
ou pour quelque autre raison ? on l'ignore. Tous, mâles comme femelles, deviennent alors extrêmement gras ; tellement qu'il leur est difficile de se remuer. C'est dans ce même tems que la femelle met bas, & elle reste cachée jusqu'au moment de mener ses petits dehors. Elle les fait sortir au printems : environ trois mois après le solstice. Le moindre espace de tems que dure sa retraite est de quarante jours ou environ ; on prétend que pendant quatorze de ces jours elle demeure absolument immobile : le surplus du tems, quoiqu'elle ne sorte pas, elle est éveillée & elle agit. On n'a jamais pris d'ourse pleine, au moins cela est-il très-rare. La preuve que pendant le tems de leur retraite les ours ne mangent rien, c'est d'abord qu'ils ne sortent point ; ensuite, que ceux que l'on prend alors ont le ventre & les intestins vuides. On ajoute que

αὐτῇ καὶ διὰ τοῦτο πρῶτον ἐξιοῦσαν γεύεσθαι τοῦ ἄρου, πρὸς τὸ ἀφεστάναι τὸ ἔντερον καὶ διευρύνειν. Φωλεῖ δὲ καὶ ὁ ἐλειὸς ἐν αὐτοῖς τοῖς δένδρεσι, καὶ γίνεται τότε παχύτατος· καὶ ὁ μῦς ὁ ποντικὸς ὁ λευκός.

23. Τῶν δὲ φωλούντων ἔνιοι τὸ καλούμενον γῆρας ἐκδύουσιν. Ἐστι δὲ τοῦτο ἔσχατον δέρμα, καὶ τὸ περὶ τὰς γενέσεις κέλυφος. Τῶν μὲν οὖν πεζῶν καὶ ζωοτόκων, περὶ τῆς ἄρκτου ἀμφισβητεῖται ἡ αἰτία τῆς φωλείας, καθάπερ ἐλέχθη πρότερον· τὰ δὲ φολιδωτὰ φωλεῖ μὲν σχεδὸν τὰ πλεῖστα· ἐκδύνει δὲ τὸ γῆρας ὅσων τὸ δέρμα μαλακὸν καὶ μὴ ὀστρακῶδες, ὥσπερ τῆς χελώνης· καὶ γὰρ ἡ χελώνη τῶν φολιδωτῶν ἐστι, καὶ ἐμύς· οἷον ἀσκαλαβώτης τε καὶ σαῦρος, καὶ μάλιστα πάντων οἱ ὄφεις· ἐκδύνουσι γὰρ καὶ τοῦ ἔαρος ὅταν ἐξιῶσι, καὶ τοῦ μετοπώρου πάλιν. Ἐκδύνουσι δὲ καὶ οἱ ἔχεις τὸ γῆρας καὶ τοῦ ἔαρος καὶ τοῦ μετοπώρου, καὶ οὐχ ὥσπερ τινές φασι, τοῦτο τὸ γένος τῶν ὄφεων μὴ ἐκδύεσθαι μόνον. Ὅταν δὲ ἄρχωνται ἐκδύνειν οἱ ὄφεις, ἀπὸ τῶν ὀφθαλμῶν ἀφίστασθαι πρῶτόν φασιν, ὥστε δοκεῖν γίνεσθαι τυφλοὺς τοῖς μὴ συνιοῦσι τὸ πάθος· μετὰ δὲ τοῦτο, ἀπὸ τῆς κεφαλῆς, κελυφὴ γὰρ φαίνεται πάντων. Ἐν νυκτὶ δὲ καὶ ἡμέρᾳ πᾶν ἀποδύεται σχεδὸν τὸ γῆρας, ἀπὸ τῆς κεφαλῆς ἀρξάμενον μέχρι τῆς κέρκου. Γίνεται δὲ ἐκδυομένου, τὸ ἐντὸς ἐκτός. Ἐκδύεται γὰρ ὥσπερ τὰ ἔμβρυα ἐκ τῶν χορίων.

Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἐντόμων ἐκδύνει τὸ γῆρας, ὅσα ἐκδύνει· οἷον σίλφη, καὶ ἐμπὶς, καὶ τὰ κολεόπτερα, οἷον κάνθαρος. Πάντα δὲ μετὰ τὴν γένεσιν ἐκδύεται. Ὥσπερ γὰρ τοῖς ζωοτοκουμένοις τὸ χόριον καὶ τοῖς σκωληκοτοκουμένοις περιρρήγνυται τὸ κέλυφος, ὁμοίως καὶ μελίτταις καὶ ἀκρίσιν. Οἱ δὲ τέττιγες, ὅταν ἐξέλθωσι, καθιζάνουσιν ἐπί τε τὰς ἐλαίας καὶ καλάμους· περιρραγέντος δὲ τοῦ κελύφους, ἐξέρχονται, ἐγκαταλιπόντες ὑγρότητα μικράν· καὶ μετ᾽ οὐ πολὺν χρόνον ἀναπέτονται καὶ ᾄδουσι.

comme il n'entre rien dans leurs inteſtins, il s'en faut peu les parois ne s'en réuniſſent, & que cela oblige les ours quand ils commencent à ſortir, de manger de l'*arum*, afin de ſéparer & d'ouvrir ces mêmes parois. Le loir ſe cache auſſi : ſa retraite eſt dans le trou des arbres, il y devient très gras. De même le rat blanc du Pont.

Quelques-uns des Animaux qui ſe retirent ainſi, dépouillent dans leur retraite ce qu'on appelle *leur vieilleſſe*. C'eſt la peau extérieure, & ſi l'on peut 23.
parler ainſi, c'eſt l'étui des parties qui leur ſont eſſentielles. Dans le nombre des Animaux vivipares qui marchent ſur la ſurface de la terre, j'ai fait remarquer qu'on ignore la cauſe de la retraite de l'ours. Dans la claſſe des Animaux qui ont la peau écailleuſe, le plus grand nombre, on peut même dire preſque tous, ont un tems de retraite, & ceux d'entre ces Animaux dont la peau eſt molle & non pas de la nature de la coquille, comme celle de la tortue & de l'emys, qui toutes deux doivent être compriſes parmi les Animaux à peau écailleuſe; ceux dis-je, dont la peau eſt molle, tels que le ſtellion, le lézard, & ſur-tout les ſerpens, ſe dépouillent de leur vieille peau. Ils s'en dépouillent, & au printems lorſqu'ils ſortent de leur retraite, & une ſeconde fois en automne. Les viperes ſe dépouillent comme les autres ſerpens, au printems & en automne; ce que diſent quelques perſonnes, que cette eſpece de ſerpens eſt la ſeule qui ne ſe dépouille pas, n'eſt point vrai. Lorſque les ſerpens quittent leur peau, on dit que c'eſt la partie des yeux qui ſe détache la premiere, de ſorte que quelqu'un qui les verroit alors, ſans être au fait, les croiroit aveugles : le ſurplus de la tête ſe dépouille enſuite, il ſemble que ce ſoit l'étui de tout le reſte. Le dépouillement entier depuis la tête juſqu'à l'extrémité de la queue, s'acheve d'ordinaire dans l'eſpace d'un jour & d'une nuit. Dans cette opération la peau ſe retourne: car le ſerpent ſort de ſa peau comme le fœtus de ſes enveloppes.

Ceux des inſectes qui dépouillent leur vieille peau, le font de la même maniere. Dans ce nombre ſont la ſilphe, l'empis, & les coléopteres, tel qu'eſt le pillulaire; mais ils ne ſortent de leur enveloppe qu'après qu'ils ſont formés. Ainſi l'abeille, le criquet, ſortent de leur enveloppe comme le petit du vivipare ſort du chorion, & le petit ver de l'enveloppe qui le renferme. Quand les cigales ont quitté leur enveloppe, elles ſe poſent ſur des oliviers ou des roſeaux; au moment où leur enveloppe ſe briſe, elles ſortent en laiſſant tomber une goutte de liqueur, & elles volent & chantent preſque ſur le champ.

Τῶν δὲ θαλαττίων, οἱ κάραβοι καὶ ἀστακοὶ ἐκδύνουσιν, ὅτε μὲν τοῦ ἔαρος, ὅτε δὲ τοῦ μετοπώρου μετὰ τοὺς τόκους. Ηδη δ' εἰλημμένοι ἔνιοί εἰσι τῶν καράβων, τὰ μὲν περὶ τὸν θώρακα μαλακὰ ἔχοντες, διὰ τὸ περιεῤῥωγέναι τὸ ὄστρακον· τὰ δ' κάτω σκληρὰ, διὰ τὸ μήπω περιεῤῥωγέναι· τὴν γὰρ ἔκδυσιν ποιοῦνται οὐχ ὁμοίαν τοῖς ὄφεσι. Φωλοῦσι δὲ οἱ κάραβοι περὶ πέντε μῆνας· ἐκδύνουσι δὲ καὶ οἱ καρκίνοι τὸ γῆρας· οἱ μὲν μαλακόστρακοι ὁμολογουμένως· φασὶ δὲ καὶ τοὺς ὀστρακοδέρμους, οἷον τὰς μαίας. Οταν δὲ ἐκδύωσι, γίνονται μαλακὰ πάμπαν τὰ ὄστρακα· καὶ οἵ γε καρκίνοι βαδίζειν οὐ σφόδρα δύνανται. Εκδύνει δὲ τὰ τοιαῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις.

24. Οσα μὲν οὖν φωλεῖ, καὶ πότε, καὶ πῶς, ἔτι δὲ ποῖα καὶ πότε
XVIII. ἐκδύνει τὸ γῆρας, εἴρηται. Εὐημεροῦσι δὲ τὰ ζῶα κατὰ τὰς ὥρας οὐ τὰς αὐτὰς, οὐδ' ἐν ταῖς ὑπερβολαῖς ὁμοίως ἁπάσαις. Ετι δὲ ὑγίειαι καὶ νόσοι κατὰ τὰς ὥρας τοῖς ἑτερογενέσιν ἕτεραι, καὶ τὸ σύνολον οὐχ αἱ αὐταὶ πᾶσι. Τοῖς μὲν οὖν ὄρνισιν οἱ αὐχμοὶ συμφέρουσι, καὶ πρὸς τὴν ἄλλην ὑγίειαν, καὶ πρὸς τοὺς τόκους, καὶ οὐχ ἥκιστα ταῖς φάτταις· τοῖς δὲ ἰχθύσιν, ἔξω τινῶν ὀλίγων, αἱ ἐπομβρίαι. Ασύμφορα δὲ τοὐναντίον ἑκατέροις, τοῖς μὲν ὄρνισι τὰ ἐπόμβρια ἔτη, τοῖς δ' ἰχθύσι τὰ αὐχμώδη. Οὐδὲ γὰρ ὅλως συμφέρει τοῖς ὄρνισι τὸ πολὺ πίνειν. Τὰ μὲν οὖν γαμψώνυχα, καθάπερ εἴρηται πρότερον, ὡς ἁπλῶς εἰπεῖν, ἄποτα πάμπαν ἐστίν. Αλλὰ Ησίοδος ἠγνόει τοῦτο· πεποίηκε γὰρ τὸν τῆς μαντείας πρόσεδρον ἀετὸν, ἐν τῇ διηγήσει τῇ περὶ τὴν πολιορκίαν τὴν Νίνου, πίνοντα. Τὰ δ' ἄλλα πίνει μὲν, οὐ πολύποτα δέ ἐστιν· ὁμοίως δ' οὐδ' ἄλλο οὐδὲν τῶν πνεύμονα ἐχόντων σομφὸν καὶ ᾠοτόκων. Τῶν δ' ὀρνίθων ἐν ταῖς ἀῤῥωστίαις ἐπίδηλος ἡ πτέρωσις γίνεται· ταράττεται γὰρ, καὶ οὐ τὴν αὐτὴν ἔχει κατάστασιν ἥνπερ ὑγιαινόντων.

XIX.
25. Τῶν δ' ἰχθύων τὸ πλεῖστον γένος εὐθηνεῖ μᾶλλον, ὥσπερ

Dans la mer, les langouſtes & les écreviſſes ſe dépouillent, ſavoir les premieres au printems, les ſecondes en automne, après qu'elles ont fait leurs petits. On a pris des langouſtes dont la partie qui recouvroit la poitrine étoit molle, parce que leur enveloppe ancienne étoit déja briſée en cet endroit, & les parties inférieures étoient dures, parce qu'elle y étoit encore entiere : le dépouillement de ces Animaux ne ſe faiſant pas de la même maniere que celui des ſerpens. Les langouſtes demeurent cachées environ cinq mois. Les cancres dépouillent auſſi leur vieilleſſe : on en convient généralement à l'égard de ceux dont la couverture eſt moins ferme. Il y a des perſonnes qui l'aſſurent auſſi de ceux-là même qui ont la couverture plus approchante de la nature de la coquille, comme ſont les cancres *Maia*. Au tems de ce dépouillement, leur nouvelle enveloppe eſt tout-à-fait molle, les cancres ont même alors de la peine à marcher. Ces Animaux ne ſe dépouillent pas ſeulement une fois, mais pluſieurs.

Je viens de dire quels ſont les Animaux qui ſe cachent dans des retraites, 24.
quand ils le font & comment : quels ſont auſſi ceux qui dépouillent leur XVIII.
vieilleſſe, & dans quel tems ils la dépouillent ; je paſſe à l'état de ſanté des Animaux. Les mêmes ſaiſons, les mêmes degrés de froid & de chaud, ne conviennent pas également à tous. D'ailleurs ſelon les divers genres, ils ſont ſujets à différens états de ſanté ou de maladie dans les diverſes ſaiſons, & en général il n'y a rien qui ſoit commun à cet égard à tous les Animaux. La température la plus avantageuſe pour la ſanté des oiſeaux & pour le ſuccès de leur ponte, eſt un tems ſec & chaud : elle fait bien ſur-tout aux ramiers. Pour les poiſſons, à l'exception d'un petit nombre, il faut des pluies ; de ſorte que réciproquement les années ſéches nuiſent aux poiſſons & les années pluvieuſes aux oiſeaux ; en général il n'eſt pas utile aux oiſeaux de boire beaucoup. J'ai même déja remarqué qu'à parler généralement, on pourroit dire que les oiſeaux qui ont l'ongle recourbé ne boivent abſolument point. C'eſt ſans doute ce qu'Héſiode ignoroit, lorſque dans l'hiſtoire du ſiége de Ninive, il fait boire l'aigle qui étoit à la tête des Augures. Les autres Oiſeaux boivent, mais peu ; c'eſt un caractere commun à tous les Animaux qui ont le poumon ſpongieux & qui ſont ovipares. On connoît aux plumes des oiſeaux quand ils ſont malades : alors elles ſont heriſſées & n'ont plus la même diſpoſition que lorſqu'ils ſe portent bien.

La plupart des eſpeces de poiſſons ſe portent mieux, comme je l'ai déja XIX. 25.

εἴρηται πρότερον, ἐν τοῖς ἐπομβρίοις ἔτεσιν. Οὐ γὰρ μόνον τότε πλείω τροφὴν ἔχουσιν, ἀλλὰ καὶ ὅλως τὸ ὄμβριον συμφέρει, καθάπερ καὶ τοῖς ἐκ τῆς γῆς φυομένοις. Καὶ γὰρ τα λάχανα, καίπερ ἀρδευόμενα, ὅμως ἐπιδίδωσιν ὑόμενα πλεῖον. Τὸ δ' αὐτὸ καὶ οἱ κάλαμοι πάσχουσιν οἱ πεφυκότες ἐν ταῖς λίμναις· οὐδὲν γὰρ, ὡς εἰπεῖν, αὐξάνονται, μὴ γινομένων ὑδάτων. Σημεῖον δ' καὶ τὸ τοὺς πλείστους τῶν ἰχθύων εἰς τὸν Πόντον ἐκτοπίζειν θερίζοντας· διὰ γὰρ τὸ πλῆθος τῶν ποταμῶν, γλυκύτερον τὸ ὕδωρ, καὶ τροφὴν οἱ ποταμοὶ καταφέρουσι πολλήν. Ετι δὲ καὶ εἰς τοὺς ποταμοὺς ἀναπλέουσι πολλοὶ τῶν ἰχθύων, καὶ εὐθηνοῦσιν ἐν τοῖς ποταμοῖς καὶ ἐν ταῖς λίμναις, οἷον ἄμια καὶ κεστρεύς. Γίνονται δὲ οἱ κωβιοὶ πίονες ἐν τοῖς ποταμοῖς· καὶ ὅλως τὰ εὔλιμνα τῶν χωρίων ἀρίστους ἔχει ἰχθῦς. Αυτῶν δὲ τῶν ὑδάτων οἱ θερινοὶ ὄμβροι συμφέρουσι μᾶλλον τοῖς πλείστοις ἰχθύσι, καὶ ὅταν τὸ ἔαρ, καὶ τὸ θέρος, καὶ τὸ φθινόπωρον γίνηται ἔπομβρον, ὁ δὲ χειμὼν εὐδιεινός. Ως δ' εἰπεῖν τὸ σύνολον, ὅταν καὶ κατὰ τοὺς ἀνθρώπους εὐετηρία ᾖ, καὶ τοῖς πλείστοις ἰχθύσι συμβαίνει εὐημερεῖν.

Εν δὲ τοῖς ψυχροῖς τόποις οὐκ εὐθηνοῦσι. Μάλιστα δ' πονοῦσιν ἐν τῷ χειμῶνι οἱ ἔχοντες λίθον ἐν τῇ κεφαλῇ, οἷον χρωμὶς, λάβραξ, σκίαινα, φάγρος· διὰ γὰρ τὸν λίθον, ὑπὸ τοῦ ψύχους καταπήγνυνται καὶ ἐκπίπτουσι. Τοῖς μὲν οὖν πλείστοις ἰχθύσι συμφέρει μᾶλλον, κεστρεῖ δὲ καὶ κεφάλῳ, καὶ ὃν καλοῦσί τινες μύρινον, τοὐναντίον. Υπὸ γὰρ τῶν ὀμβρίων ὑδάτων οἱ πολλοὶ αὐτῶν ἀποτυφλοῦνται θᾶττον, ἂν ὑπερβάλλωσιν. Εἰώθασι γὰρ αὐτὸ πάσχειν οἱ κέφαλοι ἐν τοῖς χειμῶσι μᾶλλον. Γίνονται γὰρ αὐτῶν τὰ ὄμματα λευκὰ, καὶ ἁλίσκονται τότε λεπτοὶ, καὶ τέλος ἀπόλλυνται πάμπαν. Εοικε δὲ οὐ διὰ τὴν ὑπερομβρίαν τοῦτο πάσχειν μᾶλλον, ἀλλὰ διὰ τὸ ψῦχος. Ηδη γοῦν καὶ ἄλλοθι, καὶ περὶ τὴν Ναυπλίαν τῆς Αργείας περὶ τὸ Τέναγος τυφλοὶ

dit,

dit, dans les tems pluvieux. Ce n'est pas seulement parce qu'elle rend leur nourriture plus abondante, mais en général la pluie leur est avantageuse, de même qu'elle l'est aux productions de la terre. Les légumes, quoiqu'on les arrose, ne produisent pas autant que quand il pleut. Il en est de même des roseaux qui naissent dans les étangs : ils ne croissent, si on peut le dire, qu'autant qu'il vient de la pluie. C'est ce qui détermine la plupart des poissons à passer l'été dans le Pont : la quantité des fleuves qui se jettent dans cette mer, en rend l'eau plus douce, & y porte une nourriture plus abondante. C'est par la même raison que beaucoup de poissons remontent les rivieres, & y sont meilleurs, ainsi que dans les lacs : voyez le boniton & le muge. Les goujons s'engraissent également dans les fleuves, & en général les pays qui abondent en lacs ont les meilleurs poissons. Les pluies de l'été sont les plus avantageuses pour la plupart des poissons ; mais au total, il leur faut un printems, un été, un automne pluvieux, & un hiver serein. On peut dire en général, que quand la température de l'année est favorable pour l'homme, elle l'est aussi pour les poissons.

Dans les lieux froids, les poissons ne se portent pas bien : ceux qui ont une pierre dans la tête, tels que le *chromis*, le loup, l'ombre & le pagre, sont ceux qui souffrent le plus de l'hiver : cette pierre est cause que le froid les saisit ; & ils tombent morts. Les pluies, bonnes au plus grand nombre des poissons, nuisent au muge, au capiton, & à celui que quelques-uns appellent *murin* ; lorsqu'elles tombent en trop grande quantité, elles les aveuglent bientôt la plupart. Les capitons sont sujets à cet accident sur-tout en hiver : leur yeux blanchissent, ceux que l'on prend sont maigres & ils finissent par périr absolument. Cependant ce n'est peut-être pas tant l'abondance des pluies, que le froid, qui les rend ainsi malades, car après de grands hivers on en a pris un grand nombre, soit auprès de Nauplia dans l'Argolide, aux environs de Tenagos, soit

πολλοὶ ἐλήφθησαν, ἰσχυρᾶ γενομένα ψύχας. Ελήφθησαν δὲ πολλοὶ καὶ λευκὴν ἔχοντες τὴν ὄψιν. Πονεῖ δὲ τᾶ χειμῶνος καὶ ὁ χρύσοφρυς· τᾶ δὲ θέρας, ὁ ἀχάρνας, καὶ γίνεται λεπτός. Συμφέρει δὲ τοῖς κορακίνοις, ὡς εἰπεῖν παρὰ τὰς ἄλλας ἰχθῦς, τὰ αὐχμώδη μᾶλλον τῶν ἐτῶν· καὶ τύτοις δὲ, διὰ τὸ συμβαίνειν μᾶλλον ἀλέαν ἐν τοῖς αὐχμοῖς.

Τόποι δὲ ἑκάστοις συμφέρυσι πρὸς εὐθηνίαν, ὅσα μέν εἰσι φύσει παράγεια ἢ πελάγια, ἐν ἑκατέρῳ τούτων· ὅσα δ᾽ ἐπαμφοτερίζει, ἐν ἀμφοτέροις. Εἰσὶ δέ τινες καὶ ἴδιοι τόποι ἑκάστοις ἐν οἷς εὐθηνᾶσιν· ὡς δ᾽ ἁπλῶς εἰπεῖν, οἱ φυκώδεις συμφέρουσι. Πιότεροι γοῦν ἐν τοῖς τοιάτοις ἁλίσκονται, ὅσοι παντοδαποὺς νέμονται τόπας. Οἱ μὲν γὰρ φυκιοφάγοι, τροφῆς εὐπορᾶσιν· οἱ δὲ σαρκοφάγοι, πλείοσιν ἐντυγχάνασιν ἰχθύσι.

Διαφέρουσι δὲ καὶ τὰ βόρεια καὶ τὰ νότια. Τὰ γὰρ μακρὰ μᾶλλον εὐθηνεῖ ἐν τοῖς βορείοις, καὶ τᾶ θέρους ἁλίσκονται ἐπὶ τᾶ αὐτᾶ χωρίου πλείους τοῖς βορείοις τῶν μακρῶν, ἢ τῶν πλατέων. Οἱ δὲ θύννοι καὶ ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν· ἔχουσι γὰρ ἀμφότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια οἷον σκωλήκιον, τὸ καλάμενον οἶστρον, ὅμοιον μὲν σκορπίῳ, μέγεθος δὲ ἴσον ἀράχνῃ. Ποιᾶσι δὲ ταῦτα πόνον τοιοῦτον, ὥστ᾽ ἐξάλλεσθαι ἐνίοτε ἀκ ἔλαττον τὸν ξιφίαν τᾶ δελφῖνος· διὸ καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτασι. Χαίρασι δὲ οἱ θύννοι μάλιστα τῶν ἰχθύων τῇ ἀλέᾳ, καὶ πρὸς τὴν ἄμμον τὴν πρὸς τῇ γῇ προχωροῦσι, τῆς ἀλέας ἕνεκεν, ὅτι θερμαίνονται, καὶ ἄνω ἐπιπολάζουσι. Τὰ δὲ μικρὰ τῶν ἰχθυδίων σώζεται, διὰ τὸ παροράσθαι· διώκουσι γὰρ τὰ μείζω οἱ μεγάλοι. Τῶν δὲ ᾠῶν καὶ τᾶ γόνου διαφθείρεται τὸ πολὺ διὰ τὰς ἀλέας, ἃ γὰρ ἂν ἐφάψωνται, τᾶτο πᾶν λυμαίνονται.

Αλίσκονται δὲ μάλιστα οἱ ἰχθύες πρὸ ἡλίου ἀνατολῆς, καὶ μετὰ τὴν δύσιν· ὅλως δὲ περὶ δυσμὰς ἡλία καὶ ἀνατολάς· ἅτοι

ailleurs, qui étoient aveugles; un grand nombre d'autres avoient les yeux blancs. La dorade souffre pareillement de l'hiver, l'*acharnas* au contraire souffre de l'été & maigrit alors. Les coracins, à la différence des autres poissons, se trouvent bien des années seches : mais c'est qu'ordinairement les années les plus seches sont aussi les plus chaudes.

La santé des poissons dépend encore des différens parages qu'ils habitent. Il leur faut ou la haute mer, ou le voisinage des côtes, selon leur différente nature. Ceux dont la constitution est mitoyenne, s'accommodent également de l'un & de l'autre. Il y a aussi certains lieux particuliers singuliérement propres à chaque poisson, mais en général on peut dire que les endroits les meilleurs pour eux, sont ceux où il vient beaucoup d'algue. Ceux même des poissons qui peuvent vivre en toutes sortes de lieux se trouvent toujours plus gras dans ces lieux-là. En effet, les poissons qui paissent y trouvent plus de pâture, & les poissons voraces y rencontrent plus de poissons.

L'exposition du nord ou du midi fait encore une différence : les poissons longs se plaisent davantage dans les lieux exposés au nord : & même dans l'été, on prend dans le même endroit, à la partie exposée au nord, plus de poissons longs que de poissons larges. Les thons & les espadons sont tourmentés de l'œstre vers le lever de la canicule; c'est une espece de petit ver de la figure d'un scorpion & de la grosseur d'une araignée, qu'ils ont auprès des nageoires. Cet œstre leur cause des douleurs si vives, que quelquefois l'espadon saute aussi haut que feroit le dauphin : & souvent ils viennent tomber dans les vaisseaux. Les thons aiment singuliérement la chaleur, ils viennent la chercher sur le sable près des côtes ; & ils se tiennent sur la surface de l'eau. Ce qui sauve les petits poissons, c'est que les poissons voraces les négligent pour poursuivre les gros. Mais en allant chercher la chaleur, ces poissons font périr beaucoup d'œufs & de frai, parce qu'ils détruisent tout ce qu'ils touchent.

Le tems le plus favorable à la pêche est, ou avant le lever du soleil ou après son coucher : en général pendant le crépuscule du matin ou du soir ;

γὰρ λέγονται εἶναι ὥραῖοι βόλοι· διὸ καὶ τὰ δίκτυα ταύτην τὴν ὥραν ἀναιροῦνται οἱ ἁλιεῖς, μάλιστα γὰρ ἀπατῶνται οἱ ἰχθύες τῇ ὄψει κατὰ τούτους τοὺς καιρούς. Τῆς μὲν γὰρ νυκτὸς ἡσυχάζουσι, πλείονος δὲ γινομένου τοῦ φωτὸς μᾶλλον ὁρῶσι.

Νόσημα δὲ λοιμῶδες μὲν οὐδὲν εἰς τοὺς ἰχθῦς φαίνεται ἐμπίπτον, οἷον ἐπὶ τῶν ἀνθρώπων συμβαίνει πολλάκις, καὶ τῶν ζωοτόκων καὶ τετραπόδων εἰς ἵππους καὶ βοῦς, καὶ τῶν ἄλλων εἰς ἔνια καὶ ἥμερα καὶ ἄγρια· νοσεῖν μέντοι δοκοῦσι· τεκμαίρονται δὲ οἱ ἁλιεῖς, τῷ ἐνίους ἁλίσκεσθαι λεπτοὺς καὶ ἠσθενηκόσιν ὁμοίους, καὶ τὸ χρῶμα μεταβεβληκότας, ἐν πολλοῖς καὶ πίοσιν ἑαλωκότας, καὶ τῷ γένει τῷ αὐτῷ.

XX. Περὶ μὲν οὖν τῶν θαλαττίων τοῦτον ἔχει τὸν τρόπον. Τοῖς δὲ ποταμίοις καὶ λιμναίοις, λοιμῶδες μὲν οὐδὲ τούτοις οὐδὲν γίνεται· ἐνίοις δὲ αὐτῶν ἴδια νοσήματα ἐμπίπτει· οἷον γλανὶς ὑπὸ κύνα μάλιστα, διὰ τὸ μετεώρως νεῖν, ἀστροβλής τε γίνεται, καὶ ὑπὸ βροντῆς νεανικῆς καροῦται. Πάσχει δέ ποτε τοῦτο καὶ κυπρῖνος, ἧττον δέ. Οἱ δὲ γλανεῖς ἐν τοῖς βραχέσι καὶ ὑπὸ δράκοντος τοῦ ὄφεως τυπτόμενοι ἀπόλλυνται. Ἐν δὲ τῷ βαλλέρῳ καὶ τίλλωνι ἑλμὶς ἐγγινομένη ὑπὸ κύνα, μετεωρίζει τε καὶ ἀσθενῆ ποιεῖ. Μετέωρος δὲ γινόμενος, ὑπὸ τοῦ καύματος ἀπόλλυται. Τῇ δὲ χαλκίδι νόσημα ἐμπίπτει νεανικόν, φθεῖρες ὑπὸ τὰ βράγχια γιγνόμενοι πολλοὶ ἀναιροῦσι· τῶν δ' ἄλλων ἰχθύων οὐδενὶ οὐδὲν τοιοῦτόν ἐστι νόσημα. Ἀποθνήσκουσι δὲ οἱ ἰχθῦς τῷ πλόμῳ· διὸ καὶ θηρεύουσιν, οἱ μὲν ἄλλοι τοὺς ἐν τοῖς ποταμοῖς καὶ λίμναις πλομίζοντες· οἱ δὲ Φοίνικες, καὶ τοὺς ἐν τῇ θαλάττῃ. Ποιοῦνται δέ τινες καὶ δύο ἄλλας θήρας τῶν ἰχθύων. Διὰ γὰρ τὸ φεύγειν ἐν τῷ χειμῶνι τὰ βαθέα ἐν τοῖς ποταμοῖς, καὶ γὰρ ἄλλως τὸ πότιμον ὕδωρ ψυχρόν· ὀρύττουσι τάφρον εἰς τὸν πόταμον διὰ ξηροῦ· εἶτα ταύτην καταστεγάσαντες χόρτῳ καὶ λίθοις, οἷον φωλεὸν ποιοῦσιν, ἔκδυσιν ἔχοντα ἐκ τοῦ ποταμοῦ· καὶ ὅταν πάγος

c'eſt là le moment le plus convenable, & c'eſt auſſi à ces heures-là que les pêcheurs élévent leurs filets, parce que c'eſt alors qu'il eſt plus aiſé de cacher le piége aux poiſſons ; la nuit ils ſe tiennent en repos : le jour, lorſque la lumiere augmente, ils voyent trop diſtinctement.

Les poiſſons ne paroiſſent ſujets à aucune de ces maladies contagieuſes qui attaquent ſouvent l'eſpece humaine, les quadrupedes vivipares, tels que les chevaux, les bœufs, & quelques autres Animaux, ſoit privés ſoit ſauvages : cependant ils ne ſemblent pas exempts de maladies. Les pêcheurs le concluent, de ce que quelquefois, parmi beaucoup de poiſſons gras, il s'en trouve de la même eſpece & dans la même pêche, qui ſont maigres, qui paroiſſent affoiblis, & dont la couleur n'eſt pas telle qu'elle devroit être naturellement.

Après les poiſſons de mer parlons de ceux de riviere & de lac. Ils ne ſont pas non plus ſujets aux maladies contagieuſes, mais quelques-uns d'eux ont des maladies particulieres. Le *glanis* par exemple, qui nage près de la ſurface de l'eau, eſt ſujet, dans la canicule ſur-tout, à l'impreſſion funeſte des aſtres : & à être étourdi par le tonnerre lorſque les coups ſont violens. La carpe éprouve quelquefois les mêmes accidens, mais moins fréquemment. Le *glanis* eſt encore ſujet quand il ſe trouve ſur des bas-fonds, à être frappé par le ſerpent appellé dragon, qui le tue. Le *ballere* & le *tillon* ſont ſujets à un ver qui ſe forme dans leur corps pendant la canicule : il les affoiblit & les oblige de s'élever ſur l'eau, ce qui les fait périr brûlés par la chaleur. Le *chalcis* a une autre maladie violente, c'eſt une quantité de poux qui ſe forment ſous ſes bronches ; ils le tuent : c'eſt le ſeul qui ſoit attaqué d'un mal ſemblable. Le bouillon blanc fait mourir les poiſſons, il y a des pêcheurs qui prennent le poiſſon en jettant de cette herbe dans les rivieres & les lacs : les Phéniciens l'employent même à l'égard des poiſſons de mer. On uſe encore de deux autres moyens pour prendre le poiſſon ; comme on a obſervé que dans l'hiver il fuit les endroits profonds des rivieres, parce qu'en général l'eau douce eſt froide, on creuſe un canal hors du fleuve, on le couvre de pierres & d'herbes, on en fait comme une caverne qui communique avec le fleuve. XX.

ᾗ, ἐκ τέτε κύρτῳ θηρεύεσι τὲς ἰχθῦς. Καὶ ἄλλῳ δὲ θήραν ποιεῦνται ὁμοίως θέρους καὶ χειμῶνος· ἐν μέσῳ τῷ ποταμῷ φρυγάνοις καὶ λίθοις περιφράξαντες, ὅσον στόμα καταλείπουσιν· ἐν τέτῳ κύρτον ἐνθέντες, θηρεύεσιν περιελόντες τὲς λίθες.

Τῶν δὲ ὀστρακοδέρμων καὶ τοῖς ἄλλοις συμφέρει τὰ ἐπόμβρια ἔτη, πλὴν ταῖς πορφύραις. Σημεῖον δέ· ὅταν γὰρ τεθῇ οὗ ποταμὸς ἐξερεύγεται, καὶ γεύσωνται τῦ ὕδατος, ἀποθνήσκουσιν αὐθημερόν. Καὶ ζῇ δὲ ἡ πορφύρα, ὅταν θηρευθῇ, περὶ ἡμέρας πεντήκοντα. Τρέφονται δὲ ὑπ' ἀλλήλων· ἐπιγίνεται γὰρ ἐπὶ τοῖς ὀστράκοις ὥσπερ φύκος τι καὶ βρύον. Α δ' ἐμβάλλουσιν εἰς τροφὴν αὐταῖς, τῦ σταθμοῦ χαρὶν εἶναι φασι, πρὸς τὸ πλεῖον ἕλκειν. Τοῖς δ' ἄλλοις οἱ αὐχμοὶ ἀσύμφοροι, ἐλάττω γὰρ καὶ χείρω γίνεται· καὶ οἱ πυῤῥοὶ τότε μᾶλλον γίνονται κτένες. Εν δὲ τῷ Πυῤῥαίων ποτὲ εὐρίπῳ ἐξέλιπον οἱ κτένες, ὐ μόνον διὰ τὸ ὄργανον, ᾧ οἱ θηρεύοντες ἀνέξυον, ἀλλὰ καὶ διὰ τοὺς αὐχμούς. Τοῖς δ' ἄλλοις ὀστρακοδέρμοις τὰ ἐπόμβρια ἔτη συμφέρει; διὰ τὸ γλυκυτεραν γίγνεσθαι τὴν θάλατταν· ἐν δὲ τῷ Πόντῳ διὰ τὸ ψύχος ὐ γίγνονται, ὐδ' ἐν τοῖς ποταμοῖς, ἀλλ' ἢ ὀλίγα τῶν διθύρων· τὰ δὲ μονόθυρα, μάλιστα ἐν τοῖς πάγοις ἐμπήγνυται.

26. Περὶ μὲν οὖν τὰ ἔνυδρα τῶν ζώων, τοῦτον ἔχει τὸν τρόπον.

XXI. Τῶν δὲ τετραπόδων αἱ μὲν ὗες νοσήμασι μὲν κάμνουσι τρίσιν· ὧν ἓν μὲν καλεῖται βράγχος, ἐν ᾧ μάλιστα τὰ περὶ τὰς σιαγόνας καὶ τὰ βραγχία φλεγμαίνει. Γίνεται δὲ καὶ ὅπου ἂν τύχῃ τῦ σώματος· πολλάκις γὰρ τῦ ποδὸς λαμβάνεται, ὁτὲ δὲ ἐν τῷ ὠτί. Γίνεται δ' εὐθὺς σαπρὸν καὶ τὸ ἐχόμενον, ἕως ἂν ἔλθῃ πρὸς τὸν πνεύμονα· τότε δὲ ἀποθνήσκει. Ταχὺ δ' αὐξάνεται· καὶ ὐδὲν ἐσθίει, ὅταν ἄρξηται τὸ πάθος κἂν ὁσονοῦν. Ιῶνται δὲ οἱ ὑοβόσκοι, ὅταν αἴσθωνται μικρὸν ὄν, ἄλλον μὲν ὐδένα τρόπον· ἀποτέμνεσι δὲ ὅλον.

Lorsque la gelée vient, on pêche dans cette fosse avec la nasse. L'autre maniere de pêcher peut être employée l'été aussi bien que l'hiver. On fait au milieu du fleuve une enceinte de menues branches & de pierres. On y laisse une entrée, à laquelle on place une nasse, & on y prend ensuite le poisson en ôtant les pierres de l'enceinte.

Les tems pluvieux sont bons pour les testacées, excepté pour les pourpres : la preuve de cette exception est, que si l'on met des pourpres à l'embouchure d'un fleuve, & qu'elles goûtent de l'eau douce, elles meurent dans le jour. Cependant les pourpres tirées de l'eau vivent environ cinquante jours : elles se nourrissent réciproquement, au moyen d'une sorte d'algue ou mousse qui vient sur leur coquille. Quant à ce que les pêcheurs jettent sur elles sous prétexte de les nourrir, on prétend que ce n'est qu'une ruse afin de les faire peser davantage. Une chaleur seche est nuisible aux autres testacées, elle en diminue le nombre & la qualité ; & c'est alors principalement qu'il se forme des pétoncles roux. Il y a eu un tems où il ne se trouvoit plus de pétoncles dans l'Euripe des Pyrrhéens, cela ne venoit pas seulement de ce que les pêcheurs avoient employé un instrument qui les avoit enlevés tous, mais aussi des tems secs & chauds qui avoient regné. Les autres testacées aiment donc une saison pluvieuse, parce qu'alors l'eau de la mer devient plus douce. Le froid empêche qu'il y en ait dans le Pont ni dans les rivieres, on y trouve seulement quelques bivalves en petit nombre, les univalves étant encore plus sensibles au froid.

Des Animaux aquatiques il faut passer aux quadrupedes. Les porcs sont 26.
sujets à trois maladies, dont la premiere s'appelle l'esquinancie. C'est une XXI.
inflammation qui attaque principalement les machoires & le gosier. Elle se jette aussi ailleurs, souvent au pied ; quelquefois à l'oreille. La partie enflammée & celles qui l'avoisinent se corrompent promptement ; la corruption gagne jusqu'au poumon, & l'animal meurt. Les progrès de cette maladie sont vifs ; dès son commencement, quelque foible qu'elle soit encore, le porc cesse de manger. Ceux qui ont soin de ces Animaux, ne connoissent point d'autre remède pour la guerir, que de couper entiérement la partie qui en est attaquée, dès les premiers signes qu'ils en apperçoivent.

Δύο δ' ἄλλα ἐστί· λέγεται δὲ κραυρᾶν ἄμφω· ὧν, τὸ μὲν ἕτερόν ἐστι κεφαλῆς πόνος καὶ βάρος, ᾧ αἱ πλεῖσται ἁλίσκονται· τὸ δ' ἕτερον, ἡ κοιλία ῥεῖ, καὶ τοῦτο μὲν δοκεῖ εἶναι ἀνίατον· θατέρῳ δὲ βοηθοῦσιν οἶνον προσφέροντες πρὸς τοὺς μυκτῆρας, καὶ κλύζοντες τοὺς μυκτῆρας οἴνῳ. Διαφυγεῖν δὲ καὶ τοῦτο χαλεπόν· ἀναιρεῖ γὰρ ἐν ἡμέραις τρισὶν ἢ τέτταρσι. Βραγχῶσι δὲ μάλιστα ὅταν τὸ θέρος ἐνέγκῃ εὖ, καὶ πιόταται ὦσι. Βοηθεῖ δὲ τά τε συκάμινα διδόμενα, καὶ τὸ λουτρὸν ἐὰν ᾖ πολὺ καὶ θερμόν, καὶ ἐάν τις σχάσῃ ὑπὸ τὴν γλῶτταν.

Χαλαζώδεις δέ εἰσι τῶν ὑῶν αἱ ὑγρόσαρκοι, τά τε περὶ τὰ σκέλη, καὶ τὰ περὶ τὸν τράχηλον, καὶ τοὺς ὤμους· ἐν οἷς μέρεσι καὶ πλεῖσται γίνονται χάλαζαι. Κἂν μὲν ὀλίγας ἔχῃ, γλυκερὰ ἡ σάρξ· ἂν δὲ πολλάς, ὑγρὰ λίαν καὶ ἄχυλος γίνεται. Δῆλαι δέ εἰσιν αἱ χαλαζῶσαι· ἔν τε γὰρ τῆς γλώττης τῷ κάτω ἔχουσι τὰς χαλάζας, καὶ ἐάν τις τρίχας ἐκτίλλῃ ἐκ τῆς λοφιᾶς, ὕφαιμοι φαίνονται· ἔτι δὲ τὰ χαλαζῶντα, τοὺς ὀπισθίους πόδας οὐ δύνανται ἡσυχάζειν· οὐκ ἔχουσι δὲ χαλάζας, ἕως ἂν ὦσι γαλαθηναὶ μόνον. Εκβάλλουσι δὲ τὰς χαλάζας ταῖς τίφαις· ὃ καὶ πρὸς τὴν τροφήν ἐστι χρήσιμον. Αριστοι δὲ πρὸς τὸ πιαίνειν καὶ τρέφειν οἱ ἐρέβινθοι καὶ τὰ σῦκα· τὸ δὲ ὅλον, μὴ ποιεῖν ἁπλῆν τὴν τροφὴν, ἀλλὰ ποικίλην· χαίρει γὰρ μεταβάλλουσα, καθάπερ καὶ τὰ ἄλλα ζῶα· καὶ ἅμα φασὶ τὸ μὲν ἐμφυσᾶν, τὸ δὲ σαρκοῦν, τὸ δὲ πιαίνειν, τῶν προσφερομένων. Τὰς δὲ βαλάνους μόνον ἡδέως μὲν ἐσθίειν, ποιεῖν δὲ ὑγρὰν τὴν σάρκα· καὶ ἐὰν ἐγκύουσαι πλείους ἐσθίωσιν, ἐκβάλλουσιν, ὥσπερ καὶ τὰ πρόβατα· ταῦτα γὰρ ἐπιδηλοτέρως τοῦτο πάσχει, διὰ τὰς βαλάνους. Χαλαζοῦται δὲ μόνον τῶν ζώων, ὧν ἴσμεν, ὗς.

XXII. Οἱ δὲ κύνες κάμνουσι νοσήμασι τρισίν· ὀνομάζεται δὲ ταῦτα,
27. λύττα, κυνάγχη, ποδάγρα. Τούτων ἡ λύττα ἐμποιεῖ μανίαν· καὶ ὅταν δάκῃ, λυττῶσιν ἅπαντα τὰ δηχθέντα, πλὴν ἀνθρώπου.

Les

Les deux autres maladies du porc sont appellées d'un nom commun ; les écrouelles. La premiere consiste en une douleur & une pésanteur de tête. La plupart des porcs y sont sujets. La seconde est un flux de ventre, que l'on regarde comme incurable. On indique pour la premiere, de présenter du vin sous le nez de l'animal & de lui en frotter les narines, mais malgré ces soins il est difficile de le sauver : cette maladie l'emporte en trois ou quatre jours. C'est sur-tout après des étés chauds & lorsque les porcs sont très gras, qu'ils sont sujets à l'esquinancie. On peut encore pour soulager cette maladie, leur donner des mures, les laver amplement avec de l'eau chaude, & les saigner sous la langue.

Si la chair des porcs est trop humide, il s'y forme comme des grains de grêle aux cuisses, au col & aux épaules : c'est du moins dans ces parties que ces especes de grains abondent davantage. Tant qu'ils sont en petit nombre, la chair du porc est plus douce, mais s'ils se multiplient elle devient très humide & perd toute sa saveur. Il est facile de reconnoître cet état des porcs : on apperçoit sous leur langue, de ces grains dont je parle, & si on leur arrache quelques soies sur le haut du front, elles viennent avec un peu de sang. D'ailleurs ils ne peuvent pas alors demeurer tranquilles sur leurs pieds de derriere. Tant que le porc tette, il n'est point sujet à cette maladie. Le reméde qu'on employe pour la guérir, est de donner à l'animal malade du seigle : il sert en même tems à le nourrir. Les pois & les figues sont excellens pour nourrir & engraisser les porcs. Il est à propos de varier leur nourriture, & de ne pas leur donner toujours la même; ils aiment ce changement ainsi que les autres Animaux : & de ces alimens variés, les uns servent, dit-on, à les faire paroître plus gros, ceux-ci leur donnent de la chair, & ceux-là de la graisse. On ajoute que si on les laisse au gland pour toute nourriture, il est vrai qu'ils le mangent volontiers; mais que cela leur rend la chair humide. Si les truies mangent trop de gland lorsqu'elles sont pleines, elles avortent, comme les brebis : l'expérience est certaine à l'égard des brebis. Le porc est le seul animal que nous connoissions sujet à cette maladie, qui forme comme des grains de grêle dans sa chair.

Les chiens ont trois maladies, la rage, l'esquinancie & la goutte. La rage XXII.
les rend furieux, & tous les Animaux qu'ils mordent en cet état deviennent enragés, si ce n'est l'homme. Cette maladie emporte & les chiens 27.

Αναιρεῖ δὲ τὸ νόσημα τȣτο τάς τε κύνας, καὶ ὅ τι ἂν δηχθῇ ὑπὸ λυτλώσης, πλὴν ἀνθρώπȣ. Αναιρεῖ δὲ καὶ ἡ κυνάγχη τὰς κύνας. Ολίγαι δὲ καὶ ἐκ τῆς ποδάγρας περισώζονλαι. Λαμβάνει δ' ἡ λύτλα καὶ τὰς καμήλȣς. Τȣ̀ς δὲ ἐλέφανλας πρὸς μὲν τὰ ἄλλα ἀῤῥωςήμαλα ἀνόσȣς εἶναι φασὶν, ἐνοχλεῖσθαι δ' ὑπὸ φυσῶν.

XXIII. Οἱ δὲ βόες οἱ ἀγελαῖοι νοσȣ̃σι δύο νόσους· ὧν τὸ μὲν ποδάγρα· τὸ δὲ κραῦρος καλεῖται. Εν μὲν οὖν τῇ ποδάγρᾳ τȣ̀ς
28. πόδας οἰδοῦσιν, οὐκ ἀποθνήσκουσι δὲ, οὐδὲ τὰς ὁπλὰς ἀποβάλλȣσι· βελτίω δὲ ἴσχουσι τῶν κεράτων ἀλειφομένων πίσσῃ θερμῇ. Οταν δὲ κραυρᾷ, τὸ πνεῦμα γίνελαι θερμὸν καὶ πυκνόν· καὶ ὅ ἐςιν ἐν τοῖς ἀνθρώποις πυρετὸς, τȣτό ἐςιν ἐν τοῖς βȣσὶ τὸ κραυρᾷν. Σημεῖον δὲ τῆς ἀῤῥωςίας, τὰ ὦτα καλαβάλλουσι, καὶ ȣ̓ δύνανλαι ἐσθίειν. Αποθνήσκουσι δὲ ταχέως, καὶ ἀνοιχθένλων ὁ πνεύμων φαίνελαι σαπρός.

XXIV. Τῶν δ' ἵππων αἱ μὲν φορβάδες ἄνοσοι τῶν ἄλλων ἀῤῥωςη-
29. μάτων εἰσὶ, πλὴν ποδάγρας. Ταύτῃ δὲ κάμνουσι, καὶ ἐνίοτε ἀποβάλλουσι τὰς ὁπλάς· ὅταν δὲ ἀποβάλλωσι, πάλιν φύουσιν εὐθύς· γίνελαι γὰρ ἅμα τῆς ἑτέρας ὑποφυομένης, ἡ τῆς ἑτέρας ὁπλῆς ἀποβολή. Σημεῖον δὲ τῆς ἀῤῥωςίας· ὁ ὄρχις ἅλλεται ὁ δεξιός· ἢ κατὰ μέσον ὀλίγον κάτωθεν τῶν μυκτήρων, ἐγκοιλόν τι γίνελαι καὶ ῥυτιδῶδες. Οἱ δὲ τροφίαι ἵπποι πλείςοις ἀῤῥωςήμασι κάμνουσι. Λαμβάνει γὰρ καὶ εἰλεός· σημεῖον δὲ τῆς ἀῤῥωςίας, τὰ ὀπίσθια σκέλη ἐφέλκουσιν ἐπὶ τὰ ἔμπροσθια, καὶ ὑποφέρȣσιν ὥςε ἀλλήλοις συγκρούειν· ἐὰν δὲ ἀσιτήσας τὰς ἔμπροσθεν ἡμέρας εἶτα μανῇ, αἷμα ἀφαιρȣ̃ντες καὶ ἐκτέμνονλες, βοηθȣ̃σι. Λαμβάνει δὲ καὶ τέτανος. Σημεῖον δὲ, αἱ φλέβες τέτανλαι πᾶσαι, καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχήν· καὶ προβαίνει εὐθέσι τοῖς σκέλεσι. Γίγνονλαι δὲ καὶ ἔμπυοι οἱ ἵπποι. Λαμβάνει δὲ καὶ ἄλλος αὐτȣ̀ς πόνος. Καλεῖται δὲ τȣτο κριθίας· σημεῖον δὲ τȣ̃

& tous les Animaux que les chiens enragés ont mordus, excepté l'homme. L'esquinancie les fait également périr, & il est rare qu'ils guérissent de la goutte. Le chameau est pareillement sujet à la rage. On prétend que les éléphans n'ont aucune autre maladie que des vents qui les tourmentent.

Les bœufs qui vivent dans nos troupeaux sont attaqués de deux maladies : XXIII.
l'une est la goutte, l'autre s'appelle les écrouelles. La goutte leur enfle les 28.
pieds, mais elle ne les fait pas mourir : elle ne leur fait pas même tomber la corne. On leur donne du soulagement en leur frottant les cornes avec de la poix chaude. Dans l'autre maladie, leur respiration s'échauffe & devient plus fréquente : cette maladie est au bœuf ce que la fievre est à l'homme. On connoît que le bœuf en est attaqué, lorsqu'on lui voit les oreilles pendantes, & qu'il ne peut pas manger. Elle le fait périr promptement, & en l'ouvrant on lui trouve le poumon gâté.

Les chevaux qu'on laisse paître ne sont sujets qu'à une seule maladie, c'est XXIV.
la goutte. Quelquefois elle leur fait tomber la sole : mais quand la sole est 29.
tombée il leur en revient une autre, & même tandis que l'ancienne se détache celle-ci se reproduit au-dessous. On connoît qu'un cheval a la goutte, par un tressaillement qu'il éprouve dans le testicule droit, ou par un petit creux ridé qui se forme au milieu de la levre un peu au-dessous des narines. Les chevaux qu'on nourrit à l'écurie sont exposés à un plus grand nombre de maladies, & d'abord à la colique : on juge qu'ils en sont attaqués lorsqu'ils ramenent les jambes de derriere vers les jambes de devant, si violemment qu'elles se choquent Si le cheval a des accès de fureur après avoir été quelques jours sans manger, on le soulage par la saignée. Les chevaux sont sujets aussi à ce qu'on appelle le *tetanos*. Le signe de cette maladie consiste dans la tension de toutes leurs veines, ainsi que de la tête & du cou ; lorsqu'ils marchent leurs jambes sont roides. Une autre maladie pour eux est de jetter : ils en ont une quatrieme qu'on appelle l'orge. On la connoît à ce que

ἀῤῥωστήματος, μαλακὸς γίνεται ὁ οὐρανὸς, καὶ θερμὸν πνεῖ. Ανίατα δὲ, ἐὰν μὴ αὐτόματα καταστῇ. Τό τε νυμφιᾶν καλούμενον, ἐν ᾧ συμβαίνει κατέχεσθαι ὅταν αὐλῇ τις, καὶ κατωπιᾶν· καὶ ὅταν ἀναβῇ τις, τροχάζει ἕως ἂν μέλλῃ κατά τινας θεῖν. Κατηφεῖ δὲ ἀεὶ κᾂν λυττήσῃ. Σημεῖον δὲ καὶ τούτου, τὰ ὦτα καταβάλλει πρὸς τὴν χαίτην, καὶ πάλιν προτείνει, καὶ ἐκλείπει, καὶ πνεῖ. Ανίατα δὲ καὶ τάδε, ἐὰν καρδίαν ἀλγήσῃ· σημεῖον δὲ, λαπαρὸς ὢν ἀλγεῖ· καὶ ἐὰν ἡ κύστις μεταστῇ. Σημεῖον δὲ καὶ τούτου, τὸ μὴ δύνασθαι οὐρεῖν· καὶ τὰς ὁπλὰς, καὶ τὰ ἰσχία ἐφέλκει. Καὶ ἐὰν σταφυλῖνον περιχάνῃ· τοῦτο δέ ἐστιν ἡλίκον ἡ σφονδύλη. Τὰ δὲ δήγματα τῆς μυγαλῆς καὶ τοῖς ἄλλοις ὑποζυγίοις χαλεπά· γίνονται δὲ φλύκταιναι· χαλεπώτερον δὲ τὸ δῆγμα, ἐὰν κύουσα δάκῃ. Εκρήγνυνται γὰρ αἱ φλύκταιναι· εἰ δὲ μὴ κύουσα, οὔκ. Αποκτείνει δὲ δάκνουσα, ἢ σφόδρα ἀλγεῖν ποιεῖ καὶ ἡ καλουμένη χαλκὶς ὑπὸ τινῶν, ὑπὸ δ' ἐνίων ζιγνίς. Εστι δ' ὅμοιον ταῖς μικραῖς σαύραις, τὸ δὲ χρῶμα τοῖς τυφλίνοις ὄφεσιν. Ολως δέ φασιν οἱ ἔμπειροι, σχεδὸν ὅσαπερ ἀῤῥωστεῖ ἄνθρωπος ἀῤῥωστήματα, καὶ ἵππον ἀῤῥωστεῖν καὶ πρόβατον. Υπὸ φαρμάκου δὲ διαφθείρεται καὶ ἵππος καὶ πᾶν ὑποζύγιον, σανδαράκης. Δίδοται δὲ καὶ ἐν ὕδατι, καὶ διηθεῖται. Καὶ ἐκβάλλει δὲ ἵππος κύουσα ὀσμῇ λύχνου ἀποσβεννυμένου. Συμβαίνει δὲ τοῦτο καὶ γυναιξὶν ἐνίαις κυούσαις.

Περὶ μὲν οὖν τὰς νόσους τῶν ἵππων τοῦτον ἔχει τὸν τρόπον. Τὸ δὲ ἱππομανὲς καλούμενον ἐπιφύεται μὲν, ὥσπερ λέγεται, τοῖς πώλοις· αἱ δὲ ἵπποι περιλείχουσαι καὶ καθαίρουσαι, περιτρώγουσιν αὐτό. Τὰ δ' ἐπιμυθευόμενα πέπλασται μᾶλλον ὑπὸ τῶν γυναικῶν καὶ τῶν περὶ τὰς ἐπῳδάς. Ομολογουμένως δὲ καὶ τὸ καλούμενον πώλιον αἱ ἵπποι προεκβάλλουσι πρὸ τοῦ πώλου.

Γινώσκουσι δὲ οἱ ἵπποι καὶ τὴν φωνὴν ἀκούοντες τῶν ἵππων, αἷς ἂν μαχεσάμενοι τύχωσι. Χαίρουσι δὲ οἱ ἵπποι τοῖς λειμῶσι

le palais du cheval devient mou, & sa respiration brûlante. L'art ne sçait point guérir ces maladies : il faut qu'elles cessent d'elles mêmes. Cinquieme maladie : le cheval devient lymphatique. Le son d'une flûte le tranquillise dans les accès de ce mal. Lorsqu'il en est attaqué il baisse les yeux à terre : si on le monte il ne cesse de tourner, jusqu'à ce qu'il voye quelqu'un sur qui courir. Le cheval devient aussi enragé & alors il a toujours l'œil triste. Le signe de cet état est qu'il baisse les oreilles du côté de la criniere, puis il les étend en avant : il tombe en défaillance & il halete. Voici d'autres maladies pareillement incurables : la cardialgie, qu'on reconnoît au resserrement des flancs, & aux douleurs que le cheval y éprouve. Le déplacement de la vessie : on le connoît à l'impossibilité d'uriner. Dans cet état le cheval tire la hanche & traîne le pied. Il est mortel pour le cheval d'avaler un *staphylin*. C'est un insecte de la grosseur d'une sphondyle. La morsure de la musaraigne, si dangereuse pour les chevaux, l'est également pour les autres bêtes de charge : elle leur fait venir des pustules ; & elle est encore plus dangereuse quand la musaraigne est pleine : les pustules qu'elle cause alors crevent, ce qui n'arrive pas dans d'autres tems. La morsure de l'animal que quelques personnes appellent *chalcis*, & d'autres *zygnis*, tue aussi les chevaux, ou au moins elle leur cause une douleur très-vive : cet animal ressemble à un petit lézard, il est de la couleur des serpens aveugles. Pour terminer, les gens du métier prétendent que les chevaux, ainsi que les brebis, sont sujets à-peu-près à autant de maladies que l'homme. La sandaraque est une drogue qui tue les chevaux & toute autre bête de charge : on la donne dans de l'eau après l'avoir passée. L'odeur d'une lampe éteinte suffit pour faire avorter les jumens : il y a des femmes auxquelles cette même odeur fait faire une fausse couche.

Voilà le détail des maladies des chevaux : il faut dire un mot de l'hippomanes. C'est une excroissance qui se trouve effectivement comme on le dit sur le poulain naissant, & que la mere enleve & mange à force de le lécher. Mais les contes que l'on débite à ce sujet, ont été forgés par des femmes, ou par des gens qui se mêlent d'enchantemens. Un fait généralement avoué, c'est qu'avant de mettre bas, les cavalles jettent une liqueur que l'on appelle le *polion*.

Les chevaux reconnoissent la voix des autres chevaux contre lesquels ils ont combattu dans une rencontre. Cet animal aime les prés & les marais.

καὶ τοῖς ἕλεσι· καὶ γὰρ τῶν ὑδάτων τὰ θολερὰ πίνουσι· κἂν ἦ καθαρὰ, ἀνατρέπουσιν αὐτὰ οἱ ἵπποι ταῖς ὁπλαῖς, εἶτα πιοῦσι, λούονται. Καὶ γὰρ ὅλως ἐστὶ φιλόλουτρον τὸ ζῶον, καὶ ἔτι φίλυδρον· διὸ καὶ ἡ τοῦ ποταμίου ἵππου φύσις οὕτω συνέστηκεν. Ο δὲ βοῦς, τοὐναντίον τοῦ ἵππου· ἂν γὰρ μὴ καθαρὸν ἦ τὸ ὕδωρ καὶ ψυχρὸν καὶ ἀκέραιον, οὐκ ἐθέλει πιεῖν.

XXV. Οἱ δὲ ὄνοι νοσοῦσι μάλιστα νόσον μίαν, ἣν καλοῦσι μηλί-
30. δα. Γίνεται δὲ περὶ τὴν κεφαλὴν πρῶτον, καὶ ῥέει φλέγμα κατὰ τοὺς μυκτῆρας παχὺ καὶ πυῤῥόν· ἐὰν δὲ πρὸς τὸν πνεύμονα καταβῇ, ἀποκτείνει· τὰ δὲ περὶ τὴν κεφαλὴν πρῶτον οὐ θανάσιμα. Δυσριγώτατον δέ ἐστι τοῦτο τὸ ζῶον· διὸ περὶ τὸν Πόντον καὶ τὴν Σκυθίαν οὐ γίνονται οἱ ὄνοι.

XXVI. Οἱ δ᾽ ἐλέφαντες κάμνουσι τοῖς φυσώδεσι νοσήμασι· διὸ οὔτε
31. τὸ ὑγρὸν περίττωμα προΐεσθαι δύνανται, οὔτε τὸ τῆς κοιλίας. Καὶ ἐὰν γῆν ἐσθίῃ μαλακίζεται, ἐὰν μὴ συνεχῶς· εἰ δὲ συνεχῶς, οὐδὲν βλάπτεται· καταπίνει δὲ καὶ λίθους ἐνίοτε. Αλίσκεται δὲ καὶ διαῤῥοίᾳ· ὅταν δὲ ἁλῶσιν, ἰατρεύουσιν ὕδωρ θερμὸν διδόντες πίνειν, καὶ τὸν χόρτον εἰς μέλι βάπτοντες διδόασιν ἐσθίειν, καὶ ἵστησιν ἑκάτερον τούτων. Οταν δὲ κοπιάσῃ, διὰ τὸ μὴ κοιμηθῆναι, ἀλὶ τριβόμενοι καὶ ἐλαίῳ καὶ ὕδατι θερμῷ τοὺς ὤμους, ὑγιάζονται. Καὶ ὅταν τοὺς ὤμους ἀλγῇ, ὕεια κρέα ὀπτήσαντες προστιθέασι, καὶ βοηθεῖ αὐτοῖς. Ελαιον δὲ οἱ μὲν πίνουσι, οἱ δ᾽ οὔ, τῶν ἐλεφάντων. Κἂν τύχῃ σιδήριόν τι ἐν τῷ σώματι ἐνὸν, τὸ ἔλαιον ἐκβάλλει, ὅταν πίωσιν, ὥς φασι· τοῖς δὲ οὔ, ῥίζαν ἑψήσαντες ἐλαίῳ διδόασι.

XXVII. Περὶ μὲν οὖν τῶν τετραπόδων ζώων, τοῦτον ἔχει τὸν τρόπον.
32. Τῶν δ᾽ ἐντόμων τὰ πλεῖστα εὐθηνεῖ ἐν ἧπερ ὥρᾳ καὶ γίνεται, ὅταν τοιοῦτον ἦ τὸ ἔτος, οἷον τὸ ἔαρ, ὑγρὸν καὶ ἀλεεινόν. Ταῖς δὲ μελίτταις ἐγγίνεται ἐν τοῖς σμήνεσι θηρία, ἃ λυμαίνεται τὰ κηρία· τό τε σκωλήκιον τὸ ἀραχνιοῦν, καὶ λυμαινόμενον

il boit l'eau trouble ; si elle est pure il commence par la troubler avec ses pieds, quand il a bu il se baigne. En général le cheval aime l'eau & se plaît à se laver. C'est ce penchant naturel pour l'eau, qui est la base de l'existence du cheval de riviere. Le bœuf est à cet égard l'opposé du cheval : si l'eau n'est point nette, fraîche & pure, il ne veut pas boire.

Les ânes ne sont gueres sujets qu'à une seule maladie qu'on nomme la *melide*. Elle attaque d'abord la tête ; les narines de l'animal jettent des flegmes roux & épais. Lorsque la maladie descend sur le poumon, l'animal périt : mais tant que la tête est seule affectée, la maladie n'est pas mortelle. L'âne supporte difficilement le grand froid, aussi n'y a-t-il point de ces Animaux dans le Pont, ni dans la Scythie. XXV. 30.

Les éléphans sont sujets à des vents qui les empêchent de rendre ni urine ni gros excrémens. Lorsque ces Animaux mangent de la terre, sans en avoir l'habitude, elle les rend mous ; s'ils y sont accoutumés, ils n'en souffrent point de mal : ils avalent même quelquefois des pierres. Les éléphans sont sujets encore aux flux de ventre : le reméde est de leur faire boire de l'eau chaude, ou de leur donner à manger du foin trempé dans du miel, l'un & l'autre reméde est également salutaire. Lorsque l'éléphant est fatigué faute d'avoir dormi, on le délasse en lui frottant les épaules avec un mélange de sel, d'huile & d'eau chaude. S'il éprouve des douleurs aux épaules, on le soulage en y appliquant de la chair de porc rôtie. Il y a des éléphans qui boivent de l'huile, & d'autres qui n'en boivent point. On prétend que de boire de l'huile, suffit pour faire sortir le fer qui étoit resté dans leur corps ; pour ceux qui ne veulent pas boire d'huile, on fait bouillir alors une racine dans cette liqueur & on la leur donne. XXVI. 31.

Des quadrupedes passons aux insectes. La plupart de ces Animaux demandent pour se bien porter, une température semblable à celle de la saison où ils sont nés, c'est-à-dire, qu'il regne toujours une chaleur douce & humide comme celle du printems. Les abeilles sont exposées à voir naître dans leurs ruches des bêtes qui détruisent leurs gâteaux. Une de ces bêtes est un petit ver qui file comme une araignée & qui perd les gâteaux de miel : les uns XXVII. 32.

τὰ κηρία· καλεῖται δὲ κλῆρος· οἱ δὲ πυραύστην καλοῦσιν· ὃς ἐντίκτει ἐν τῷ κηρίῳ ὅμοιον ἑαυτῷ οἷον ἀράχνιον, καὶ νοσεῖν ποιεῖ τὸ σμῆνος. Καὶ ἄλλο θηρίον, οἷον ὁ ἠπίολος ὁ περὶ τὸν λύχνον πετόμενος. Οὗτος ἐντίκτει τι χνοῦ ἀνάπλεων· καὶ οὐ κεντᾶται ὑπὸ τῶν μελιττῶν, ἀλλὰ μόνον φεύγει καπνιζόμενος. Εγγίνονται δὲ καὶ κάμπαι ἐν τοῖς σμήνεσιν, ἃς καλοῦσι τερηδόνας· ἃς οὐκ ἀμύνονται αἱ μέλιτται. Νοσοῦσι δὲ μάλιστα ὅταν ἐρυσιβώδη τὰ ἄνθη ἡ ὕλη ἐνέγκῃ, καὶ ἐν τοῖς αὐχμηροῖς ἔτεσι. Πάντα δὲ τὰ ἔντομα ἀποθνήσκει ἐλαιούμενα· τάχιστα δ' ἄν τις τὴν κεφαλὴν ἀλείψας, ἐν τῷ ἡλίῳ θῇ.

XXVIII. 33. Ολως δὲ τὰ ζῶα διαφέρει κατὰ τοὺς τόπους. Ωσπερ γὰρ ἔν τισιν ἔνια οὐ γίνονται παντάπασιν, οὕτω ἐν ἐνίοις τόποις γίνονται μὲν, ἐλάττω δὲ, καὶ ὀλιγοχρονιώτερα, καὶ οὐκ εὐημερεῖ· καὶ ἐνίοτε ἐν τοῖς πάρεγγυς τόποις ἡ διαφορὰ γίνεται τῶν τοιούτων· οἷον τῆς Μιλησίας ἐν τόποις γειτνιῶσιν ἀλλήλοις, ἔνθα μὲν γίνονται τέττιγες, ἔνθα δ' οὐ γίγνονται. Καὶ ἐν Κεφαλληνίᾳ ποταμὸς διείργει· οὗ ἐπὶ τάδε μὲν γίγνονται τέττιγες, ἐπ' ἐκεῖνα δ' οὐ γίνονται. Εν δὲ Πορδοσελήνῃ ὁδὸς διείργει, ἧς ἐπέκεινα μὲν γαλῆ γίνεται, ἐπὶ θάτερα δὲ οὐ γίνεται. Καὶ ἐν τῇ Βοιωτίᾳ ἀσπάλακες μὲν περὶ τὸν Ορχομενὸν πολλοὶ γίγνονται· ἐν δὲ τῇ Λεβαδικῇ γειτνιώσῃ οὐκ εἰσὶν, οὐδ' ἄν τις κομίσῃ ἐθέλουσιν ὀρύττειν. Εν Ιθάκῃ δὲ οἱ δασύποδες, ἐάν τις ἀφῇ κομίσας, οὐ δύνανται ζῆν, ἀλλὰ φαίνονται τεθνεῶτες πρὸς τῇ θαλάττῃ ἐστραμμένοι ἧπερ ἂν εἰσαχθῶσι.

Καὶ ἐν μὲν Σικελίᾳ ἱππομύρμηκες οὐκ εἰσίν· ἐν δὲ Κυρήνῃ οἱ φωνοῦντες βάτραχοι οὐκ ἦσαν πρότερον. Εν δὲ Λιβύῃ πάσῃ οὔτε σῦς ἄγριός ἐστιν, οὔτ' ἔλαφος, οὔτε αἲξ ἄγριος. Εν δὲ τῇ Ινδικῇ, ὥς φησι Κτησίας, οὐκ ὢν ἀξιόπιστος, οὔτε ἥμερος οὔτ' ἄγριος σῦς· τὰ δ' ἄναιμα καὶ τὰ φολοῦντα, πάντα μεγάλα. Καὶ ἐν μὲν τῷ Πόντῳ οὔτε τὰ μαλάκια γίνεται, οὔτε τὰ

l'appellent *clere* les autres *pyrauste :* il produit dans le gâteau même un autre animal qui lui ressemble & qui est de la figure d'une araignée : ces Animaux rendent l'essain malade. Un autre insecte nuisible aux abeilles, ressemble au papillon qui vole autour de la lumiere des lampes ; il produit aussi quelque chose qu'il enveloppe de poussiere. Cet insecte n'est point sujet à être piqué par les abeilles ; la fumée seule peut le chasser. Il se forme encore dans les ruches, des chenilles qu'on nomme tarieres, & que les abeilles n'attaquent point non plus. Les abeilles sont particuliérement sujettes à être malades lorsque la fleur des arbres est gâtée par la rouille, & lorsque l'année est d'une chaleur seche. Tous les insectes meurent si on les frotte d'huile, & plus promptement encore, si, après leur en avoir frotté la tête, on les expose au soleil.

En général les Animaux sont differens selon les climats. De même qu'il y XXVIII.
a des pays qui ne produisent point du tout certains Animaux, il y en a d'au- 33.
tres où certains Animaux sont plus petits, ont plus de maladies, & vivent moins. Quelquefois on remarque cette différence dans des lieux très voisins. Par exemple, la Milesie a deux cantons très proches l'un de l'autre, dans l'un desquels il vient des cigales, tandis que dans l'autre il n'en vient point. Dans l'isle de Cephallenie, est une riviere d'un côté de laquelle il y a des cigales, pendant qu'il n'y en a point de l'autre. Dans l'isle de Pordosélene, de deux cantons séparés par un chemin seulement, l'un nourrit des belettes, l'autre point. Les territoires d'Orchomene & de Lebade en Béotie sont très-voisins : cependant le premier est infesté d'une multitude de taupes, le second n'en a point du tout, & si l'on y en porte d'ailleurs elles n'y veulent point fouiller. Les dasypodes que l'on transporte à Ithaque & que l'on y lâche ne sauroient y vivre : on les trouve morts sur la côte, & tournés vers le lieu d'où on les a apportés.

En Sicile, point de fourmi-cheval ; autrefois à Cyrene il n'y avoit point de grenouille croassante. Dans toute la Lybie vous ne rencontrerez ni sanglier, ni cerf, ni chevre sauvage. Ctésias, sur le témoignage duquel il ne faut cependant pas trop compter, rapporte que dans l'Inde il n'y a point de porc, ni sauvage ni domestique ; mais que dans ce même pays les Animaux qui n'ont point de sang, & ceux qui se cachent une partie de l'année, sont tous grands. Dans le Pont il n'y a point de mollusques, & l'on n'y trouve les diverses especes

ὀστρακόδερμα πάντα, εἰ μὴ ἔν τισι τόποις ὀλίγοις· ἐν δὲ τῇ Ερυθρᾷ θαλάττῃ ὑπερμεγέθη τὰ ὀστρακόδερμα πάντα. Εν δὲ τῇ Συρίᾳ τὰ πρόβατα τὰς οὐρὰς ἔχει τὸ πλάτος πήχεως· τὰ δὲ ὦτα αἱ αἶγες σπιθαμῆς καὶ παλαιστῆς, καὶ ἔνιαι συμβάλλουσι τὰ ὦτα κάτω πρὸς τὴν γῆν. Καὶ οἱ βόες, καὶ αἱ κάμηλοι, χαίτας ἔχουσιν ἐπὶ τῶν ἀκρωμίων. Καὶ ἐν Κιλικίᾳ αἱ αἶγες κείρονται, ὥσπερ τὰ πρόβατα παρὰ τοῖς ἄλλοις. Καὶ ἐν μὲν Λιβύῃ εὐθὺς γίνεται κέρατα ἔχοντα τὰ κερατώδη τῶν κριῶν, οὐ μόνον οἱ ἄῤῥενες, ὥσπερ Ομηρός φησιν, ἀλλὰ καὶ τὰ ἄλλα· ἐν δὲ τῷ Πόντῳ περὶ τὴν Σκυθικὴν, τοὐναντίον· ἀκέρατα γὰρ γίνεται.

Καὶ ἐν τῇ Αἰγύπτῳ, τὰ μὲν μείζω ἢ ἐν τῇ Ελλάδι, καθάπερ οἱ βόες καὶ τὰ πρόβατα· τὰ δ᾽ ἐλάττω, οἷον οἱ ὄνοι, καὶ λύκοι, καὶ λαγωοὶ, καὶ ἀλώπεκες, καὶ κόρακες, καὶ ἱέρακες· τὰ δὲ παραπλήσια, οἷον κορῶναι, καὶ αἶγες. Αἰτιῶνται δὲ τὰς τροφὰς, ὅτι τοῖς μὲν ἀφθόνως, τοῖς δὲ σπανίως· οἷον τοῖς λύκοις καὶ τοῖς ἱέραξι, τοῖς σαρκοφάγοις, ὀλίγη· σπάνια γὰρ τὰ μικρὰ ὄρνεα· τοῖς δὲ δασύποσι, καὶ ὅσα οὐ σαρκοφάγα, ὅτι οὔτ᾽ ἀκρόδρυα, οὔτ᾽ ὀπώρα χρόνιος. Πολλαχοῦ δὲ καὶ ἡ κρᾶσις αἰτία· οἷον ἐν τῇ Ιλλυρίδι, καὶ τῇ Θράκῃ καὶ τῇ Ηπείρῳ, οἱ ὄνοι μικροί· ἐν δὲ τῇ Σκυθικῇ καὶ Κελτικῇ ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα. Εν δὲ τῇ Αραβίᾳ σαῦραι μείζους πηχυαίων. Γίνονται δὲ καὶ μῦες πολὺ μείζους τῶν ἀρουραίων, τὰ μὲν ἔμπροσθεν σκέλη ἔχοντες σπιθαμῆς, τὰ δ᾽ ὀπίσθια ὅσον ἄχρι τῆς πρώτης καμπῆς τῶν δακτύλων. Εν δὲ τῇ Λιβύῃ τὸ τῶν ὄφεων μέγεθος γίνεται ἄπλατον, ὥσπερ καὶ λέγεται. Ηδη γάρ τινές φασιν προσπλεύσαντες ἰδεῖν ὀστᾶ βοῶν πολλῶν, καὶ δῆλον ἦν αὐτοῖς ὅτι ὑπὸ τῶν ὄφεων ἦν κατεδηδεσμένοι· ἀναγομένων γὰρ ταχὺ διώκειν τὰς τριήρεις αὐτοὺς, καὶ ἐνίους αὐτῶν ἐκβάλλειν ἀναστρέψαντας τὴν τριήρη.

de testacées qu'en petit nombre d'endroits. Les testacées sont tous d'une grandeur excessive dans la mer Erythrée. Les brebis de Syrie ont la queue large d'une coudée. Les chevres y ont les oreilles d'une palme & quatre travers de doigts, quelquefois même leurs oreilles pendent jusqu'à terre. Les bœufs & les chameaux du même pays ont une criniere sur le haut des épaules. En Cilicie on tond les chevres, comme on tond ailleurs les brebis. En Lybie les beliers qui ont des cornes naissent avec ces cornes, & ce n'est pas seulement les beliers comme le dit Homere, mais aussi les brebis. Tout au contraire dans le Pont, auprès de la Scythie, les beliers n'ont point de cornes.

En Egypte, une partie des Animaux sont plus grands que dans la Grece; les bœufs par exemple & les brebis; les autres sont plus petits, comme les ânes, les loups, les lievres, les renards, les corbeaux, les éperviers. D'autres, tels que les corneilles & les chevres, sont approchant de la même grandeur. On attribue cette variété à la différence de la nourriture, très-abondante pour les uns, & modique pour les autres. Par exemple, les loups & les éperviers, Animaux carnivores y trouvent peu de nourriture : car les petits oiseaux y sont rares. Les dasypodes & les autres Animaux qui ne vivent point de chair y ont peu de nourriture aussi, parce que les fruits, soit ceux qui ont une enveloppe dure, soit ceux qui sont recouverts d'une pulpe molle, n'y durent pas long-tems. Souvent la température du climat est cause de ces variétés. Par exemple dans l'Illyrie, la Thrace & l'Epire, les ânes sont petits; dans la Scythie & la Celtique il n'y en a point du tout, parce que le froid y est trop rigoureux. Mais en Arabie, les lézards ont plus d'une coudée de long; les rats domestiques y sont beaucoup plus grands que les rats des champs. Leurs jambes antérieures ont une palme de long; celles de derriere n'excédent pas la longeur de la premiere phalange du doigt. Les serpens de Lybie sont, à ce que l'on dit, d'une grandeur énorme. Des personnes qui navigeoient le long des côtes de la Lybie, prétendent y avoir vu une grande quantité d'ossemens de bœufs qui leur paroissoient manifestement avoir été dévorés par les serpens. Ce qui les en convainquit, c'est qu'en s'éloignant de la côte, ils furent poursuivis par ces serpens, dont quelques-uns renverserent une de leurs triremes.

Ετι δὲ λέοντες μὲν ἐν τῇ Εὐρώπῃ μᾶλλον, καὶ τῆς Εὐρώπης ἐν τῷ μεταξὺ τόπῳ τοῦ Αχελώου καὶ τοῦ Νέσσου. Παρδάλεις δ' ἐν τῇ Ασίᾳ· ἐν δὲ τῇ Εὐρώπῃ οὐ γίνονται. Ολως δὲ, τὰ μὲν ἄγρια ἀγριώτερα ἐν τῇ Ασίᾳ, ἀνδρειότερα δὲ πάντα τὰ ἐν τῇ Εὐρώπῃ, πολυμορφότατα δὲ τὰ ἐν τῇ Λιβύῃ· καὶ λέγεταί τις παροιμία, ὅτι ἀεὶ φέρει τι Λιβύη καινόν. Διὰ γὰρ τὴν ἀνομβρίαν, μίσγεσθαι δοκεῖ ἀπαντῶντα πρὸς τὰ ὑδάτια, καὶ τὰ μὴ ὁμόφυλα, καὶ ἐκφέρειν ὧν οἱ χρόνοι τῆς κυήσεως οἱ αὐτοὶ, καὶ τὰ μεγέθη μὴ πολὺ ἀπ' ἀλλήλων· πρὸς ἄλληλα δὲ πραΰνεται διὰ τὴν τοῦ ποτοῦ χρείαν. Καὶ γὰρ δέονται τοῦ πίνειν τοὐναντίον τῶν ἄλλων, τοῦ χειμῶνος μᾶλλον ἢ τοῦ θέρους. Διὰ γὰρ τὸ μὴ εἰωθέναι ὕδατα γίνεσθαι τοῦ θέρους, ἀσύνηθες αὐτοῖς τὸ πίνειν ἐστί· καὶ οἵ γε μύες, ὅταν πίωσιν, ἀποθνήσκουσι.

Γίνεται δὲ καὶ ἄλλα ἐκ μίξεως μὴ ὁμοφύλων· ὥσπερ καὶ ἐν Κυρήνῃ μίσγονται οἱ λύκοι ταῖς κυσὶ, καὶ γεννῶσι, καὶ ἐξ ἀλώπεκος καὶ κυνὸς οἱ Λακωνικοί. Φασὶ δὲ καὶ ἐκ τοῦ τίγριος καὶ κυνὸς γίνεσθαι τοὺς Ινδικοὺς· οὐκ εὐθὺς δὲ, ἀλλ' ἐπὶ τρίτης μίξεως· τὸ γὰρ πρῶτον γεννηθὲν θηριῶδες γίνεσθαί φασιν. Αγοντες δὲ, δεσμεύουσιν εἰς τὰς ἐρημίας τὰς κύνας· καὶ πολλαὶ κατεσθίονται, ἐὰν μὴ τύχῃ ὀργῶν πρὸς τὴν ὀχείαν τὸ θηρίον.

XXIX. Ποιοῦσι δὲ οἱ τόποι διαφέροντα καὶ τὰ ἤθη· οἷον οἱ ὀρεινοὶ καὶ τραχεῖς τῶν ἐν τοῖς πεδίοις καὶ τοῖς μαλακοῖς. Καὶ γὰρ τὰς ὄψεις ἀγριώτερα, καὶ ἀλκιμώτερα· καθάπερ καὶ οἱ ἐν τῷ Αθῳ ὗες. Τούτων γὰρ οὐδὲ τὰς θηλείας ὑπομένουσι τῶν κάτω οἱ ἄῤῥενες.

Καὶ πρὸς τὰ δήγματα δὲ τῶν θηρίων μεγάλην ἔχουσιν αἱ χῶραι διαφοράν· οἷον περὶ μὲν Φάρον καὶ ἄλλους τόπους οἱ σκορπίοι οὐ χαλεποί· ἐν ἄλλοις δὲ τόποις καὶ ἐν τῇ Καρίᾳ πολλοὶ, καὶ μεγάλοι, καὶ χαλεποὶ γίγνονται· καὶ ἐάν τινα πατάξωσιν ἄνθρωπον ἢ θηρίον, ἀποκτείνουσι, καὶ τὰς ὗς αἳ ἥκιστα αἰσθάνονται

Une autre observation du même genre, c'est que l'on trouve plus de lions en Europe qu'ailleurs, & sur-tout dans cette partie de l'Europe qui est entre l'Acheloüs & le Nessus; au contraire c'est en Asie qu'on trouve les pantheres; en Europe il n'y en a point. En général, dans l'Asie, les bêtes sauvages sont plus farouches; dans l'Europe elles sont plus courageuses; dans la Lybie leurs formes sont plus sujettes à varier : il est même passé en proverbe, que la Libye produit toujours quelque monstre nouveau. En Lybie, où il ne pleut point, les Animaux se rencontrent dans le petit nombre d'endroits où il se trouve de l'eau. Là les mâles s'accouplent avec des femelles d'espece différente. S'ils ne sont pas de taille trop disproportionnée, & que le tems de la gestation soit à-peu-près le même dans les deux especes, ils produisent. Le besoin d'eau qui les presse les uns & les autres les rend réciproquement moins farouches; & ce qui est singulier, c'est que c'est en hiver que ce besoin se fait plus sentir chez eux qu'en été. Comme dans le pays qu'ils habitent il ne tombe point de pluie l'été, ils sont accoutumés à ne pas boire dans cette saison. Les rats mourroient même s'ils buvoient.

Il y a encore d'autres Animaux qui naissent du mélange de différentes races. C'est ainsi qu'à Cyrene les loups se mêlent avec les chiennes, & cet accouplement est fécond. Les chiens de Laconie viennent d'un renard & d'une chienne: on prétend que ceux de l'Inde viennent d'un tigre & d'une chienne, non pas au premier accouplement, mais au troisieme. L'animal qui vient le premier de ce mélange est encore, dit-on, d'une nature féroce. Pour avoir de ces chiens, on attache des chiennes dans des lieux écartés; mais il y en a beaucoup de dévorées, jusqu'à ce qu'il arrive un animal qui soit pressé du desir de s'accoupler.

La diversité des lieux qu'habitent les Animaux met de la différence dans leur caractere. On distingue ceux qui habitent les lieux montueux & rudes, de ceux qui sont dans les plaines, ou dans des pays féconds & agréables. Les premiers ont quelque chose de plus sauvage & de plus robuste. On en voit un exemple dans les porcs du mont Athos: les mâles des vallées fuyent même devant les femelles de la montagne. XXIX.

La morsure des Animaux a encore des effets bien différens selon les pays où ils vivent : ainsi les scorpions d'auprès du Phare & d'autres endroits ne sont pas dangereux; mais ailleurs & particuliérement dans la Carie, où ils sont fort multipliés, ils sont gros & dangereux. S'ils piquent un homme ou une

τῶν ἄλλων δηγμάτων, καὶ τούτων τὰς μελαίνας μᾶλλον ἀποκτείνουσι. Μάλιστα δὲ ἀπόλλυνται αἱ ὗες πληγεῖσαι, ἐὰν εἰς ὕδωρ ἔλθωσι. Τά τε τῶν ὄφεων δήγματα, πολὺ διαφέρουσιν. Η τε γὰρ ἀσπὶς ἐν Λιβύῃ γίνεται, ἐξ οὗ ὄφεως ποιοῦσι τὸ σηπτικὸν, καὶ ἄλλως ἀνιάτως. Γίνεται δὲ καὶ ἐν τῷ σιλφίῳ τι ὀφίδιον, οὗ καὶ λέγεται ἄκος εἶναι λίθος τις, ὃν λαμβάνουσιν ἀπὸ τάφου βασιλέως τῶν ἀρχαίων, καὶ ἐν οἴνῳ ἀποβάψαντες, πίνουσι. Τῆς δ᾽ Ιταλίας ἔν τισι τόποις, καὶ τὰ τῶν ἀσκαλαβωτῶν δήγματα θανάσιμά ἐστι. Πάντων δὲ χαλεπώτερά ἐστι τὰ δήγματα τῶν ἰοβόλων, ἐὰν τύχῃ ἀλλήλων ἐδηδοκότα, οἷον σκορπίον ἔχις. Εστι γὰρ τοῖς πλείστοις αὐτῶν πολέμιον τὸ τοῦ ἀνθρώπου πτύελον. Εστι δέ τι ὀφίδιον μικρὸν, ὃ καλοῦσί τινες ἱεράν· ὃ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσι. Γίνεται δὲ τὸ μέγιστον πηχυαῖον, καὶ δασὺ ἰδεῖν. Ο τι δ᾽ ἂν δάκῃ, εὐθὺς σήπεται τὸ κύκλῳ. Εστι δὲ καὶ ἐν τῇ Ινδικῇ ὀφίδιόν τι, οὗ μόνου φάρμακον οὐκ ἔχουσι.

XXX. Διαφέρει δὲ τὰ ζῶα καὶ τῷ εὐημερεῖν ἢ τοὐναντίον, καὶ περὶ
34. τὰς κυήσεις. Τὰ μὲν γὰρ ὀστρακόδερμα, οἷον κτένες, καὶ ἅπαντα τὰ ὀστρεώδη, καὶ τὰ μαλακόστρακα, ἄριστά ἐστιν ὅταν κύῃ, οἷον τὰ καραβώδη. Λέγεται δὲ κύησις καὶ τῶν ὀστρακοδέρμων· τὰ μὲν γὰρ μαλακόστρακα καὶ ὀχευόμενα ὁρᾶται καὶ ἀποτίκτοντα, ἐκείνων δὲ οὐδέν. Καὶ τὰ μαλάκια δὲ κύοντα, ἄριστα, οἷον τευθίδες τε καὶ σηπίαι, καὶ πολύποδες. Οἱ δὲ ἰχθῦς, ἀρχόμενοι μὲν κυΐσκεσθαι, σχεδὸν ἀγαθοὶ πάντες· προϊούσης δὲ τῆς κυήσεως, οἱ μὲν, οἱ δ᾽ οὔ. Κύουσα μὲν οὖν ἀγαθὴ μαινίς. Μορφὴ δὲ τῆς θηλείας στρογγυλωτέρα· ὁ δ᾽ ἄρσην, μακρότερος καὶ πλατύτερος. Συμβαίνει δὲ ἀρχομένης κυΐσκεσθαι τῆς θηλείας, τοὺς ἄρρενας μέλαν τὸ χρῶμα ἴσχειν καὶ ποικιλώτερον, καὶ φαγεῖν χειρίστους εἶναι. Καλοῦνται δὲ ὑπ᾽ ἐνίων τράγοι κατὰ τοῦτον τὸν χρόνον. Μεταβάλλουσι δὲ καὶ οὓς καλοῦσι κοττύφους, καὶ κίχλας, καὶ ἡ καρὶς, τὸ χρῶμα κατὰ τὰς ὥρας, ὥσπερ ἔνια τῶν ὀρνέων· τοῦ μὲν

bête ils la tuent : les porcs même, quoique moins sensibles aux effets des morsures en général, meurent de cette piquûre, principalement les porcs noirs : & plutôt encore, si après avoir été frappés ils vont se mettre dans l'eau. Il y a également beaucoup de variété pour l'effet de la morsure du serpent. On fait de l'aspic, serpent qui se trouve en Libye, un poison qui putréfie les chairs & contre lequel on ne connoît point de reméde. Il vient dans le *silphium*, un petit serpent contre la blessure duquel le reméde est, dit-on, une pierre que l'on trouve dans le tombeau d'un ancien Roi. On la fait tremper dans du vin que l'on donne à boire. Dans certains cantons d'Italie la morsure du stellion même est mortelle. Tous ces Animaux venimeux deviennent encore plus à craindre lorsqu'ils ont mangé un autre animal venimeux ; ainsi la vipere est plus mauvaise lorsqu'elle a mangé un scorpion. La salive de l'homme est contraire à la plupart de ces Animaux. Il y a un petit serpent que quelques personnes appellent *sacré* & qui fait fuir de très gros serpens. Il est au plus de longueur d'une coudée ; & a la peau velue. Quand il mord, toutes les chairs d'alentour se pourrissent aussi-tôt. Dans l'Inde on a un autre petit serpent, qui est le seul de ce pays contre la morsure duquel les habitans n'ayent point de reméde.

Les Animaux varient encore en ce que les uns se portent mieux, & les autres au contraire moins bien dans le tems de leur gestation. Les testacées, tels que les pétoncles & tous les autres coquillages valent mieux lorsqu'ils sont pleins : il en est de même des crustacées, des langoustes par exemple, & des Animaux de leur espece. Je parle ici de gestation, même à l'égard des testacées, quoiqu'on ne les ait jamais vus ni s'accoupler ni pondre, ce qu'on voit dans les crustacées. Les mollusques également sont meilleurs lorsqu'ils sont pleins : tels sont les petits calmars, les seches, les polypes. Presque tous les poissons sont excellens au commencement du tems de leur gestation, mais à mesure que ce tems avance, quelques-uns d'entre eux changent & perdent leur qualité. Les *mænides* sont bonnes quand elles sont pleines : on distingue les femelles du mâle, en ce qu'elles sont plus rondes, au lieu que le mâle est plus long & plus large. Lorsque les *mænides* femelles commencent à porter, le mâle devient noir & tacheté, & il ne vaut rien à manger. Quelques personnes les appellent alors boucs. Les merles, les grives, & la squille, changent aussi de couleur suivant les saisons, de même qu'il arrive à quelques

XXX.
34.

γὰρ ἔαρος μέλανες γίνονται· εἶτα ἐκ τοῦ ἔαρος λευκοὶ πάλιν. Μεταβάλλει δὲ καὶ ἡ φυκὶς τὴν χρόαν· τὸν μὲν γὰρ ἄλλον χρόνον λευκή ἐστι· τοῦ δὲ ἔαρος ποικίλη. Μόνη δὲ αὕτη τῶν θαλαττίων ἰχθύων στιβάδας ποιεῖται, ὥς φασι, καὶ τίκτει ἐν ταῖς στιβάσι. Μεταβάλλει δὲ καὶ ἡ μαινὶς, ὥσπερ εἴρηται, καὶ ἡ σμαρίς· καὶ ἐκ λευκοτέρων πάλιν ἐν τῷ θέρει καθίστανται, καὶ γίνονται μέλανες. Μάλιστα δ' ἐπίδηλός ἐστι περὶ τὰ πτερύγια καὶ τὰ βράγχια.

Καὶ κορακῖνος δὲ ἄριστός ἐστι κύων, ὥσπερ καὶ ἡ μαινίς. Κεστρεὺς δὲ καὶ λάβραξ, καὶ οἱ λεπιδωτοὶ, φαῦλοι κύοντες σχεδὸν πάντες. Ὅμοιοι δὲ κύοντες καὶ μὴ, ὀλίγοι, οἷον γλαῦκος. Φαῦλοι δὲ καὶ οἱ γέροντες τῶν ἰχθύων· καὶ οἵ γε θύννοι καὶ εἰς ταριχείας φαῦλοι οἱ γέροντες· πολὺ γὰρ συντήκεται τῆς σαρκός. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει ἰχθύων. Δῆλοι δὲ οἱ γέροντες αὐτῶν τῷ μεγέθει τῶν λεπίδων καὶ τῇ σκληρότητι. Ἤδη δὲ εἰλήφθη γέρων θύννος οὗ σταθμὸς μὲν ἦν τάλαντα πεντεκαίδεκα, τοῦ δ' οὐραίου τὸ διάστημα δύο πήχεων ἦν καὶ σπιθαμῆς.


Οἱ δὲ ποτάμιοι καὶ οἱ λιμναῖοι ἄριστοι γίνονται μετὰ τὴν ἄφεσιν τοῦ κυήματος καὶ τοῦ θοροῦ, ὅταν ἀνατραφῶσιν. Κύοντες δ' ἔνιοι μὲν ἀγαθοὶ, οἷον σαπερδίς· ἔνιοι δὲ φαῦλοι, οἷον γλανίς. Οἱ μὲν οὖν ἄλλοι πάντες ἀμείνους οἱ ἄῤῥενες τῶν θηλειῶν· γλανὶς δὲ ὁ θῆλυς, τοῦ ἄῤῥενος ἀμείνων. Καὶ ἐν ταῖς ἐγχέλυσι δὲ, ἃς καλοῦσι θηλείας, ἀμείνους εἰσίν· οὐκ οὔσας δὲ θηλείας καλοῦσιν, ἀλλὰ τῇ ὄψει διαφόρους.



oiseaux. Au printems ils sont noirs; après cette saison ils redeviennent blancs. La *phycis* encore, change de couleur : au printemis elle est tachetée ; dans les autres saisons elle est blanche. C'est le seul des poissons de mer qui fasse un nid, du moins à ce que l'on rapporte, & qui y ponde. La *mænis* change aussi de couleur comme je l'ai dit, ainsi que la *maris*. Ces deux poissons après avoir été blancs, redeviennent noirs en été. Le changement de couleur est sensible sur-tout aux environs des nageoires & des bronches.

Le *coracin* est un excellent poisson lorsqu'il est plein, de même que la *mænis*. Au contraire le muge, le loup & presque tous les poissons à écailles, ne valent rien dans cet état. Il est peu de poissons qui ne change de qualité selon qu'il est plein ou qu'il ne l'est pas : on peut citer le glaucus comme faisant exception. Les vieux poissons ne sont pas bons non plus, & les thons, quand ils sont vieux, ne valent rien, même pour être salés, parce qu'ils perdent beaucoup de leur chair. Il en est de même des autres poissons. Leur vieillesse se connoît à la grandeur & à la sécheresse des écailles. On a pris un vieux thon qui pesoit quinze talens : l'ouverture de sa queue étoit de deux coudées & une palme.

Les poissons de rivieres & de lacs sont bons, lorsqu'après avoir jetté leurs œufs & leur liqueur spermatique, ils ont repris corps. Quelques-uns d'entre eux cependant sont bons tandis qu'ils portent encore ; telle est la *saperdis* : d'autres mauvais, tels que le *glanis*. En général on préfere dans les poissons, le mâle à la femelle, mais dans l'espece du *glanis* on estime davantage la femelle. Pareillement dans l'espece des anguilles, celles qu'on nomme femelles sont meilleures que les autres. Je dis celles qu'on nomme femelles, parce qu'elles ne le sont pas réellement : elles ont seulement une figure différente des autres.



HISTOIRE DES ANIMAUX.

LIVRE NEUVIEME.

Sujet de ce Livre.

Le caractere, les habitudes, les mœurs des Animaux, nous employerons ce terme d'après Aristote, sont l'objet du dernier Livre de son histoire. Des vues générales servent d'introduction : elles préparent les détails qui leur succédent.


Les Animaux de différentes especes sont amis ou ennemis entre eux : cet état de paix ou de guerre est le premier objet sur lequel Aristote porte ses réflexions. Delà il passe aux faits particuliers qui servent de fondement à ses observations generales sur le caractere des Animaux : il commence par les quadrupedes, mais on doit admirer davantage le détail dans lequel il entre par rapport aux oiseaux. Cette partie de l'Histoire naturelle, qui a encore tant d'obscurité pour nous, paroît en avoir eu beaucoup moins pour Aristote. Les mœurs des Oiseaux lui semblent aussi connus que ceux des quadrupedes.

Ce qu'il dit des poissons est plus court : les obstacles qu'on trouve à étudier leurs mœurs sont presque insurmontables.

Aristote s'est singulièrement attaché à décrire le travail des abeilles & des Animaux du même genre, guêpes, frelons, &c. En joignant à ce que l'on trouve ici sur les abeilles ce qui en a déja été dit au cinquième Livre, on a une histoire complette de cet insecte aussi industrieux qu'utile.

Le neuvième Livre est terminé par quelques autres observations, moins liées entre elles & avec les parties qui les précédent immédiatement, mais toujours essentiellement dépendantes de son sujet, le caractere & les mœurs des Animaux. Elles sont relatives à des Animaux de différens genres: peut être ne nous semblent-elles aujourd'hui détachées, qu'à raison de ce que ce dernier Livre a plus souffert de l'injure du tems.






ΠΕΡΙ ΖΩΩΝ ΙΣΤΟΡΙΑΣ,

ΤΟ Θ.

I. ΤΑ δ' ἤθη τῶν ζώων ἐστὶ, τῶν μὲν ἀμαυροτέρων καὶ βραχυβιωτέρων, ἧττον ἡμῖν ἔνδηλα κατὰ τὴν αἴσθησιν, τῶν δὲ μακροβιωτέρων, ἐνδηλότερα. Φαίνεται γὰρ ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν τῆς ψυχῆς παθημάτων φυσικὴν, περί τε φρόνησιν καὶ εὐήθειαν, καὶ ἀνδρίαν καὶ δειλίαν, περί τε πραότητα καὶ χαλεπότητα, καὶ τὰς ἄλλας τὰς τοιαύτας ἕξεις. Ενια δὲ κοινωνεῖ τινὸς ἅμα καὶ μαθήσεως καὶ διδασκαλίας· τὰ μὲν παρ' ἀλλήλων· τὰ δὲ παρὰ τῶν ἀνθρώπων· ὅσαπερ ἀκοῆς μετέχει, μὴ μόνον ὅσα τῶν ψόφων, ἀλλ' ὅσα καὶ τῶν σημείων διαισθάνηται τὰς διαφοράς.

Εν πᾶσι δὲ ὅσοις ἐστὶ γένεσι τὸ θῆλυ καὶ τὸ ἄῤῥεν, σχεδὸν ἡ φύσις ὁμοίως διέστησε τὸ ἦθος τῶν θηλειῶν πρὸς τὸ τῶν ἀῤῥένων· μάλιστα δὲ φανερὸν ἐπί τε τῶν ἀνθρώπων, καὶ τῶν μέγεθος ἐχόντων, καὶ τῶν ζωοτόκων τετραπόδων. Μαλακώτερόν τε γὰρ τὸ ἦθός ἐστι τὸ τῶν θηλειῶν, καὶ τιθασσεύεται θᾶττον, καὶ προσίεται τὰς χεῖρας μᾶλλον, καὶ μαθηματικώτερον· οἷον αἱ Λάκαιναι κύνες αἱ θήλειαι, εὐφυέστεραι τῶν ἀῤῥένων· τὸ δ' ἐν τῇ Μολοττίᾳ γένος τῶν κυνῶν, τὸ μὲν θηρευτικὸν οὐδὲν διαφέρει πρὸς τὸ παρὰ τοῖς ἄλλοις· τὸ δ' ἀκόλουθον τοῖς προβάτοις, τῷ μεγέθει, καὶ τῇ ἀνδρίᾳ τῇ πρὸς τὰ θηρία· διαφέρουσι δὲ οἱ ἐξ ἀμφοῖν ἀνδρίᾳ καὶ φιλοπονίᾳ, οἵ τε ἐκ τῶν ἐν τῇ Μολοττίᾳ γινομένων κυνῶν, καὶ ἐκ τῶν Λακωνικῶν. Αθυμότερα δὲ τὰ θήλεα πάντα τῶν ἀῤῥένων, πλὴν ἄρκτος καὶ πάρδαλις· τούτων γὰρ ἡ θήλεια, δοκεῖ εἶναι ἀνδρειοτέρα· ἐν δὲ τοῖς ἄλλοις γένεσι



HISTOIRE DES ANIMAUX.

LIVRE NEUVIEME.

LES mœurs des Animaux dont la vie eſt courte, ou qui vivent retirés, ne nous ſont pas auſſi bien connus, par les ſens au moins, que le ſont les mœurs des Animaux dont la vie eſt longue. On découvre chez eux une faculté naturelle, analogue aux différentes paſſions qui modifient notre ame ; prudence, lâcheté, courage, douceur, rudeſſe : je parcourerois ainſi toutes les habitudes de l'ame. Quelques-uns participent à une ſorte de capacité d'apprendre & de s'inſtruire, tantôt en prenant des leçons les uns des autres, tantôt en les recevant de l'homme ; ce ſont ceux qui ſont capables d'entendre : je ne veux pas dire ſeulement d'entendre la différence des ſons, mais de plus, de diſcerner la variété des ſignes. I.

Toute eſpece où les deux ſexes exiſtent, montre à peu près les mêmes différences établies par la nature entre le caractere du mâle & celui de la femelle : mais on les obſerve mieux dans les hommes, dans les Animaux qui ont une certaine grandeur, & dans les quadrupedes vivipares. Le caractere de la femelle eſt plus mou ; elle s'apprivoiſe plus promptement, reçoit plus volontiers les careſſes, eſt plus facile à former. Voyez les chiennes de Laconie : elles ſont d'un naturel qui l'emporte ſur celui des mâles. Les chiens Moloſſes, je ne parle pas de ceux dont on ſe ſert pour chaſſer & qui ne différent point des autres chiens, mais de ceux qu'on employe à la garde des troupeaux, ſe font remarquer par leur grandeur, & par le courage avec lequel ils attaquent les bêtes féroces. Les chiens nés d'un chien Moloſſe & d'une chienne de Laconie ſe diſtinguent par leur ardeur en même tems que par leur courage. En général les femelles ſont moins braves que les mâles, excepté dans les eſpeces de l'ours & de la panthere : là c'eſt la femelle qui paroît avoir le plus de courage.

τὰ θήλεα μαλακώτερα, κὴ κακουργότερα, κὴ ἧττον ἁπλᾶ, καὶ προπετέστερα, κὴ περὶ τὴν τῶν τέκνων τροφὴν φροντιστικώτερα. Τὰ δ' ἄῤῥενα ἐναντίως, θυμωδέστερά τε καὶ ἀγριώτερα, καὶ ἁπλέστερα, κὴ ἧττον ἐπίβουλα.

Τούτων δ' ἴχνη μὲν τῶν ἠθῶν ἐστιν ἐν πᾶσιν, ὡς εἰπεῖν· μᾶλλον δὲ φανερώτερα ἐν τοῖς ἔχουσι μᾶλλον ἦθος, κὴ μάλιστα ἐν ἀνθρώπῳ. Τοῦτο γὰρ ἔχει τὴν φύσιν ἀποτετελεσμένην, ὥστε καὶ ταύτας τὰς ἕξεις εἶναι φανερωτέρας ἐν αὐτοῖς. Διόπερ γυνὴ ἀνδρὸς ἐλεημονέστερον, καὶ ἀρίδακρυ μᾶλλον· ἔτι δὲ φθονερώτερόν τε καὶ μεμψιμοιρότερον, καὶ φιλολοίδορον μᾶλλον, καὶ πληκτικώτερον. Ἔτι δὲ καὶ δύσθυμον μᾶλλον τὸ θῆλυ τοῦ ἄῤῥενος, καὶ δύσελπι, καὶ ἀναιδέστερον, καὶ ψευδέστερον· εὐαπατητότερον δὲ, καὶ μνημονικώτερον· ἔτι δὲ ἀγρυπνότερον, κὴ ὀκνηρότερον, κὴ ὅλως ἀκινητότερον τὸ θῆλυ τοῦ ἄῤῥενος, κὴ τροφῆς ἐλάττονός ἐστι. Βοηθητικώτερον δὲ, καὶ ὥσπερ ἐλέχθη, ἀνδρειότερον τὸ ἄῤῥεν τοῦ θήλεός ἐστιν· ἐπεὶ καὶ ἐν τοῖς μαλακίοις, ὅταν τῷ τριόδοντι πληγῇ ἡ σηπία, ὁ μὲν ἄῤῥην βοηθεῖ τῇ θηλείᾳ· ἡ δὲ θήλεια, φεύγει τοῦ ἄῤῥενος πληγέντος.

2. Πόλεμος μὲν οὖν πρὸς ἄλληλα τοῖς ζώοις ἐστὶν, ὅσα τοὺς αὐτούς τε κατέχει τόπους, καὶ ἀπὸ τῶν αὐτῶν ποιεῖται τὴν ζωήν. Ἐὰν γὰρ ᾖ σπάνιος ἡ τροφὴ, καὶ πρὸς ἄλληλα τὰ ὁμόφυλα μάχεται· ἐπεὶ καὶ τὰς φώκας φασὶ πολεμεῖν τὰς περὶ τὸν αὐτὸν τόπον, καὶ ἄῤῥενι ἄῤῥενα, καὶ θηλείᾳ θήλειαν, ἕως ἂν ἀποκτείνῃ, ἢ ἐκβληθῇ θάτερον ὑπὸ θατέρου, κὴ τὰ σκυμνία ὡσαύτως πάντα. Ἔτι δὲ τοῖς ὠμοφάγοις ἅπαντα πολεμεῖ, κὴ ταῦτα τοῖς ἄλλοις· ἀπὸ γὰρ τῶν ζώων ἡ τροφὴ αὐτοῖς. Ὅθεν καὶ τὰς διεδρίας καὶ τὰς συνεδρίας οἱ μάντεις λαμβάνουσι· δίεδρα μὲν τὰ πολέμια τιθέντες· σύνεδρα δὲ τὰ εἰρηνεύοντα πρὸς ἄλληλα.

Κινδυνεύει δὲ, εἰ ἀφθονία τροφῆς εἴη, πρός τε τοὺς ἀνθρώπους ἀνέχειν τιθασσοῦσ, τὰ νῦν φοβούμενα αὐτῶν κὴ ἀγριαίνοντα,

Ailleurs les femelles sont plus molles, plus insidieuses, moins franches, plus pétulantes : mais elles sont plus attentives à l'éducation de leurs petits. Du côté des mâles il y a plus de bravoure : je dirai même de férocité. Ils marchent plus à découvert, & se livrent moins à la ruse.

C'est dans tous les Animaux, pour ainsi-dire, qu'on apperçoit des vestiges de ces différens caracteres ; mais ils sont plus frappans dans ceux qui ont plus de caractere : ils le sont plus encore dans l'homme, car sa nature est achevée : & delà toutes les habitudes de l'ame sont bien plus sensibles chez lui. Ainsi on voit la femme plus portée à la compassion que l'homme, plus sujette aux larmes ; plus jalouse aussi & plus disposée à se plaindre qu'on la méprise. Elle aime davantage à médire & à mordre : elle se décourage & se désespere plutôt. L'impudence & la fausseté se portent chez elle à de plus grands excès. On trompe les femmes plus facilement, mais elles oublient plus difficilement. Autre observation encore : les femmes sont plus éveillées quoique plus paresseuses ; en général les femelles sont moins agissantes, & il leur faut moins de nourriture ; le mâle est, comme je l'ai dit, plus courageux & plus prompt à secourir. On le voit jusques parmi les mollusques : si on harponne une séche femelle, le mâle vient à son secours ; la femelle fuit lorsqu'elle voit frapper le mâle.

Les Animaux sont en guerre les uns contre les autres quand ils habitent les 2.
mêmes lieux & qu'ils usent de la même nourriture. Si elle n'est pas assez abondante ils se battent, quoique Animaux de même espece. Ainsi, dit-on, les phoques, habitans du même canton, se battent mâle contre mâle, & femelle contre femelle, jusqu'à ce que l'un des deux ait tué son adversaire, ou l'ait chassé. Tous leurs petits se battent également. Les Animaux carnassiers sont en guerre avec tous les autres Animaux : tous leurs font la guerre & ils la font à tous, leur nourriture étant prise des Animaux même. C'est delà que les augures tirent les présages de concorde ou de division : des Animaux qui vivent en guerre annoncent la division ; des Animaux qui vivent en paix les uns avec les autres présagent la concorde.

Peut être l'abondance des alimens rendroit-elle privés à notre égard les Animaux que nous redoutons aujourd'hui & qui sont sauvages ; peut-être les

καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον. Δῆλον δὲ ποιεῖ τοῦτο ἡ περὶ Αἴγυπτον ἐπιμέλεια τῶν ζώων. Διὰ γὰρ τὸ τροφὴν ὑπάρχειν, καὶ μὴ ἀπορεῖν, μετ' ἀλλήλων ζῶσι καὶ αὐτὰ τὰ ἀγριώτατα. Διὰ τὰς ὠφελείας γὰρ ἡμεροῦται, οἷον ἐνιαχοῦ τὸ τῶν κροκοδείλων γένος πρὸς τὸν ἱερέα, διὰ τὴν ἐπιμέλειαν τῆς τροφῆς. Τὸ δ' αὐτὸ τοῦτ' ἔστιν ἰδεῖν καὶ περὶ τὰς ἄλλας χώρας γινόμενον, καὶ κατὰ μόρια τούτων.

Ἐστι δ' ἀετὸς καὶ δράκων πολέμια· τροφὴν γὰρ ποιεῖται τοὺς ὄφεις ὁ ἀετός. Καὶ ἰχνεύμων καὶ φάλαγξ· θηρεύει γὰρ τοὺς φάλαγγας ὁ ἰχνεύμων. Τῶν δ' ὀρνίθων, ποικιλίδες καὶ κορυδῶνες· καὶ πίπρα καὶ χλωρεύς· τὰ γὰρ ὠὰ κατεσθίουσιν ἀλλήλων. Καὶ κορώνη καὶ γλαῦξ· ἡ μὲν γὰρ, τῆς μεσημβρίας, διὰ τὸ μὴ ὀξὺ βλέπειν τὴν γλαῦκα τῆς ἡμέρας, κατεσθίει ὑφαρπάζουσα αὐτῆς τὰ ὠά· ἡ δὲ γλαῦξ, τῆς νυκτὸς τὰ τῆς κορώνης· καὶ κρείττων ἡ μὲν τῆς ἡμέρας, ἡ δὲ τῆς νυκτός ἐστι. Καὶ γλαῦξ δὲ καὶ ὄρχιλος πολέμια· τὰ γὰρ ὠὰ κατεσθίει καὶ οὗτος τῆς γλαυκός. Τῆς δὲ ἡμέρας, καὶ τὰ ἄλλα ὀρνίθια τὴν γλαῦκα περιπέτεται· ὃ καλεῖται θαυμάζειν· καὶ προσπετόμενα τίλλουσι· διὸ οἱ ὀρνιθοθῆραι θηρεύουσιν αὐτῇ παντοδαπὰ ὀρνίθια. Πολέμιος δὲ καὶ ὁ πρέσβυς καλούμενος, καὶ γαλῆ καὶ κορώνη· τὰ γὰρ ὠὰ καὶ τοὺς νεοττοὺς κατεσθίουσι αὐτῆς. Καὶ τρυγὼν καὶ πυραλίς· τόπος γὰρ τῆς νομῆς καὶ βίος ὁ αὐτός. Καὶ κελεὸς καὶ λιβυός. Ἰκτῖνος τε καὶ κόραξ· ὑφαιρεῖται γὰρ τοῦ κόρακος ὁ ἰκτῖνος ὅ τι ἂν ἔχῃ, διὰ τὸ κρείττων εἶναι τοῖς ὄνυξι καὶ τῇ πτήσει· ὥστε ἡ τροφὴ ποιεῖ πολεμίους καὶ τούτους.

Ἐτι οἱ ἀπὸ τῆς θαλάττης ζῶντες, ἀλλήλοις· οἷον βρένθος, καὶ λάρος, καὶ ἅρπη. Τριόρχης δὲ καὶ φρύνος, καὶ ὄφεις· κατεσθίει γὰρ ὁ τριόρχης αὐτούς. Τρυγὼν δὲ καὶ χλωρεύς· ἀποκτείνει γὰρ τὴν τρυγόνα ὁ χλωρεύς· καὶ ἡ κορώνη τὸν καλούμενον τύπανον. Τὸν δὲ κόλαριν ὁ αἰγωλιὸς, καὶ οἱ ἄλλοι γαμψώνυχες κατεσθίουσιν.

apprivoiseroit-elle

apprivoiseroit-elle aussi les uns à l'égard des autres. On peut le conclure de ce qui arrive par rapport aux Animaux dont on a soin en Egypte. Les Animaux les plus féroces vivent là les uns avec les autres, parce qu'ils ont une nourriture abondante qui ne leur manque point ; le bon traitement qu'ils reçoivent adoucit leur caractere. On le voit en particulier par la maniere dont vivent en certains lieux les crocodiles avec le Prêtre chargé de les nourrir. La même observation pourroit se répéter dans d'autres pays & dans différens cantons.

L'aigle & le dragon sont en guerre, car l'aigle mange les serpens. L'ichneumon & la phalange sont en guerre parce que l'ichneumon fait la chasse aux phalanges. Entre les oiseaux, l'oiseau tacheté & l'alouette, le pic & le *chloreus* sont en guerre parce qu'ils se mangent réciproquement leurs œufs. Il y a guerre entre la corneille & le chat-huant : comme celui-ci ne voit pas bien pendant le jour, la corneille, au plus haut du jour, enleve ses œufs & les mange : le chat-huant enleve la nuit ceux de la corneille. L'un est plus fort le jour, & l'autre la nuit. Le chat-huant est encore ennemi de l'orchile, parce que l'orchile mange également ses œufs. Si le chat-huant se montre le jour, les autres petits oiseaux l'environnent : c'est ce qu'on appelle venir l'admirer, & en volant autour de lui ils lui arrachent les plumes ; aussi les oiseleurs se servent-ils d'un chat-huant pour prendre toute sorte de petits oiseaux. L'oiseau appellé le sénateur, la belette & la corneille sont encore des ennemis du chat-huant, dont ils mangent & les œufs & les petits. La tourterelle & le pyralis sont ennemis : leur vie & le lieu où ils se nourrissent étant les mêmes. Pareillement le coureur & le libyen, le milan & le corbeau : car quand le corbeau tient sa proie, le milan qui vole mieux que lui & qui a les ongles plus forts, la lui enleve, de sorte que c'est encore à l'occasion de leur nourriture que ces oiseaux sont ennemis.

Il y a pareillement guerre entre les oiseaux qui tirent leur nourriture de la mer, la petite bernache, le goiland & la harpaye. Il y a guerre entre la buse, la grenouille de haye & le serpent, parce que la buse les mange : entre la tourterelle & le *chloreus* qui la tue. La corneille tue l'oiseau qu'on appelle le typanus ; la chouette & les autres oiseaux dont l'ongle est recourbé mangent le

ὅθεν ὁ πόλεμος αὐτοῖς. Πόλεμος δὲ ϰ̀ ἀσκαλαϐώτῃ ϰ̀ ἀράχνῃ· καθεσθίει γὰρ τὰς ἀράχνας ὁ ἀσκαλαϐώτης. Πίπῳ δὲ καὶ ἐρωδιῷ· τὰ γὰρ ὠὰ κατεσθίει καὶ τοὺς νεοττοὺς τοῦ ἐρωδιοῦ. Αἰγίθῳ δὲ καὶ ὄνῳ πόλεμος, διὰ τὸ παριόντα τὸν ὄνον ξύεσθαι εἰς τὰς ἀκάνθας τὰ ἕλκη· διά τε οὖν τοῦτο, κἂν ὀγκήσηται, ἐκϐάλλει τὰ ὠὰ καὶ τοὺς νεοττούς· φοϐούμενοι γὰρ ἐκπίπτουσιν· ὁ δὲ διὰ τὴν βλάϐην ταύτην κολάπτει ἐπιπετόμενος τὰ ἕλκη αὐτοῦ.

Λύκος δ᾽ ὄνῳ, καὶ ταύρῳ, καὶ ἀλώπεκι πολέμιος. Ὠμοφάγος γὰρ ὤν, ἐπιτίθεται τοῖς βουσὶ, καὶ τοῖς ὄνοις, ϰ̀ τῇ ἀλώπεκι· καὶ ἀλώπηξ δὲ καὶ κίρκος, διὰ τὴν αὐτὴν αἰτίαν. Γαμψώνυχος γὰρ ὢν καὶ ὠμοφάγος, ἐπιτίθεται, ϰ̀ λυπεῖ κόπτων. Καὶ κόραξ ταύρῳ καὶ ὄνῳ πολέμιος, διὰ τὸ τύπτειν ἐπιπετόμενος αὐτοὺς, καὶ τὰ ὄμματα κολάπτειν αὐτῶν. Πολεμεῖ δὲ καὶ αἰετὸς καὶ ἐρωδιός· γαμψώνυχος γὰρ ὢν ὁ αἰετὸς ἐπιτίθεται· ὁ δ᾽ ἀποθνήσκει ἀμυνόμενος. Καὶ αἰσάλων δὲ αἰγυπιῷ πολέμιος· καὶ κρὲξ κελεῷ, καὶ κοττύφῳ, καὶ χλωρίονι ὃν ἔνιοι μυθολογοῦσι γενέσθαι ἐκ πυρκαϊᾶς· καὶ γὰρ αὐτοὺς βλάπτει καὶ τὰ τέκνα αὐτῶν. Καὶ σίττη ϰ̀ τροχίλος αἰετῷ πολέμιά ἐστιν· ἡ γὰρ σίττη καταγνύει τὰ ὠὰ τοῦ ἀετοῦ. Ὁ δ᾽ ἀετὸς, καὶ διὰ τοῦτο, καὶ διὰ τὸ ὠμοφάγος εἶναι, πολέμιός ἐστι. Ἄνθος δὲ ἵππῳ πολέμιος· ἐξελαύνει αὐτὸν ὁ ἵππος ἐκ τῆς νομῆς, πόαν γὰρ νέμεται ὁ ἄνθος. Επάργεμος δέ ἐστι καὶ οὐκ ὀξυωπός. Μιμεῖται δὲ τοῦ ἵππου τὴν φωνὴν, καὶ φοϐεῖ ἐπιπετόμενος, καὶ ἐξελαύνει· ὅταν δὲ λάϐῃ, κτείνει αὐτόν. Οἰκεῖ δ᾽ ὁ ἄνθος παρὰ ποταμὸν καὶ ἕλη· χρόαν δ᾽ ἔχει καλὴν, καὶ εὐϐίοτος. Κωλωτῇ δ᾽ ὄνος πολέμιος· κοιμᾶται γὰρ ἐν τῇ φάτνῃ αὐτοῦ, καὶ κωλύει ἐσθίειν εἰς τοὺς μυκτῆρας ἐνδυόμενος.

Τῶν δ᾽ ἐρωδιῶν ἐστι τρία γένη· ὅ τε πέλλος, καὶ ὁ λευκὸς, καὶ ὁ ἀστερίας καλούμενος. Τούτων ὁ πέλλος χαλεπῶς εὐνάζεται καὶ ὀχεύει, κράζει τε γὰρ καὶ αἷμα, ὥς φασιν, ἀφίησιν ἐκ τῶν

colaris, ainsi ils sont ennemis. Le stellion & l'araignée sont en guerre, parce que le stellion mange les araignées : de même la pipone & le héron dont la pipone mange les œufs & les petits. Guerre entre l'ægithe & l'âne : celui-ci passe auprès des épines, il s'y frotte pour gratter ses ulceres. Lorsqu'il se met à braîre, il effraye tellement l'ægithe qu'il lui fait jetter ses œufs & que ses petits tombent du nid : c'est la cause de leur inimitié. L'ægithe, pour se venger, vole sur l'âne & déchire ses ulceres.

Le loup est en guerre avec l'âne, le taureau & le renard, parce qu'étant carnassier il se jette sur eux. La même cause rend ennemis le renard & le buzard : celui-ci qui a l'ongle crochu & qui est carnassier, se jette sur le renard & le tourmente en le frappant. Le corbeau est ennemi du taureau & de l'âne : il vole sur eux, les frappe & leur creve les yeux. L'aigle & le héron sont en guerre : l'aigle qui a l'ongle recourbé attaque le héron, & celui-ci meurt en se défendant. L'émérillon est en guerre avec *l'ægypius*, le *crex* avec le coureur, le merle & le *chlorion*, que quelques-uns prétendent fabuleusement naître des buchers : il les poursuit tous, eux & leurs petits. Autre inimitié entre la sitte, le roitelet & l'aigle, dont la sitte brise les œufs ; l'aigle est encore son ennemi par une autre raison, c'est comme oiseau carnassier.

L'oiseau appellé *fleur* est en guerre avec le cheval, parce qu'il se nourrit d'herbes & que le cheval le chasse des pâturages. Cet oiseau ayant une taye sur l'œil, sa vue est peu perçante. Il imite la voix du cheval, l'effraye en volant sur lui & le chasse à son tour : mais si le cheval le prend, il le tue. Son habitation est près des rivieres & des marêts, sa couleur belle, & pour la nourriture il n'est pas difficile. L'âne est ennemi du colotes : le colotes se couche dans la mangeoire, il entre dans les naseaux de l'âne & l'empêche de manger.

On distingue trois sortes de hérons, le noir, le blanc, & celui qu'on surnomme l'étoilé. Les approches & l'accouplement du héron noir sont pénibles ; la douleur le fait crier : on dit même qu'il jette alors du sang par les yeux. La

ὀφθαλμῶν ὀχεύων, καὶ τίκτει φαύλως καὶ ὀδυνηρῶς. Πολεμεῖ δὲ τοῖς βλάπτουσιν, αἰετῷ, ἁρπάζει γὰρ αὐτόν· καὶ ἀλώπεκι, φθείρει γὰρ αὐτὸν τῆς νυκτός· καὶ κορύδῳ, τὰ γὰρ ᾠὰ αὐτοῦ κλέπτει. Ὄφις δὲ γαλῇ καὶ ὑὶ πολέμιος· τῇ μὲν γαλῇ, κατ' οἰκίαν, ὅταν ὦσιν ἀμφότερα· ἀπὸ γὰρ τῶν αὐτῶν ζῶσιν· ἡ δὲ ὗς ἐσθίει τοὺς ὄφεις. Καὶ αἰσάλων ἀλώπεκι πολέμιος· τύπτει γὰρ καὶ τίλλει αὐτὴν, καὶ τὰ τέκνα ἀποκτείνει· γαμψώνυχος γάρ ἐστι. Κόραξ δὲ καὶ ἀλώπηξ ἀλλήλοις φίλοι· πολεμεῖ γὰρ τῷ αἰσάλωνι ὁ κόραξ, διὸ βοηθεῖ τυπτομένῃ αὐτῇ. Καὶ αἰγυπιὸς δὲ καὶ αἰσάλων πολέμιοι σφίσιν αὐτοῖς, ἀμφότεροι γὰρ γαμψώνυχοι. Μάχεται δὲ καὶ αἰετῷ αἰγυπιὸς καὶ κύκνος· κρατεῖ δ' ὁ κύκνος πολλάκις. Εἰσὶ δ' οἱ κύκνοι καὶ ἀλληλοφάγοι μάλιστα τῶν ὀρνέων.

Ἔστι δὲ τῶν θηρίων τὰ μὲν ἀεὶ πολέμια ἀλλήλοις· τὰ δ' ὥσπερ ἄνθρωποι, ὅταν τύχωσιν.

Ὄνος δὲ καὶ ἀκανθίδες πολέμιοι· αἱ μὲν γὰρ, ἀπὸ τῶν ἀκανθῶν βιοτεύουσιν· ὁ δ' ἁπαλὰς οὔσας ἐσθίει τὰς ἀκάνθας. Καὶ ἄνθος, καὶ ἀκανθὶς, καὶ αἴγιθος· λέγεται δ' ὅτι αἰγίθου καὶ ἄνθου αἷμα οὐ συμμίγνυται ἀλλήλοις.

Κορώνη δὲ καὶ ἐρωδιὸς φίλοι, καὶ σχοινίων καὶ κόρυδος, καὶ λαεδὸς, καὶ κελεός· ὁ μὲν γὰρ κελεὸς παρὰ ποταμὸν οἰκεῖ καὶ λόχμας, ὁ δὲ λαεδὸς πέτρας καὶ ὄρη, καὶ φιλοχωρεῖ οὗ ἂν οἰκῇ. Καὶ πίφηξ, καὶ ἅρπη, καὶ ἰκτῖνος, φίλοι· καὶ ἀλώπηξ, καὶ ὄφις· ἄμφω γὰρ τρωγλοδυτεῖ· καὶ κόττυφος, καὶ τρυγών.

Πολέμιοι δὲ καὶ ὁ λέων καὶ ὁ θῶς ἀλλήλοις· ὠμοφάγοι γὰρ ὄντες ἀπὸ τῶν αὐτῶν ζῶσι.

Μάχονται δὲ καὶ ἐλέφαντες σφοδρῶς πρὸς ἀλλήλους, καὶ τύπτουσι τοῖς ὀδοῦσι σφᾶς αὐτούς· ὁ δὲ ἡττηθεὶς δουλοῦται ἰσχυρῶς, καὶ οὐχ ὑπομένει τὴν τοῦ νικήσαντος φωνήν. Διαφέρουσι δὲ καὶ τῇ ἀνδρίᾳ ἀλλήλων οἱ ἐλέφαντες, θαυμαστὸν ὅσον. Χρῶνται δὲ

ponte de la femelle est également difficile & laborieuse. Il fait la guerre aux Animaux qui lui nuisent : à l'aigle qui quelquefois l'enleve, au renard qui le tue la nuit, & à l'alouette qui vole ses œufs. Le serpent est en guerre avec la belette & le porc : avec la premiere, quand ils se rencontrent dans le même lieu, parce qu'ils usent l'un & l'autre des mêmes alimens ; avec le porc, parce qu'il mange les serpens. L'émérillon est ennemi du renard, il le bat, lui arrache les poils & tue ses petits, car c'est un des oiseaux qui ont l'ongle recourbé. Au contraire le corbeau & le renard sont amis. L'émérillon est un ennemi commun, contre lequel le corbeau vient au secours du renard. *L'ægypius* & l'émérillon ayant l'un & l'autre l'ongle recourbé, vivent ennemis. *L'ægypius* & le cygne se battent avec l'aigle, & souvent le cygne est vainqueur. Il n'y a point d'oiseaux qui se mangent plus les uns les autres que les cygnes.

Observez que parmi les Animaux sauvages, les uns sont dans un état perpétuel de guerre entre eux ; les autres ne sont en guerre que dans certaines occasions, comme l'homme.

L'âne & l'épinier sont en guerre ; l'épinier se nourrit des épines que l'âne mange lorsqu'elles sont encore tendres. La fleur, l'épinier, l'ægithe sont en guerre ; on prétend même que le sang de l'ægithe & celui de la fleur ne sauroient se mêler.

Voici maintenant des oiseaux qui vivent amis. La corneille & le héron ; le jonc, l'alouette, le *lædus*, & le coureur : parce que de ces deux derniers le coureur habite près des rivieres, dans des lieux fourrés, le *lædus* préfere les rochers & les montagnes ; & chacun d'eux aime sa demeure. Le *piphex*, la harpaye & le milan sont amis ; le serpent & le renard le sont aussi, car ils se terrent tous deux. Le merle & la tourterelle, amis encore.

Le lion & le thos sont en guerre, parce que tous deux étant carnassiers leur nourriture est la même.

Les éléphans se livrent entre eux de violens combats : ils se frappent de leurs dents ; celui qui succombe est rudement traité en esclave ; il ne peut pas supporter la voix de son vainqueur. On est surpris de la différence de courage qu'il y a entre les éléphans. Les Indiens employent dans leurs armées

οἱ Ἰνδοὶ πολεμιστηρίοις, καθάπερ τοῖς ἄρρεσι καὶ ταῖς θηλείαις· εἰσὶ μέντοι καὶ ἐλάττονες αἱ θήλειαι, καὶ ἀψυχότεραι πολύ. Τοὺς δὲ τοίχους καταβάλλει ὁ ἐλέφας, τοὺς ὀδόντας τοὺς μεγάλους προσβάλλων. Τοὺς δὲ φοίνικας τῷ μετώπῳ, ἕως ἂν κατακλίνῃ, ἔπειτα τοῖς ποσὶν ἐπιβαίνων κατατείνει ἐπὶ τῆς γῆς. Ἔστι δὲ καὶ ἡ θήρα τῶν ἐλεφάντων τοιάδε· ἀναβάντες ἐπί τινας τῶν τιθασσῶν καὶ ἀνδρείων, διώκουσι· καὶ ὅταν καταλάβωσι, τύπτειν προστάττουσι τούτοις, ἕως ἂν ἐκλύσωσι· τότε δ' ὁ ἐλεφαντιστὴς ἐπιπηδήσας κατευθύνει τῷ δρεπάνῳ· ταχέως δὲ μετὰ ταῦτα τιθασσεύεται τε καὶ πειθαρχεῖ. Ἐπιβεβηκότος μὲν οὖν τοῦ ἐλεφαντιστοῦ ἅπαντες πρᾳεῖς εἰσιν· ὅταν δ' ἀποβῇ, οἱ μὲν, οἱ δ' οὔ· ἀλλὰ τῶν ἐξαγριουμένων τὰ πρόσθια σκέλη δεσμεύουσι σειραῖς, ἵν' ἡσυχάζωσιν. Ἔστι δὲ ἡ θήρα καὶ μεγάλων ἤδη ὄντων, καὶ πώλων.

II. Αἱ μὲν οὖν φιλίαι καὶ οἱ πόλεμοι τοῖς θηρίοις τούτοις,
3. διὰ τὰς τροφὰς καὶ τὸν βίον συμβαίνουσι. Τῶν δ' ἰχθύων οἱ μὲν συναγελάζονται μετ' ἀλλήλων, καὶ φίλοι εἰσίν· οἱ δὲ μὴ συναγελαζόμενοι, πολέμιοι. Ἔνιοι μὲν οὖν ἀγελάζονται κυοῦντες· ἔνιοι δὲ ὅταν ἐκτέκωσιν. Ὅλως δ' ἀγελαῖα ἐστὶ τὰ τοιάδε· θυννίδες, μαινίδες, κωβιοὶ, βῶκες, σαῦροι, κορακῖνοι, συνόδοντες, τρίγλαι, σφύραιναι, ἀνθίαι, ἐλεγῖνοι, ἀθερῖνοι, σαργῖνοι, βελόναι, τευθοὶ, ἰουλίδες, πηλαμίδες, σκόμβροι, κολίαι. Τούτων δ' ἔνιά ἐστιν οὐ μόνον ἀγελαῖα, ἀλλὰ καὶ σύζυγα· τὰ γὰρ λοιπὰ συνδυάζεται μὲν ἅπαντα· τὰς δὲ ἀγέλας ποιοῦνται κατ' ἐνίους καιροὺς, ὥσπερ εἴρηται, ὅταν κύωσιν· ἔνια δὲ, καὶ ὅταν τέκωσι. Λάβραξ δὲ καὶ κεστρεὺς πολεμιώτατοι ὄντες, κατ' ἐνίους καιροὺς συναγελάζονται ἀλλήλοις. Συναγελάζονται γὰρ πολλάκις οὐ μόνον τὰ ὁμόγονα, ἀλλὰ καὶ οἷς ἡ αὐτὴ καὶ ἡ παραπλήσιός ἐστι νομὴ, ἂν ᾖ ἄφθονος.

Ζῶσι δὲ πολλάκις ἀφῃρημένοι οἱ κεστρεῖς τὴν κέρκον, καὶ οἱ

les éléphans femelles comme les mâles; quoique les femelles soient beaucoup plus petites & ayent beaucoup moins d'ame. L'éléphant renverse les murailles en les frappant avec ses grandes dents; il appuye son front contre les palmiers, après les avoir baissés, il met le pied dessus & les couche à terre. Voici de quelle maniere on chasse ces Animaux. On monte sur quelques éléphans privés & courageux pour aller chercher les éléphans sauvages. Quand on les a atteints, le chasseur fait battre l'éléphant sauvage par celui sur lequel il est monté, jusqu'à ce que le premier soit excédé. Alors un conducteur monte dessus & dirige ses mouvemens avec son fer fait en faulx. L'éléphant ne tarde pas à s'apprivoiser & à devenir docile. Quand le conducteur est monté dessus, tous paroissent privés; mais lorsqu'il descend, il en est qui ne le sont plus; on leur lie les jambes de devant avec des cordes pour les tenir tranquilles. On va ainsi à la chasse soit des grands éléphans, soit de ceux qui sont encore jeunes.

Telles sont les liaisons & les guerres qu'établissent entre les Animaux dont je viens de parler, la maniere de se nourrir & celle de vivre. Parmi les poissons, il en est également qui se réunissent & sont amis : d'autres qui ne sont point unis & qui vivent en guerre. Quelques-uns vont en troupe dans le tems où les femelles sont pleines; d'autres, lorsqu'elles ont jetté leurs œufs. Voici en général, les poissons qui vivent en troupe. Les thons femelles, les *mænides*, les goujons, les bogues, les lacerto, les coracins, les dentales, les surmulets, les sphyrænes, les *anthias*, les *elegins*, les épis, les sargins, les aiguilles, les calmars, les julides, les pelamides, les maquereaux, les colias. Ce n'est pas même assez à l'égard de quelques-uns de ces poissons, de dire qu'ils vivent en troupe, il faut dire que, parmi eux, il y a une union permanente entre le mâle & la femelle. Tous les poissons se joignent bien par couples, mais, comme je l'ai observé, ils ne vont en troupe que dans une certaine saison, lorsque les femelles sont pleines, au lieu qu'il y en a qui demeurent en troupe même après ce tems. Le loup & le muge, d'ailleurs très ennemis, se réunissent en troupe dans de certains tems. Ce ne sont pas toujours des poissons de mer du même genre qui s'attroupent ainsi; souvent c'est assez pour les réunir qu'ils prennent ou la même nourriture, ou une nourriture qui se trouve à peu près dans le même lieu, & que cette nourriture soit abondante. II. 3.

Il n'est pas rare de voir des muges & des congres vivre quoique leur

γόγγροι, μέχρι τῆς ἐξόδου τῆς περιτλώσεως. Κατεσθίεται δὲ ὁ μὲν κεστρεὺς ὑπὸ λάβρακος, ὁ δὲ γόγγρος ὑπὸ μυραίνης. Ο δὲ πόλεμός ἐστι τοῖς κρείττοσι πρὸς τοὺς ἥττους· κατεσθίει γὰρ ὁ κρείττων. Καὶ περὶ μὲν τῶν θαλαττίων ταῦτα.

III. 4. Τὰ δ' ἤθη τῶν ζώων, ὥσπερ εἴρηται πρότερον, διαφέρει κατά τε δειλίαν καὶ πραότητα, καὶ ἀνδρίαν καὶ ἡμερότητα, καὶ νοῦν τε καὶ ἄνοιαν. Τό τε γὰρ τῶν προβάτων ἦθος, ὥσπερ λέγεται, εὔηθες καὶ ἀνόητον. Πάντων γὰρ τῶν τετραπόδων κάκιστόν ἐστι· καὶ ἕρπει εἰς τὰς ἐρημίας πρὸς οὐδὲν, καὶ πολλάκις χειμῶνος ὄντος, ἐξέρχεται ἔνδοθεν, καὶ ὅταν ὑπὸ τοῦ νιφετοῦ ληφθῶσιν, ἂν μὴ κινήσῃ ὁ ποιμὴν, οὐκ ἐθέλουσιν ἀπιέναι, ἀλλ' ἀπόλλυνται καταλειπόμενα, ἐὰν μὴ ἄῤῥενας κομίσωσιν οἱ ποιμένες· τότε δ' ἀκολουθοῦσι. Τῶν δ' αἰγῶν ὅταν τις μιᾶς λάβηται τὸ ἄκρον τοῦ ἠρύγγου, ἔστι δὲ οἷον θρὶξ, αἱ ἄλλαι ἑστᾶσιν ὥσπερ μεμωρωμέναι, καὶ βλέπουσιν εἰς ἐκείνην. Εγκαθεύδειν δὲ ψυχρότεραι αἱ ὄιες αἰγῶν· αἱ γὰρ ὄιες μᾶλλον ἡσυχάζουσι, καὶ προσέρχονται πρὸς τοὺς ἀνθρώπους· εἰσὶ δὲ αἶγες δυσριγότεραι τῶν ὄιων.

Διδάσκουσι δ' οἱ ποιμένες τὰ πρόβατα συνθεῖν, ὅταν ψοφήσῃ· ἐὰν γὰρ βροντήσαντος ὑπολειφθῇ τις, καὶ μὴ συνδράμῃ, ἐκτιτρώσκει, ἐὰν τύχῃ κύουσα. Διὸ ἐὰν ψοφήσῃ ἐν τῇ οἰκίᾳ, συνθέουσι, διὰ τὸ ἔθος. Απόλλυνται δὲ καὶ οἱ τράγοι, ὅταν ἀτιμαγελήσαντες ἀποπλανηθῶσιν, ὑπὸ θηρίων. Κατάκεινται δὲ αἱ ὄιες καὶ αἶγες ἀθρόαι κατὰ συγγένειαν· ὅταν δ' ὁ ἥλιος τραπῇ, θᾶττόν φασιν οἱ ποιμένες οὐκέτι ἀντιβλεπούσας καταχεῖσθαι τὰς αἶγας, ἀλλ' ἀπεστραμμένας ἀπ' ἀλλήλων.

IV. 5. Αἱ δὲ βόες καὶ νέμονται καθ' ἑταιρίας καὶ συνηθείας, κἂν μία ἀποπλανηθῇ ἀκολουθοῦσιν αἱ ἄλλαι· διὸ καὶ οἱ βουκόλοι, ἐὰν μίαν μὴ εὕρωσιν, εὐθὺς πάσας ἐπιζητοῦσι.

queue ait été coupée jusqu'à l'anus. C'est le loup qui mange le muge, & la murene le congre. Les gros poissons vivent en guerre avec les petits, parce qu'ils les mangent. Voilà ce que j'avois à dire des poissons de mer.

La timidité, la douceur, la bravoure, la docilité, l'intelligence, la stupidité, établissent, comme je l'ai déja observé, des différences de caractere entre les Animaux. On a raison de dire de la brebis, par exemple, qu'elle est d'un caractere simple & stupide. C'est le plus imbécille de tous les quadrupedes. Les brebis se traînent vers les landes, sans savoir pourquoi. Souvent elles sortent quoiqu'il fasse mauvais tems, & quand elles sont surprises de la neige il faut que le berger les pousse devant lui, autrement elles ne veulent point partir & elles périroient sur le lieu si le berger n'emportoit les mâles; alors elles suivent. Si vous prenez une chevre par l'extrémité de ces especes de cheveux qu'elle a sous le menton, les autres restent comme en extase à la regarder. Les brebis sont plus froides quand elles dorment, que les chevres : leur repos est plus tranquille & elles sont familieres avec l'homme. Les chevres supportent le froid plus difficilement que les brebis. III. 4.

Les bergers apprennent aux brebis à se rassembler quand elles entendent du bruit, parce que si quelque brebis pleine étoit surprise du tonnerre avant d'avoir rejoint le troupeau, elle avorteroit. Cette habitude fait que, même dans la maison, les brebis se réunissent quand elles entendent du bruit. A l'égard des boucs, quand ils s'écartent du troupeau, ils sont sujets à être tués par les bêtes sauvages. Les brebis & les chevres se couchent par familles, serrées l'une contre l'autre. Aussi-tôt que le soleil commence à descendre, les chevres si nous en croyons les bergers, ne se couchent plus en se regardant l'une l'autre, mais tournées dans le sens contraire.

Les vaches paissent aussi par compagnie. Elles s'habituent les unes aux autres, de sorte que si quelqu'une s'égare les autres la suivent. C'est ce qui fait que quand ceux qui les conduisent s'apperçoivent qu'il leur en manque une, ils ne manquent pas de faire le dénombrement de toutes. IV. 5.

Τῶν δ' ἵππων αἱ σύννομοι, ὅταν ἡ ἑτέρα ἀπόληται, ἐκτρέφουσι τὰ πῶλια ἀλλήλων, καὶ ὅλως γε δοκεῖ τὸ τῶν ἵππων γένος εἶναι φύσει φιλόστοργον. Σημεῖον δέ· Πολλάκις γὰρ αἱ στερίφαι ἀφαιρούμεναι τὰς μητέρας, τὰ πῶλια αὗται στέργουσι· διὰ δὲ τὸ μὴ ἔχειν γάλα, διαφθείρουσι.

V. 6. Τῶν δ' ἀγρίων καὶ τετραπόδων ἡ ἔλαφος οὐχ ἥκιστα δοκεῖ εἶναι φρόνιμον, τῷ τε τίκτειν παρὰ τὰς ὁδούς· τὰ γὰρ θηρία διὰ τοὺς ἀνθρώπους οὐ προσέρχεται· καὶ ὅταν τέκῃ, ἐσθίει τὸ χορίον πρῶτον· καὶ ἐπὶ τὴν σέσελιν δὲ τρέχουσι, καὶ φαγοῦσαι, οὕτως ἔρχονται πρὸς τὰ τέκνα πάλιν. Ἔτι δὲ τὰ τέκνα ἄγει ἐπὶ τοὺς σταθμοὺς, ἐθίζουσα οὗ δεῖ ποιεῖσθαι τὰς ἀποφυγάς· ἔστι δὲ τοῦτο πέτρα ἀπορρὼξ, μίαν ἔχουσα εἴσοδον· οὗ δὴ καὶ ἀμύνεσθαι ἤδη φασὶν ὑπομένουσαν.

Ἔτι δὲ ὁ ἄρρην, ὅταν γένηται παχὺς, γίνεται δὲ σφόδρα πίων ὀπώρας οὔσης· οὐδαμοῦ ποιεῖ ἑαυτὸν φανερὸν, ἀλλ' ἐκτοπίζει, ὡς διὰ τὴν παχύτητα εὐάλωτος ὤν. Ἀποβάλλουσι δὲ καὶ τὰ κέρατα ἐν τόποις χαλεποῖς καὶ δυσεξευρέτοις· ὅθεν καὶ ἡ παροιμία γέγονεν, Οὗ αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν· ὥσπερ γὰρ τὰ ὅπλα ἀποβεβληκυῖαι φυλάττονται ὁρᾶσθαι. Λέγεται δὲ ὡς τὸ ἀριστερὸν κέρας οὐδεὶς πω ἑώρακεν· ἀποκρύπτει γὰρ αὐτὸ, ὡς ἔχον τινὰ φαρμακείαν. Οἱ μὲν οὖν ἐνιαύσιοι οὐ φύουσι κέρατα, πλὴν ὥσπερ σημείου χάριν, ἀρχήν τινα· τοῦτο δ' ἐστὶ βραχὺ καὶ δασύ. Φύουσι δὲ διετεῖς πρῶτον τὰ κέρατα εὐθέα, καθάπερ παττάλους· διὸ καὶ καλοῦσι τότε πατταλίας αὐτούς. Τῷ δὲ τρίτῳ ἔτει δίκρουν φύουσι, τῷ δὲ τετάρτῳ τραχύτερον, καὶ τοῦτον τὸν τρόπον αἰεὶ ἐπιδιδόασι μέχρι ἓξ ἐτῶν. Ἀπὸ τούτου δὲ ὅμοια ἀεὶ ἀναφύουσιν, ὥστε μηκέτι ἂν γνῶναι τὴν ἡλικίαν τοῖς κέρασιν· ἀλλὰ τοὺς γέροντας γνωρίζουσι μάλιστα δυοῖν σημείοιν. Ὀδόντας τε γὰρ οἱ μὲν ὅλως οὐκ ἔχουσιν, οἱ δ' ὀλίγους· καὶ τοὺς ἀμυντῆρας οὐκέτι φύουσι. Καλοῦνται δὲ ἀμυντῆρες τὰ προνενευκότα

Parmi les cavales qui paiſſent enſemble, s'il en meurt une, lès autres ſe chargent de ſon poulain. En général ces Animaux ont naturellement beaucoup d'amitié pour les petits de leur eſpece. Une preuve, c'eſt que ſouvent des cavalles ſtériles enlevent à leurs meres des poulains pour les élever; mais le défaut de lait les fait périr.

Dans le nombre des quadrupedes ſauvages, la biche n'eſt pas une des V.
moins remarquables pour ſa prudence : ſoit lorſqu'elle dépoſe ſes petits auprès 6.
des chemins, parce que les hommes qui les fréquentent en écartent les animaux féroces, ſoit lorſqu'elle dévore les enveloppes de ſes petits auſſitôt après les avoir mis bas, qu'elle court au ſeſeli, en mange, puis revient à eux. La biche mene ſes faons dans les forts pour les accoutumer à connoître les endroits où il faudra qu'ils ſe mettent en ſûreté : c'eſt une roche eſcarpée, qui n'a d'accès que d'un côté. La biche s'y arrête, & s'y met, dit-on, en défenſe.

Le cerf devenu trop épais, ce qui lui arrive en Automne où il engraiſſe beaucoup, ne ſe montre plus nulle part. Il change de retraite : on diroit qu'il ſait qu'on le forcera plus facilement à cauſe de ſa graiſſe. Les cerfs jettent leur bois dans des lieux où l'on ne pénétre pas aiſément, & qui ſont difficiles à reconnoître. Delà le proverbe : *où les cerfs ont jetté leur bois.* Ils ne ſe laiſſent plus voir comme n'étant plus en état de défenſe. On prétend que jamais on n'a trouvé la partie gauche du bois d'un cerf & qu'il la cache comme ayant quelque vertu. Les cerfs d'un an n'ont pas encore de bois: ils en ont ſeulement une petite naiſſance qui en eſt comme la marque ; ce bois naiſſant eſt court & velu. A leur ſeconde année, leur bois s'allonge droit comme un piquet; auſſi leur donne-t-on alors le nom de *piquets.* La troiſieme année il a deux branches ; la quatrieme il eſt plus inégal, & il augmente de même chaque année juſqu'à ce que l'animal ait atteint ſix ans. Après cette époque, la tête du cerf ſe refait toujours la même, & on ne peut plus connoître ſon âge par ſon bois. Les vieux cerfs ſe reconnoiſſent à deux autres marques : ou ils n'ont plus du tout de dents, ou elles ſont petites, & la partie de leur bois qu'on appelle les défenſes ne renaît plus. Ce ſont ces cornichons

τῶν φυομένων κεράτων εἰς τὸ πρόσθεν, οἷς ἀμύνεται. Ταῦτα δ' οἱ γέροντες οὐκ ἔχουσιν, ἀλλ' εἰς τὸ ὀρθὸν γίνεται ἡ αὔξησις αὐτοῖς τῶν κεράτων. Αποβάλλουσι δ' ἀνὰ ἕκαστον ἐνιαυτὸν τὰ κέρατα, ἀποβάλλουσι δὲ περὶ τὸν θαργηλιῶνα μῆνα. Οταν δ' ἀποβάλλωσι, κρύπτουσιν ἑαυτοὺς τὴν ἡμέραν, ὥσπερ εἴρηται· κρύπτουσι δ' ἐν τοῖς δασέσιν, εὐλαβούμενοι τὰς μυίας. Νέμονται δὲ τὸν χρόνον τοῦτον ἐν τοῖς δασέσι νύκτωρ, μέχριπερ ἂν ἐκφύσωσι τὰ κέρατα. Φύεται δ' ὥσπερ ἐν δέρματι τὸ πρῶτον, καὶ γίνονται δασέα· ὅταν δ' αὐξηθῶσιν, ἡλιάζονται ἵν' ἐκπέψωσι καὶ ξηράνωσι τὸ κέρας. Οταν δὲ μηκέτι πονῶσι πρὸς τὰ δένδρα κνώμενοι αὐτὰ, τότε ἐκλείπουσι τοὺς τόπους τούτους, διὰ τὸ θαῤῥεῖν ὡς ἔχοντες ᾧ ἀμύνονται. Ηδη δὲ εἴληπται ἀχαίνης ἔλαφος, ἐπὶ τῶν κεράτων ἔχων κιττὸν πολὺν πεφυκότα χλωρὸν, ὡς ἁπαλῶν ὄντων τῶν κεράτων ἐμφύντα, ὥσπερ ἐν ξύλῳ χλωρῷ.

Οταν δὲ δηχθῶσιν αἱ ἔλαφοι ὑπὸ φαλαγγίου, ἤ τινος τοιούτου, τοὺς καρκίνους συλλέγουσαι ἐσθίουσι. Δοκεῖ δὲ καὶ ἀνθρώπῳ ἀγαθὸν εἶναι τοῦτο πίνειν· ἀλλ' ἔστιν ἀηδές.

Αἱ δὲ θήλειαι τῶν ἐλάφων, ὅταν τέκωσιν, εὐθὺς κατεσθίουσι τὸ χορίον, καὶ οὐκ ἔστι λαβεῖν· πρὸ γὰρ τοῦ χαμαὶ βαλεῖν, αὗται ἅπτονται. Δοκεῖ δὲ τοῦτ' εἶναι φάρμακον.

Αλίσκονται δὲ θηρευόμεναι αἱ ἔλαφοι συριττόντων καὶ ᾀδόντων· καὶ κατακηλοῦνται ὑπὸ τῆς ἡδονῆς. Δύο δ' ὄντων, ὁ μὲν φανερῶς ᾄδει, ἢ συρίττει· ὁ δὲ ἐκ τοῦ ὄπισθεν βάλλει, ὅταν οὗτος σημαίνῃ τὸν καιρόν. Εὰν μὲν οὖν τύχῃ ὀρθὰ τὰ ὦτα ἔχουσα, ὀξὺ ἀκούει, καὶ οὐκ ἔστι λαθεῖν· ἐὰν δὲ καταβεβληκυῖα τύχῃ, λανθάνει.

VI. Αἱ δ' ἄρκτοι ὅταν φεύγωσι, τὰ σκυμνία προωθοῦσι, καὶ
7. ἀναλαβοῦσαι φέρουσιν. Οταν δὲ ἐπικαταλαμβάνωνται, ἐπὶ τὰ δένδρα ἀναπηδῶσι· καὶ ὅταν ἐκ τοῦ φωλεοῦ ἐξέλθωσι, πρῶτον

qui viennent en devant du bois, & dont le cerf ſe ſert pour ſe défendre : quand il eſt vieux il ne les a plus, ſon bois monte droit. Le bois du cerf tombe chaque année vers le mois d'Avril. Le cerf qui ne l'a plus ſe cache, comme j'ai dit, pendant le jour, & ſe retire dans des bois épais pour y être à l'abri des mouches. Il ne va au viandis que la nuit & dans des lieux couverts, juſqu'à ce qu'il ait refait ſa tête. Le nouveau bois pouſſe d'abord comme enveloppé d'une peau : il eſt même couvert de poil. Quand il a pris ſa croiſſance, le cerf l'expoſe au ſoleil afin de le mûrir & de le ſécher, & lorſqu'il ne reſſent plus de douleur en frottant ſon bois contre les arbres, il quitte les lieux où il s'étoit retiré ; il eſt raſſuré parce qu'il a des armes pour ſe défendre. On a pris un cerf Achæen dont le bois étoit chargé de lierre verd qui y étoit attaché ; il falloit qu'il y fut venu comme ſur un arbre verd, tandis que le bois étoit tendre.

Un cerf qui ſe ſent mordu par une phalange ou par quelque autre inſecte ſemblable, ramaſſe des cancres & les mange. Un breuvage fait avec des cancres pourroit être bon auſſi pour les hommes en pareil cas, mais il eſt de mauvais goût.

Les biches mangent les enveloppes de leurs petits auſſi-tôt qu'elles ont mis bas : elles ne les laiſſent pas même tomber à terre, de ſorte qu'il n'eſt pas poſſible de s'en ſaiſir : vraiſemblablement elles contiennent quelque vertu.

Les chaſſeurs prennent les biches en chantant ou en jouant de la flûte ; elles ſe laiſſent charmer par le plaiſir de les entendre. Deux perſonnes vont enſemble ; l'une ſe montre & chante ou joue de la flûte ; l'autre ſe tient en arriere & tire ſa fleche au ſignal que le premier lui donne. Tant que la biche tient les oreilles droites, elle entend le moindre bruit & il eſt difficile de n'être pas découvert ; quand elle les a baiſſées, on la tire ſans qu'elle s'en apperçoive.

Les ourſes, obligées de fuir, chaſſent devant elles leurs petits ; elles les VI.
prennent même & les portent, & quand elles ſont ſur le point d'être priſes, 7.
elles montent aux arbres. Lorſque ces Animaux ſortent de leurs repaires, ils

τὸ ἄρον ἐσθίουσιν, ὥσπερ εἴρηται πρότερον· καὶ τὰ ξύλα διαμασσῶνται, ὥσπερ ὀδοντοφυοῦσαι.

8. Πολλὰ δὲ καὶ τῶν ἄλλων ζώων τῶν τετραπόδων ποιεῖ πρὸς βοήθειαν ἑαυτοῖς φρονίμως· ἐπεὶ καὶ ἐν Κρήτῃ φασὶ τὰς αἶγας τὰς ἀγρίας, ὅταν τοξευθῶσι, ζητεῖν τὸ δίκταμνον· δοκεῖ γὰρ τοῦτο ἐκβλητικὸν εἶναι τῶν τοξευμάτων ἐν τῷ σώματι. Καὶ αἱ κύνες δὲ ὅταν τι πονῶσιν, ἔμετον ποιοῦσι φαγοῦσαί τινα πόαν. Η δὲ πάρδαλις ὅταν φάγῃ τὸ φάρμακον τὸ παρδαλιαγχὲς, ζητεῖ τὴν τοῦ ἀνθρώπου κόπρον, βοηθεῖ γὰρ αὐτῇ. Διαφθείρει δὲ τοῦτο τὸ φάρμακον καὶ λέοντας· διὸ καὶ οἱ κυνηγοὶ κρεμαννύουσιν ἐν ἀγγείῳ, ἔκ τινος δένδρου, τὴν κόπρον, ὅπως μὴ ἀποχωρῇ μακρὰν τὸ θηρίον· αὐτοῦ γὰρ προσαλλομένη ἡ πάρδαλις, καὶ ἐλπίζουσα λήψεσθαι, τελευτᾷ. Λέγουσι δὲ ὡς κατανενοηκυῖαν τὴν πάρδαλιν ὅτι τῇ ὀσμῇ αὐτῆς χαίρουσι τὰ θηρία, ἀποκρύπτουσαν ἑαυτὴν θηρεύειν· προσιέναι γὰρ ἐγγὺς, καὶ λαμβάνειν οὕτω καὶ τὰς ἐλάφους.

Ο δὲ ἰχνεύμων ὁ ἐν Αἰγύπτῳ, ὅταν ἴδῃ τὸν ὄφιν τὴν ἀσπίδα καλουμένην, οὐ πρότερον ἐπιτίθεται πρὶν συγκαλέσῃ βοηθοὺς ἄλλους. Πρὸς δὲ τὰς πληγὰς καὶ τὰ δήγματα πηλῷ καταπλάττουσιν ἑαυτούς· βρέξαντες γὰρ ἐν τῷ ὕδατι πρῶτον, οὕτω καλινδοῦνται ἐν τῇ γῇ.

Τῶν δὲ κροκοδείλων χασκόντων οἱ τροχίλοι καθαίρουσιν εἰσπετόμενοι τοὺς ὀδόντας· καὶ αὐτοὶ μὲν τροφὴν λαμβάνουσιν, ὁ δ' ὠφελούμενος αἰσθάνεται, καὶ οὐ βλάπτει· ἀλλ' ὅταν ἐξελθεῖν βούληται, κινεῖ τὸν αὐχένα ἵνα μὴ συνδάκῃ.

Η δὲ χελώνη ὅταν ἔχεως φάγῃ, ἐπεσθίει τὴν ὀρίγανον· καὶ τοῦτο ὦπται· καὶ ἤδη κατιδών τις τοῦτο πολλάκις ποιοῦσαν αὐτὴν, ὅταν ἔσπασε τῆς ὀριγάνου, πάλιν ἐπὶ τὸν ἔχιν πορευομένην, ἐξέτιλλε τὸ ὀρίγανον· τούτου δὲ συμβάντος ἀπέθανεν ἡ χελώνη.

Η δὲ γαλῆ ὅταν ὄφει μάχηται, ἐπεσθίει τὸ πήγανον· πολεμία γὰρ ἡ ὀσμὴ τοῖς ὄφεσιν.

commencent par manger de l'*arum* : c'est ce que j'ai déja dit : & ils mâchent du bois comme si les dents leur faisoient mal pour pousser.

L'instinct apprend pareillement à beaucoup d'autres quadrupedes divers remédes. Ainsi l'on dit qu'en Crete les chevres sauvages, frappées d'une fleche, vont chercher du dictame, herbe qui paroît avoir la vertu de chasser dehors le fer de la fleche. Les chiennes malades mangent une certaine herbe pour se faire vomir. Si une panthere a avalé de ce poison qu'on nomme *la mort à la panthere*, & qui tue aussi le lion, elle cherche des excrémens humains, c'est pour elle un contrepoison : & c'est ce qui fait que les chasseurs suspendent à un arbre des excrémens humains dans un vase, afin que la panthere, après s'être empoisonnée n'aille pas chercher plus loin ; elle périt en sautant vers l'arbre dans l'espérance d'atteindre ce qui y est pendu. On prétend encore que la panthere sachant que les autres Animaux aiment à la sentir, se cache pour les prendre par cette ruse ; elle les laisse approcher, puis elle se jette sur eux, & prend de cette maniere jusqu'à des biches. 8.

L'ichneumon d'Égypte apperçoit-il le serpent qu'on nomme aspic, il l'attaque, mais seulement après avoir appellé d'autres ichneumons pour l'aider. Afin de se garantir de ses coups & de ses morsûres, ils se couvrent de limon, en se roulant sur la terre après s'être d'abord trempés dans l'eau.

Lorsque le crocodile a la gueule ouverte, le trochile y vole & lui nettoye les dents. Le trochile trouve là de quoi se nourrir, le crocodile sent le bien qu'on lui fait, & il ne cause aucun mal au trochile. Quand il veut le faire envoler, il remue le col afin de ne le pas mordre.

Une tortue qui a mangé une vipere, mange par dessus de l'origan ; c'est un fait dont on a été témoin : & même quelqu'un ayant vu une tortue répéter souvent ce manége, & après avoir pris de l'origan retouner à la vipere, arracha la plante. La tortue mourut alors.

La belette qui va se battre contre un serpent, mange de la rue, son odeur est ennemie du serpent.

Ο δὲ δράκων ὅταν ὀπωρίζῃ, τὸν ὀπὸν τῆς πικρίδος ἐκροφεῖ· καὶ τοῦθ' ἑώραται ποιῶν. Αἱ δὲ κύνες ὅταν ἑλμινθιῶσιν, ἐσθίουσι τοῦ σίτου τὸ λήιον. Οἱ δὲ πελαργοὶ, καὶ οἱ ἄλλοι τῶν ὀρνίθων, ὅταν ἑλκωθῇ τι μαχομένοις, ἐπιτιθέασι τὴν ὀρίγανον.

9. Πολλοὶ δὲ καὶ τὴν ἀκρίδα, ἑωράκασιν, ὅτι ὅταν μάχηται τοῖς ὄφεσι, λαμβάνεται τοῦ τραχήλου τῶν ὄφεων. Φρονίμως δὲ δοκεῖ καὶ ἡ γαλῆ χειροῦσθαι τοὺς ὄρνιθας· σφάζει γὰρ ὥσπερ οἱ λύκοι τὰ πρόβατα. Μάχεται δὲ καὶ τοῖς ὄφεσι, μάλιστα τοῖς μυοθήραις, διὰ τὸ καὶ αὐτὴν τοῦτο τὸ ζῶον θηρεύειν.

Περὶ δὲ τῆς τῶν ἐχίνων αἰσθήσεως συμβέβηκε πολλαχοῦ τεθεωρῆσθαι, ὅτι μεταβαλλόντων βορέων καὶ νότων, οἱ μὲν ἐν τῇ γῇ τὰς ὀπὰς αὐτῶν μετακινοῦσιν, οἱ δ' ἐν ταῖς οἰκίαις τρεφόμενοι μεταβάλλουσι πρὸς τοὺς τοίχους. Ωστ' ἐν Βυζαντίῳ γέ τινά φασι προλέγοντα λαβεῖν δόξαν, ἐκ τοῦ κατανενοηκέναι ταῦτα ποιοῦντα τὸν ἐχῖνον.

Η δ' ἴκτις ἐστὶ μὲν τὸ μέγεθος ἡλίκον Μελιταῖον κυνίδιον τῶν μικρῶν· τὴν δὲ δασύτητα, καὶ τὴν ὄψιν, καὶ τὸ λευκὸν τὸ ὑποκάτω, καὶ τοῦ ἤθους τὴν κακουργίαν, ὅμοιον γαλῇ· καὶ τιθασσὸν γίνεται σφόδρα. Τὰ δὲ σμήνη κακουργεῖ, τῷ γὰρ μέλιτι χαίρει. Εστι δὲ καὶ ὀρνιθοφάγον ὥσπερ αἱ αἴλουροι. Τὸ δ' αἰδοῖον αὐτῆς ἐστι μὲν, ὥσπερ εἴρηται, ὀστοῦν· δοκεῖ δ' εἶναι φάρμακον στραγγουρίας τὸ τοῦ ἄρρενος· διδόασι δ' ἐπιξύοντες.

VII. Ολως δὲ περὶ τοὺς βίους πολλὰ ἂν θεωρηθείη μιμήματα τῶν
10. ἄλλων ζώων τῆς ἀνθρωπίνης ζωῆς· καὶ μᾶλλον ἐπὶ τῶν ἐλαττόνων ἢ μειζόνων ἴδοι τις ἂν τὴν τῆς διανοίας ἀκρίβειαν· οἷον πρῶτον ἐπὶ τῶν ὀρνίθων ἡ τῆς χελιδόνος σκηνοπηγία. Τῇ γὰρ περὶ τὸν πηλὸν ἀχυρώσει τὴν αὐτὴν ἔχει τάξιν· συγκαταπλέκει γὰρ τοῖς κάρφεσι πηλόν· κἂν ἀπορῇ πηλοῦ, βρέχουσα αὐτὴν καλινδεῖται τοῖς πτεροῖς πρὸς τὴν κόνιν. Ετι δὲ

Le

Le dragon, lorsque les fruits l'ont rendu malade, avale du suc de laitue amere : on l'a vu. Les chiennes qui ont des vers, mangent du bled en herbe. Les cigognes & les autres oiseaux appliquent de l'origan sur les blessures qu'ils ont reçues dans leurs combats.

Plusieurs personnes ont vu le criquet lorsqu'il se bat avec le serpent, le 9.
prendre au col. La belette montre de la réflexion dans la chasse qu'elle fait aux oiseaux : elle les étrangle comme le loup étrangle les brebis. Elle fait la guerre aux serpens, sur-tout à ceux qui prennent les rats, parce qu'elle mange elle-même ces Animaux.

On s'est assuré en plusieurs endroits, que les hérissons sentant le changement des vents de nord ou de midi, ceux qui habitent sous la terre changent alors les ouvertures de leurs trous ; ceux qu'on nourrit dans les maisons passent d'une muraille à l'autre. Un homme de Byzance en ayant fait la remarque, s'acquit, dit-on, une réputation en prédisant lui-même les changemens de tems.

Le putois est un Animal de la grandeur d'un petit chien de Malte. L'épaisseur de son poil, sa figure, la couleur de son ventre qui est blanc ; & la méchanceté de son caractere le rapprochent de la belette. Il devient très-privé, mais il ravage les ruches, car il aime le miel. Il mange aussi des oiseaux, comme les chats. Ses parties génitales sont osseuses, ainsi que je l'ai déja dit. La verge du mâle paroît être un reméde contre la difficulté d'uriner ; on la donne en raclures.

L'ensemble de la vie des Animaux présente plusieurs actions qui sont des VII.
imitations de la vie humaine ; cette exactitude qui est le fruit de la réflexion 10.
est encore plus sensible dans les petits Animaux que dans les grands. Je citerai pour premier exemple parmi les oiseaux, l'hirondelle construisant son nid. Elle unit la paille à la boue de même que feroit l'homme ; elle entremêle la boue de petites brindilles : & si elle ne trouve point de boue, après s'être plongée dans l'eau, elle va secouer ses aîles sur la poussiere. Elle imite

ποιεῖται, καθάπερ οἱ ἄνθρωποι τὰ σκληρὰ πρῶτα ἀποτιθεῖσα, καὶ τῷ μεγέθει σύμμετρον ποιοῦσα πρὸς αὐτήν. Περί τε τὴν τροφὴν τῶν τέκνων ἐκπονεῖται ἀμφότερα· δίδωσι δὲ ἑκατέρῳ διατηροῦσα τινὶ συνηθείᾳ τὸ προειληφὸς, ὅπως μὴ δὶς λάβῃ. Καὶ τὴν κόπρον τὸ πρῶτον αὐταὶ ἐκβάλλουσιν· ὅταν δὲ αὐξηθῶσι, μεταστρέφοντας ἔξω διδάσκουσι τοὺς νεοττοὺς προΐεσθαι.

11. Περί τε τὰς περιστερὰς ἔστιν ἕτερα τοιαύτην ἔχοντα τὴν θεωρίαν. Οὔτε γὰρ συνδυάζεσθαι θέλουσι πλείοσιν, οὔτε προαπολείπουσι τὴν κοινωνίαν, πλὴν ἐὰν χῆρος ἢ χήρα γένηται. Ἔτι περὶ τὴν ὠδῖνα δεινὴ ἡ τοῦ ἄρρενος θεραπεία καὶ συναγανάκτησις· ἐάν τε ἀπομαλακίζηται πρὸς τὴν εἴσοδον τῆς νεοττίας διά τε τὴν λοχείαν, τύπτει καὶ ἀναγκάζει εἰσιέναι. Γενομένων δὲ τῶν νεοττῶν, τῆς ἁλμυριζούσης μάλιστα γῆς διαμασησάμενος εἰσπτύει τοῖς νεοττοῖς διοιγνὺς τὸ στόμα προπαρασκευάζων πρὸς τὴν τροφήν. Ὅταν δ' ἐκ τῆς νεοττίας ἐξάγειν μέλλῃ, πάντας ὁ ἄρρην ὀχεύει.

Ὡς μὲν οὖν ἐπιτοπολὺ, τοῦτον τὸν τρόπον στέργουσιν ἀλλήλας· παροχεύονται δέ ποτε καὶ τῶν τοὺς ἄρρενας ἐχουσῶν τινες. Ἔστι δὲ μάχιμον τὸ ζῷον, καὶ ἐνοχλοῦσιν ἀλλήλας, καὶ εἰς τὰς νεοττίας παραδύονται τὰς ἀλλήλων, ὀλιγάκις μέντοι· οὐ γὰρ ἂν ἄπωθεν ἧττον ᾖ, ἀλλὰ παρά γε τὴν νεοττίαν διαμάχονται ἐσχάτως.

Ἴδιον δὲ ταῖς περιστεραῖς δοκεῖ συμβεβηκέναι, καὶ ταῖς φαψὶ, καὶ τρυγόσι, τὸ μὴ ἀνακύπτειν πινούσας, ἐὰν μὴ ἱκανὸν πίωσιν. Ἔχει δὲ τὸν ἄρρενα ἡ τρυγὼν τὸν αὐτὸν, καὶ φάττα, καὶ ἄλλον οὐ προσίενται. Καὶ ἐπωάζουσιν ἀμφότεροι καὶ ὁ ἄρρην καὶ ἡ θήλεια. Διαγνῶναι δ' οὐ ῥᾴδιον τὴν θήλειαν καὶ τὸν ἄρρενα, ἀλλ' ἢ τοῖς ἐντός.

Ζῶσι δ' αἱ φάτται πολὺν χρόνον, καὶ γὰρ εἴκοσιν ἔτη καὶ πέντε, καὶ τριάκοντα ὠμμέναι ἤδη· ἔνιαι δὲ καὶ τετταράκοντα

l'homme dans la disposition de son lit : elle met dessous ce qu'elle a de plus dur, & elle fait ce lit d'une grandeur proportionnée à sa taille. Le mâle & la femelle prennent la même peine pour élever leurs petits. L'hirondelle donne à manger à chacun de ses petits successivement : une certaine habitude lui fait remarquer celui par lequel elle a commencé, afin de ne pas lui donner deux fois de suite. Elle porte d'abord la fiente de ses petits hors du nid, mais quand ils sont devenus plus grands elle leur apprend à se tourner eux mêmes en dehors pour jetter leur fiente.

Les pigeons fournissent d'autres faits qui donnent lieu à des remarques semblables. Leur union est composée d'un seul & d'une seule, & elle ne se dissout que quand l'un ou l'autre deviennent veufs. Les soins que le mâle se donne dans le tems de la ponte sont surprenans, ainsi que la colere où il entre contre sa femelle, lorsqu'elle est paresseuse à se mettre dans le nid à cause de la douleur que la ponte doit lui causer ; il la frappe & la contraint d'y entrer. Les petits étant éclos, il mâche de la terre, par préférence de la terre salée, & leur ouvrant le bec il l'y introduit, afin de les préparer à recevoir de la nourriture. Avant de les faire sortir du nid, il les coche tous. 11.

Tel est ordinairement l'amour réciproque des pigeons : cependant il s'en trouve quelques-uns qui cochent des femelles quoiqu'elles ayent un autre mâle. Ces Animaux aiment d'ailleurs à se battre, ils se tourmentent les uns les autres, & quelquefois, quoique rarement, ils vont jusqu'à entrer dans le nid les uns des autres. Les combats qu'ils se livrent loin de leur nid sont moins violens ; auprès du nid, ils sont furieux.

Ce paroît être une particularité des pigeons, des petits ramiers & des tourterelles, de ne point relever la tête en buvant, sinon lorsqu'ils ont assez bu.

La tourterelle & la femelle du ramier se contentent d'un seul mâle ; elles vivent avec lui sans en admettre d'autre. Le mâle & la femelle partagent les soins de l'incubation. On a peine à les distinguer l'un de l'autre, si ce n'est par les parties intérieures.

Les ramiers vivent long-tems. On en a vu de vingt-cinq & de trente ans ; quelques-uns vont jusqu'à quarante. En vieillissant, leurs ongles s'allongent

ἔτη. Πρεσβυτέρων δὲ γενομένων αὐτῶν, οἱ ὄνυχες αὐξάνονται, ἀλλ᾽ ἀποτέμνουσιν οἱ τρέφοντες· ἄλλο δ᾽ οὐδὲν βλάπτονται ἐπιδήλως γηράσκουσαι.

Καὶ αἱ τρυγόνες δὲ, καὶ αἱ περιστεραὶ, ζῶσι καὶ ὀκτὼ ἔτη, αἱ τετυφλωμέναι, ὑπὸ τῶν παλευτρίας τρεφόντων αὐτάς. Ζῶσι δὲ καὶ οἱ πέρδικες περὶ πεντεκαίδεκα ἔτη. Νεοττεύουσι δὲ καὶ αἱ φάβες καὶ αἱ τρυγόνες ἐν τοῖς αὐτοῖς τόποις ἀεί. Πολυχρονιώτερα δ᾽ ὅλως μὲν ἐστι τὰ ἄῤῥενα τῶν θηλέων· ἐπὶ δὲ τούτων τελευτᾷν φασί τινες πρότερον τὰ ἄῤῥενα τῶν θηλειῶν, τεκμαιρόμενοι ἐκ τῶν κατ᾽ οἰκίαν τρεφομένων παλευτριῶν.

Λέγουσι δέ τινες καὶ τῶν στρουθίων ἐνιαυτὸν μόνον ζῆν τοὺς ἄῤῥενας· ποιούμενοι σημεῖον, ὅτι τοῦ ἔαρος οὐ φαίνονται ἔχοντες εὐθὺς τὰ περὶ τὸν πώγωνα μέλανα, ὕστερον δ᾽ ἴσχουσιν ὡς οὐδενὸς σωζομένου τῶν προτέρων· τὰς δὲ θηλείας μακροβιωτέρας εἶναι τῶν στρουθίων· ταύτας γὰρ ἁλίσκεσθαι ἐν τοῖς νέοις, καὶ διαδήλας εἶναι τῷ ἔχειν τὰ χείλη σκληρά.

Διάγουσι δ᾽ αἱ μὲν τρυγόνες τοῦ θέρους ἐν τοῖς χειμερίοις, τοῦ δὲ χειμῶνος ἐν τοῖς ἀλεεινοῖς· αἱ δὲ σπίζαι, τοῦ μὲν θέρους ἐν τοῖς ἀλεεινοῖς, τοῦ δὲ χειμῶνος ἐν τοῖς ψυχροῖς.

VIII. 12. Οἱ δὲ βαρεῖς τῶν ὀρνίθων, οὐ ποιοῦνται νεοττίας· οὐ συμφέρει γὰρ μὴ πτητικοῖς οὖσιν· οἷον ὄρτυγες καὶ πέρδικες, καὶ τἄλλα τὰ τοιαῦτα τῶν ὀρνέων· ἀλλ᾽ ὅταν ποιήσωνται ἐν τῷ λείῳ κονίστραν, ἐν ἄλλῳ γὰρ τόπῳ οὐθενὶ τίκτει ἐπηλυγασάμενοι ἄκανθάν τινα καὶ ὕλην, τῆς περὶ τοὺς ἱέρακας ἕνεκα καὶ τοὺς ἀετοὺς ἀλεώρας, ἐνταῦθα τίκτουσι, καὶ ἐπωάζουσιν. Ἔπειτα ἐκλέψαντες εὐθὺς ἐξάγουσι τοὺς νεοττοὺς, διὰ τὸ μὴ δύνασθαι τῇ πτήσει πορίζειν αὐτοῖς τροφήν. Ἀναπαύονται δ᾽ ὑφ᾽ ἑαυτοὺς ἀγόμενοι τοὺς νεοττοὺς καὶ οἱ ὄρτυγες καὶ οἱ πέρδικες, ὥσπερ αἱ ἀλεκτορίδες· καὶ οὐκ ἐν τῷ αὐτῷ τίκτουσι καὶ ἐπωάζουσιν, ἵνα μή τις καταvοήσῃ τὸν τόπον, πλείω χρόνον προσεδρευόντων.

mais ceux qui en ont soin les leur coupent ; c'est d'ailleurs la seule infirmité que la vieillesse paroisse leur apporter.

Les tourterelles & les pigeons vivent jusqu'à huit ans, du moins ceux auxquels on creve les yeux & qu'on garde pour servir d'appeaux. La vie des perdrix est d'environ quinze ans. Les ramiers & les tourterelles font leur nid toujours au même endroit. En général les mâles vivent plus long-tems que les femelles, mais quelques personnes assurent que, dans les especes dont nous parlons, la vie des mâles est la plus courte ; ils l'ont observé sur ceux de ces oiseaux qu'on nourrit à la maison pour appeller les autres.

On prétend aussi que le passereau mâle ne vit qu'un an ; on en donne pour preuve que les passereaux qu'on voit au printems n'ont pas d'abord sous le cou cette barbe noire qui leur vient ensuite. Il n'étoit donc demeuré, dit-on, aucun de ceux de l'année précédente. On ajoute que les femelles de ces oiseaux vivent plus long-tems, & que parmi les jeunes on en prend de vieilles qui se distinguent à la dureté de la bordure du bec.

Les tourterelles passent l'été dans les lieux froids, & l'hiver dans les lieux chauds. Les pinsons au contraire habitent les lieux chauds l'été, & les lieux froids l'hiver.

Les oiseaux pesans, cailles, perdrix & autres semblables, ne font point de VIII.
nids ; ils leur seroient inutiles parce qu'ils ne volent pas ; mais après avoir 12.
ramassé de la poussiere dans un endroit uni : car il leur faut un pareil endroit pour pondre : ils y arrangent quelques épines & autres brindilles, pour se cacher de l'aigle & de l'épervier. Ils y déposent leurs œufs & les y couvent. Leurs petits ne sont pas plutôt éclos, qu'ils les conduisent au dehors, parce qu'ils ne peuvent pas voler pour leur aller chercher de la nourriture. Dans les momens de repos, les perdrix & les cailles rassemblent leurs petits sous elles comme les poules. On remarque aussi que ces oiseaux ne pondent & ne couvent pas à la même place, de peur qu'on ne découvrit un lieu où ils resteroient trop long-tems.

Οτὰν δὲ τις θηρεύῃ περιπεσὼν τῇ νεοττιᾷ, προκυλινδεῖται ἡ πέρδιξ τοῦ θηρεύοντος, ὡς ἐπίληπτος οὖσα, καὶ ἐπισπᾶται ὡς ληψόμενον ἐφ' ἑαυτὴν, ἕως ἂν διαδράσῃ τῶν νεοττῶν ἕκαστος, κατὰ δὲ ταῦτα ἀναπτᾶσα αὐτὴ ἀνακαλεῖται πάλιν. Τίκτει μὲν οὖν ᾠὰ ἡ πέρδιξ οὐκ ἐλάττω ἢ δέκα, πολλάκις δ' ἑκκαίδεκα.

Ωσπερ δ' εἴρηται, κακόηθες τὸ ὄρνεόν ἐστι καὶ πανοῦργον. Τοῦ δ' ἔαρος ἐκ τῆς ἀγέλης ἐκκρίνονται δι' ᾠδῆς καὶ μάχης κατὰ ζεύγη μετὰ θηλείας, ἣν ἂν λάβῃ ἕκαστος. Διὰ δὲ τὸ εἶναι ἀφροδισιαστικοὶ οἱ πέρδικες, ὅπως μὴ ἐπῳάζῃ ἡ θήλεια, οἱ ἄῤῥενες τὰ ᾠὰ διακυλινδοῦσι καὶ συντρίβουσιν, ἐὰν εὕρωσιν. Η δὲ θήλεια ἀντιμηχανωμένη, ἀποδιδράσκουσα τίκτει καὶ πολλάκις, διὰ τὸ ὀργᾷν τεκεῖν, ὅπου ἂν τύχῃ, ἐκβάλλει, ἂν παρῇ ὁ ἄῤῥην· καὶ ὅπως σώζηται ἀθρόα, οὐκ ἔρχεται πρὸς αὐτά. Καὶ ἐὰν ὑπ' ἀνθρώπου ὀφθῇ, ὥσπερ περὶ τοὺς νεοττοὺς, οὕτω καὶ ἀπὸ τῶν ᾠῶν ἀπάγει, πρὸ ποδῶν φαινομένη τοῦ ἀνθρώπου, ἕως ἂν ἀπαγάγῃ.

Οταν δ' ἀποδρᾶσα ἐπῳάζῃ, οἱ ἄῤῥενες κεκράγασι καὶ μάχονται συνιόντες· καλοῦσι δὲ τούτους χήρους. Ο δ' ἡττηθεὶς μαχόμενος ἀκολουθεῖ τῷ νικήσαντι, ὑπὸ τούτου ὀχευόμενος μόνου· Εὰν δὲ κρατηθῇ τις ὑπὸ τοῦ δευτέρου ἢ ὁποιουοῦν, οὗτος λάθρα ὀχεύεται ὑπὸ τοῦ κρατιστεύοντος. Γίνεται δὲ τοῦτο οὐκ ἀεὶ, ἀλλὰ καθ' ὥραν τινὰ τοῦ ἔτους· καὶ ἐπὶ τῶν ὀρτύγων ὡσαύτως. Ενίοτε δὲ συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν ἀλεκτρυόνων. Εν μὲν γὰρ τοῖς ἱεροῖς, ὅπου ἄνευ θηλειῶν ἀνάκεινται, τὸν ἀνατιθέμενον πάντες εὐλόγως ὀχεύουσι. Καὶ τῶν περδίκων δ' οἱ τιθασσοὶ τοὺς ἀγρίους πέρδικας ὀχεύουσι, καὶ ἐπικορίζουσι, καὶ ὑβρίζουσιν.

Επὶ δὲ τὸν θηρευτὴν πέρδικα ὠθεῖται τῶν ἀγρίων ὁ ἡγεμὼν, ἀντιάσας ὡς μαχούμενος. Τούτου δ' ἁλόντος ἐν ταῖς πηκταῖς, πάλιν προσέρχεται ἄλλος, ἀντιάσας τὸν αὐτὸν τρόπον. Εὰν μὲν οὖν ἄῤῥην ᾖ ὁ θηρεύων, τοῦτο ποιοῦσιν· ἐὰν δὲ θήλεια ἡ θηρεύουσα ᾖ, καὶ ᾄδουσα, ἀντιάσῃ δ' ὁ ἡγεμὼν αὐτῇ, οἱ ἄλλοι

Si un chasseur s'approche de la nichée d'une perdrix, la mere se roule devant lui comme si elle alloit se laisser attraper. Elle le fixe sur elle en lui faisant croire qu'il va la saisir, jusqu'à ce que chacun de ses petits ait gagné le large ; alors elle s'envole, puis elle les rappelle. La perdrix ne pond pas moins de dix œufs, souvent elle en pond jusqu'à seize.

Cet oiseau est, comme je l'ai dit, méchant & rusé. Au printems, ceux d'entre eux qui s'étoient réunis en troupe se séparent en chantant & en se battant. Ils se mettent par paire, chacun avec la femelle qu'il a prise. Le mâle est tellement lascif, qu'afin d'empêcher sa femelle de couver, il disperse & brise les œufs quand il les découvre, mais la femelle y pourvoit de son côté : elle s'éloigne du mâle pour pondre. Souvent, trop pressée du besoin de pondre, elle laisse échapper ses œufs où elle se trouve & en présence du mâle : mais pour les sauver du danger auquel ils sont exposés, elle ne s'y arrête point. Quand elle se voit découverte par un homme, elle fait comme quand elle a déja des petits : elle vient se présenter à ses pieds jusqu'à ce qu'elle l'ait éloigné de ses œufs.

Tandis que la femelle couve éloignée du mâle, on entend les mâles, qu'on appelle dans ce tems-là veufs, crier & se battre. Celui qui a été vaincu suit son vainqueur ; celui-ci le coche, mais il est le seul que souffre le vaincu : & si ce dernier, ou quelque autre qui accompagne le vainqueur, l'emporte lui-même dans le combat sur un troisieme, il le coche sans être vu. Les mâles ne se cochent pas ainsi dans tous les tems indifféremment, mais dans une certaine saison. Il en est de même parmi les cailles, & quelquefois aussi parmi les coqs. Dans les temples, où l'on en garde sans leur donner de poules, le nouveau coq qu'on vient offrir est coché par tous les autres, chacun à son tour. Les perdrix mâles apprivoisés se conduisent de même à l'égard des mâles sauvages ; ils les frappent avec dedain & les insultent.

La chasse de la perdrix offre un spectacle différent selon qu'on se sert pour appeau d'un mâle ou d'une femelle. Quand on se sert d'un mâle, celui qui est à la tête des perdrix sauvages s'avance comme pour livrer combat. Etant pris dans la cage, il s'en avance un second de la même maniere. Quand on se sert d'une femelle & que celle-ci vient à chanter, le premier des mâles

ἀθροισθέντες τύπτουσι τοῦτον, καὶ ἀποδιώκουσιν ἀπὸ τῆς θηλείας, ὅτι ἐκείνῃ ἀλλ' οὐκ αὐτοῖς προσέρχεται. Ὁ δὲ πολλάκις διὰ ταῦτα σιωπῇ προσέρχεται, ὅπως μὴ ἄλλος τῆς φωνῆς ἀκούσας, ἔλθῃ μαχούμενος αὐτῷ. Ἐνίοτε δέ φασιν οἱ ἔμπειροι τὸν ἄρρενα προσιόντα τὴν θήλειαν κατασιγάζειν, ὅπως μὴ ἀκουσάντων τῶν ἀρρένων ἀναγκασθῇ διαμάχεσθαι πρὸς αὐτούς.

Οὐ μόνον δὲ ὁ πέρδιξ ᾄδει, ἀλλὰ καὶ τριγμὸν ἀφίησι, καὶ ἄλλας φωνάς. Πολλάκις δὲ καὶ ἡ θήλεια ἐπωάζουσα ἀνίσταται, ὅταν τῇ θηρευούσῃ θηλείᾳ αἴσθηται προσέχοντα τὸν ἄρρενα, καὶ ἀντιάσασα ὑπομένει, ἵνα ὀχευθῇ, καὶ ἀποσπασθῇ ἀπὸ τῆς θηρευούσης. Οὕτω δὲ σφόδρα καὶ οἱ πέρδικες καὶ οἱ ὄρτυγες ἐπτόηνται περὶ τὴν ὀχείαν, ὥστ' εἰς τοὺς θηρεύοντας ἐμπίπτουσι, καὶ πολλάκις καθιζάνουσιν ἐπὶ τὰς κεφαλάς.

13. Περὶ μὲν οὖν τὴν ὀχείαν καὶ θήραν τῶν περδίκων τοιαῦτα συμβαίνει, καὶ περὶ τὴν ἄλλην τοῦ ἤθους πανουργίαν. Νεοττεύουσι δ' ἐπὶ τῆς γῆς, ὥσπερ εἴρηται, οἵ τε ὄρτυγες, καὶ οἱ πέρδικες, καὶ τῶν ἄλλων ἔνιοι τῶν πτητικῶν. Ἔτι δὲ τοιούτων ὁ μὲν κόρυδος, καὶ ὁ σκολόπαξ, καὶ ὄρτυξ, ἐπὶ δένδρου οὐ καθίζουσιν, ἀλλ'

IX. ἐπὶ τῆς γῆς. Ὁ δὲ δρυοκολάπτης οὐ καθίζει ἐπὶ τῆς γῆς· κόπτει δὲ τὰς δρῦς τῶν σκωλήκων καὶ σκνιπῶν ἕνεκεν, ἵν' ἐξίωσιν. Ἀναλέγεται γὰρ ἐξελθόντας αὐτοὺς τῇ γλώττῃ· πλατεῖαν δ' ἔχει καὶ μεγάλην. Καὶ πορεύεται ἐπὶ τοῖς δένδρεσι ταχέως πάντα τρόπον, καὶ ὕπτιος καθάπερ οἱ ἀσκαλαβῶται. Ἔχει δὲ καὶ τοὺς ὄνυχας βελτίους τῶν κολοιῶν πεφυκότας, πρὸς τὴν ἀσφάλειαν τῆς ἐπὶ τοῖς δένδρεσιν ἐφεδρείας· τούτους γὰρ ἐμπηγνὺς πορεύεται.

Ἔστι δὲ τῶν δρυοκολαπτῶν ἓν μὲν γένος ἔλαττον τοῦ κοττύφου· ἔχει δ' ὑπέρυθρα μικρά. Ἕτερον δὲ γένος μεῖζον ἢ κόττυφος. Τὸ δὲ τρίτον γένος αὐτῶν οὐ πολλῷ ἔλαττόν ἐστιν ἀλεκτορίδος θηλείας.

Sauvages

ſauvages s'avance. Les autres l'environnent, l'éloignent de la femelle & le frappent parce qu'il va à la femelle au lieu de venir à eux. Auſſi s'approche-t-il ſouvent en ſilence, de crainte qu'un autre l'entendant ne vienne ſe battre avec lui. Des gens au fait prétendent même que quelquefois le mâle en s'approchant fait taire la femelle, de peur que ſi elle étoit entendue par les autres mâles il ne fût obligé de ſe battre contre eux.

La perdrix chante, mais elle fait encore entendre ſa voix de pluſieurs manieres, entre autres par une ſorte de cri aigre. Il n'eſt pas rare de voir une femelle qui couve & qui apperçoit ſon mâle aller au-devant d'une femelle que le chaſſeur lui préſente, ſe lever & venir s'offrir à ſes deſirs, afin qu'en jouiſſant d'elle il oublie l'autre. La paſſion de l'amour eſt ſi violente dans les cailles & dans les perdrix, qu'elles viennent ſe jetter entre les mains de l'oiſeleur, & ſouvent ſe poſer juſques ſur ſa tête.

Voilà ce que nous avions à remarquer ſur l'accouplement des perdrix, 134
ſur la maniere de les prendre, & ſur ces ruſes qui forment leur caractere. Outre les cailles & les perdrix, qui, comme je viens de le dire, nichent à terre, il y a quelques oiſeaux, de la claſſe de ceux qui volent bien qui nichent de même. Par exemple, l'alouette, la becaſſe & la caille ne ſe per- IX.
chent point ſur les arbres, mais ſe poſent à terre. Le pic au contraire ne ſe poſe point à terre; il frappe les chênes pour en faire ſortir les vers & les moucherons qu'il attrape enſuite avec ſa langue large & longue. Il marche très preſtement le long des arbres, & dans toute ſorte de poſitions, même la tête en bas, comme les ſtellions. La nature lui a donné des ongles plus forts que ceux du choucas, pour qu'il put ſe tenir ferme ſur les arbres. C'eſt en fichant ces ongles dans l'arbre, qu'il grimpe.

Il y a une premiere eſpece de pic plus petit que le merle, & qui porte des taches rougeâtres. Une ſeconde eſpece eſt de la grandeur du merle. Les individus de la troiſieme eſpece ne ſont guere au-deſſous d'une poule.

Νεοττεύει δὲ ἐπὶ τῶν δένδρων, ὥσπερ εἴρηται, ἐν ἄλλοις τε τῶν δένδρων, καὶ ἐν ἐλαίαις. Βόσκεται δὲ τοὺς τε μύρμηκας καὶ τοὺς σκώληκας τοὺς ἐκ τῶν δένδρων. Θηρεύοντα δὲ τοὺς σκώληκας οὕτω σφόδρα φασὶ κοιλαίνειν, ὥστε καταβάλλειν τὰ δένδρα. Καὶ τιθασσευόμενος δέ τις ἤδη ἀμύγδαλον εἰς ῥωγμὴν ξύλου ἐνθεὶς, ὅπως ἐναρμοσθὲν ὑπομείνειν αὐτοῦ τὴν πληγὴν, ἐν τρίτῃ πληγῇ διέκοψε, καὶ κατήσθιεν αὐτοῦ τὸ ἁπαλόν.

X. Φρόνιμα δὲ πολλὰ καὶ περὶ τὰς γεράνους δοκεῖ συμβαίνειν.
forment trois différences. Les éperviers qui ont le corps large se nomment soubuzes. On a de plus, l'épervier tacheté & l'épervier au pinson. L'épervier lisse & celui qui mange les grenouilles de haye vivent facilement, ils volent terre à terre. Quelques personnes prétendent qu'il n'y a pas moins de dix especes différentes d'éperviers. Voici des caracteres qui les distinguent. Les uns attaquent & enlevent le pigeon posé sur la terre, & ne le touchent point quand il vole; les autres prennent le pigeon perché sur un arbre ou ailleurs, & le laissent s'il est à terre ou s'il vole. De troisiémes enfin n'attaquent le pigeon ni quand il est à terre, ni quand il est perché, & le poursuivent seulement quand ils le voyent voler. Les pigeons savent, dit-on, reconnoître chacune de ces especes d'éperviers; s'ils voyent celui qui ne les chasse que quand ils volent, ils restent posés où ils se trouvent: si c'est celui qui les attaque à terre, ils s'envolent sans l'attendre. Dans cette partie de la Thrace nommée autrefois Cedropolis, il se fait auprès des marais une chasse aux oiseaux, en commun entre l'homme & l'épervier. Les hommes battent avec des perches les roseaux & les arbres, & font partir les petits oiseaux. Les éperviers se montrent en l'air & les poursuivent: la crainte les force à rabattre vers la terre, où les hommes les frappent de leurs perches & les tuent. Le gibier pris se partage, on en jette une partie aux éperviers qui le

ὑπολαμβάνουσι. Καὶ περὶ τὴν Μαιῶτιν δὲ λίμνην τοὺς λύκους φασὶ συνήθεις εἶναι τοῖς ποιουμένοις τὴν θήραν τῶν ἰχθύων· ὅταν δὲ μὴ μεταδιδῶσι, διαφθείρειν αὐτῶν τὰ δίκτυα ξηραινόμενα ἐν τῇ γῇ.

XXXVII 48. Τὰ μὲν οὖν περὶ τοὺς ὄρνιθας τοῦτον ἔχει τὸν τρόπον. Ἐστὶ δὲ καὶ ἐν τοῖς θαλαττίοις ζώοις πολλὰ τεχνικὰ θεωρῆσαι πρὸς τοὺς ἑκάστων βίους. Τά τε γὰρ θρυλλούμενα περὶ τὸν βάτραχον τὸν ἁλιέα καλούμενον ἐστιν ἀληθῆ, καὶ τὰ περὶ τὴν νάρκην. Ὁ μὲν γὰρ βάτραχος, τοῖς πρὸ τῶν ὀφθαλμῶν ἀποκρεμαμένοις, ὧν τὸ μὲν μῆκός ἐστι τριχῶδες, ἐπ' ἄκρου δὲ στρογγύλον, ὥσπερ προσκείμενον ἑκατέρῳ δελέατος χάριν. Ὅταν οὖν ἐν τοῖς ἀμμώδεσιν ἢ θολώδεσιν ἀναταράξας κρύψῃ ἑαυτὸν, ἐπαίρει τὰ τριχώδη· κοπτόντων δὲ τῶν ἰχθυδίων, συντάττει μέχριπερ ἂν πρὸς τὸ στόμα προσαγάγῃ. Ἡ τε νάρκη, ναρκᾶν ποιοῦσα ὧν ἂν κρατήσειν μέλλῃ ἰχθύων, τῷ τρόπῳ ὃν ἔχει ἐν τῷ σώματι λαμβάνουσα, τρέφεται τούτοις. Καταχρύπτεται δ' εἰς τὴν ἄμμον καὶ πηλόν· λαμβάνει δὲ τὰ ἐπινέοντα, ὅσα ἂν ναρκήσῃ ἐπιφερόμενα τῶν ἰχθύων· καὶ τοῦτο αὐτόπται γεγένηνταί τινες. Κατακρύπτει δὲ καὶ ἡ τρυγὼν αὐτήν· πλὴν οὐχ ὁμοίως. Σημεῖον δὲ ὅτι τοῦτον τὸν τρόπον ζῶσιν· ἁλίσκονται γὰρ ἔχοντες κεστρέας πολλάκις, ὄντες αὐτοὶ βραδύτατοι, τὸν τάχιστον τῶν ἰχθύων. Ἔπειτα ὁ μὲν βάτραχος, ὅταν μηκέτ' ἔχῃ τὰ ἐπὶ ταῖς θριξὶν, ἁλίσκεται λεπτότερος· ἡ δὲ νάρκη, φανερά ἐστι καὶ τοὺς ἀνθρώπους ποιοῦσα ναρκᾶν. Καταμμίζουσι δ' ἑαυτοὺς καὶ ὄνος, καὶ βάτραχος, καὶ ψῆττα, καὶ ῥίνη· καὶ ὅταν ποιήσῃ ἑαυτὰ ἄδηλα, εἶτα ῥαβδεύεται τοῖς ἐν τῷ στόματι, ἃ καλοῦσιν οἱ ἁλιεῖς ῥαβδία· τὰ δὲ μικρὰ ἰχθύδια προσέρχονται, ὡς πρὸς φυκία, ἀφ' ὧν τρέφονται.

49. Ὅπου δ' ἂν ἀνθίας ὀφθῇ, οὐκ ἔστι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι καταχολυμβῶσιν οἱ σπογγεῖς, καὶ καλοῦσιν ἱεροὺς ἰχθῦς

prennent. On raconte que de même auprès des Palus-mæotides, les loups ſont accoutumés à aller avec les pêcheurs de ces cantons, & que quand ceux-ci manquent à leur donner une partie de leur pêche, les loups rongent les filets qu'on met ſécher à terre.

C'eſt aſſez parler des oiſeaux. Les Animaux qui habitent la mer ne montrent pas moins d'induſtrie dans la maniere de vivre qui eſt propre à chacun d'eux. En effet, ce que l'on rapporte ſoit de la grenouille appellée le *pêcheur*, ſoit de la torpille, eſt exact. La grenouille dont je parle a, au-devant des yeux, des appendices qui s'allongent comme des poils, & arrondis à l'extrémité: c'eſt comme un double appas qu'elle porte avec elle. Après avoir troublé ſoit la vaſe, ſoit le ſable, elle s'y cache, & éleve ces appendices. Les petits poiſſons venant les ſaiſir, elle les retire & les rapproche juſques vers ſa bouche. La torpille employe un autre moyen: elle engourdit par cette vertu qui lui eſt propre, les poiſſons qu'elle veut prendre, les mange & s'en nourrit. Pour y réuſſir elle ſe cache dans le ſable & le limon, engourdit les petits poiſſons qui paſſent au-deſſus d'elle; tout autant qu'elle en engourdit, elle les prend. C'eſt un fait dont on a des témoins oculaires. La paſtenaque ſe cache auſſi, mais d'une autre maniere. Une preuve que ces poiſſons vivent ainſi de ruſe, c'eſt que ſouvent on en prend qui ont, dans le corps, des muges, le plus agile des poiſſons, tandis qu'ils ſont les plus lents de tous. D'ailleurs lorſqu'on prend une des grenouilles que j'ai nommées, qui n'a plus de bouton à l'extrémité des eſpeces de poils que j'ai décrits, on la trouve plus maigre. Quant à l'engourdiſſement que cauſe la torpille, il eſt aſſez connu, puiſqu'elle le fait éprouver aux hommes mêmes. L'âne, la grenouille, la plie & la lime ſe cachent tous, enſuite ils remuent ces appendices qu'ils ont auprès de la bouche & que les pêcheurs appellent leurs verges: les petits poiſſons s'approchent en les prenant pour des brins du fucus dont ils ſe nourriſſent. XXXVII 48.

Il n'y a point de poiſſon vorace dans les lieux où l'on voit l'anthias. Les chercheurs d'éponges ne manquent pas de s'en aſſurer avant de plonger: ils 49.

τούτους, ἔοικε δὲ συμπλώματι· καθάπερ ὅπου ἂν ᾖ κοχλίας, σῦς οὐκ ἔστιν, οὐδὲ πέρδιξ. Καλεσθίουσι γὰρ πάντες τοὺς κοχλίας.

50. Ο δ' ὄφις ὁ θαλάττιος, τὸ μὲν χρῶμα παραπλήσιον ἔχει τῷ γόγγρῳ, καὶ τὸ σῶμα· πλὴν ἐστιν ἀμαυρότερος καὶ σφοδρότερος. Εὰν δὲ ληφθῇ καὶ ἀφεθῇ, εἰς τὴν ἄμμον καταδύεται ταχὺ, τῷ ῥύγχει διατρυπήσας. Εχει δ' ὀξύτερον στόμα τῶν ὄφεων.

51. Ην δὲ καλοῦσι σκολόπενδραν, ὅταν καταπίῃ τὸ ἄγκιστρον, ἐκτρέπεται τὰ ἐντὸς ἐκτὸς, ἕως ἂν ἐκβάλλῃ τὸ ἄγκιστρον· εἶθ' οὕτως εἰστρέπεται πάλιν ἐντός. Βαδίζουσι δ' αἱ σκολόπενδραι πρὸς τὰ κνισσώδη, ὥσπερ καὶ αἱ χερσαῖαι. Τῷ μὲν οὖν στόματι οὐ δάκνουσι, τῇ δὲ ἅψει καθ' ὅλον τὸ σῶμα, ὥσπερ αἱ καλούμεναι κνίδαι.

52. Τῶν δ' ἰχθύων αἱ ὀνομαζόμεναι ἀλώπεκες, ὅταν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκασι, βοηθοῦσι πρὸς τοῦτο ὥσπερ καὶ ἡ σκολόπενδρα. Αναδραμοῦσαι γὰρ ἐπιπολὺ πρὸς τὴν ὁρμιὰν, ἀποτρώγουσιν αὐτῆς· ἁλίσκονται γὰρ περὶ ἐνίους τόπους πολυαγκίστροις, ἐν ῥοώδεσι καὶ βαθέσι τόποις.

53. Συστρέφονται δὲ καὶ αἱ ἀμίαι ὅταν τι θηρίον ἴδωσι, καὶ κύκλῳ αὐτῶν περινέουσιν αἱ μέγισται· κἂν ἅπτηται τινὸς ἀμύνουσιν· ἔχουσι δ' ὀδόντας ἰσχυρούς. Καὶ ἤδη ὦπται καὶ ἄλλα καὶ λαμία ἐμπεσοῦσα καὶ καθελκυσθεῖσα.

54. Τῶν δὲ ποταμίων, ὁ γλάνις ὁ ἄρρην περὶ τὰ τέκνα ποιεῖται ἐπιμέλειαν πολλήν. Η μὲν γὰρ θήλεια, τεκοῦσα ἀπαλλάττεται· ὁ δὲ ἄρρην, οὗ ἂν πλεῖστον συστῇ τοῦ κυήματος, ᾠοφυλακεῖ παραμένων, οὐδεμίαν ὠφέλειαν ἄλλην παρεχόμενος, πλὴν ἐρύκων τἄλλα ἰχθύδια, μὴ διαρπάσωσι τὸν γόνον· καὶ τοῦτο ποιεῖ ἡμέρας τετταράκοντα καὶ πεντήκοντα, ἕως ἂν αὐξηθεὶς ὁ γόνος δύνηται διαφεύγειν ἀπὸ τῶν ἄλλων ἰχθύων. Γινώσκεται δ' ὑπὸ τῶν ἁλιέων οὗ ἂν τύχῃ ᾠοφυλακῶν. Ερύκων γὰρ τὰ ἰχθύδια ἄττει, καὶ ἦχον ποιεῖ καὶ μυγμόν. Οὕτω δὲ φιλοστόργως μένει πρὸς τοῖς ᾠοῖς,

nomment ces poissons *sacrés*. C'est je crois l'effet de la même cause pour laquelle on ne voit ni porcs ni perdrix où il y a des limaçons : c'est que les porcs & les perdrix mangent tous les limaçons.

Le serpent de mer approche du congre pour la couleur, & la forme du corps, seulement il est d'une teinte plus foncée & il est plus robuste. Si on le prend & qu'on le lâche, il s'enfonce aussi-tôt dans le sable, en l'ouvrant avec son museau. Il a cette partie plus pointue que les autres serpens. 50.

Lorsque la scolopendre a avalé l'hameçon, elle jette ses intestins hors de son corps, en les retournant, si bien qu'elle se débarrasse de l'hameçon ; après quoi elle les fait rentrer de nouveau. Ces scolopendres sont attirées par l'odeur de la viande grillée, comme les scolopendres de terre. Elles ne mordent point avec la bouche ; mais le tact de tout le corps cause de la douleur comme dans cet animal qu'on nomme ortie de mer. 51.

Les chiens de mer surnommés renards, savent aussi-bien que les scolopendres se délivrer de l'hameçon qu'ils sentent avoir avalé : ils remontent le plus haut qu'ils peuvent vers la ligne, & la rongent : car c'est la maniere de quelques-uns de les prendre dans des lieux profonds & où il se trouve des courants, avec des lignes chargées de plusieurs hameçons. 52.

Les bonitons apperçoivent-ils un poisson vorace ? ils se tournent sur lui, les plus gros nagent autour en rond, & s'il touche à quelqu'un, les autres le défendent : ce poisson a la dent forte. On a vu différens poissons qui l'avoient attaqué, & une lamie entre autres, être entraînée en bas par les bonitons. 53.

Entre les poissons de riviere, le glanis mâle a singuliérement soin de ses petits. La femelle s'éloigne quand elle a jetté ses œufs, mais le mâle reste près de l'endroit où les œufs se sont arrêtés en plus grande quantité, & il les garde : cette garde se réduit à empêcher l'approche des petits poissons qui pourroient détruire son frai. Il persévere pendant quarante & cinquante jours, jusqu'à ce que les petits glanis soient devenus assez grands pour pouvoir échapper par la suite. Il est facile aux pêcheurs de connoître le lieu où le glanis garde ses œufs, car en écartant les petits poissons il bondit, s'agite, & fait d'ailleurs entendre un certain son. L'attache qu'il a pour ses œufs est telle que si, comme il arrive quelquefois, ces œufs étant embarrassés 54.

ὥςε οἱ ἁλιεῖς ἑκάςοτε, ἐὰν ἐν βαθείαις ῥίζαις τὰ ᾠὰ προσῇ, ἀνάγουσιν ὡς ἂν δύνωνται εἰς βραχύτατον· ὁ δὲ ὁμοίως οὐκ ἀπολείπει τὸν γόνον· ἀλλ' ἐὰν μὲν νέος τύχῃ, ταχέως ὑπὸ τοῦ ἀγκίςρου ἑάλω, διὰ τὸ ἁρπάζειν τὰ προσιόντα τῶν ἰχθυδίων· ἐὰν δ' ᾖ συνήθης καὶ ἀγκιςροφάγος, λείπει μὲν οὐδ' ὣς τὸν γόνον, τῷ δὲ ὀδόντι τῷ σκληροτάτῳ συνδακὼν διαφθείρει τὰ ἄγκιςρα.

55. Απαντα δὲ καὶ τὰ πλωτὰ καὶ τὰ μόνιμα τούτους νέμεται τοὺς τόπους ἐν οἷς ἂν φύωσι, καὶ τοὺς ὁμοίους τούτοις· ἡ γὰρ οἰκεία τροφὴ ἑκάςων ἐν τούτοις ἐςί. Πλανᾶται δὲ μάλιςα τὰ σαρκοφάγα, πάντα δὲ χεδόν ἐςι σαρκοφάγα, πλὴν ὀλίγων, οἷον κεςρέως, καὶ σάλπης, καὶ τρίγλης, καὶ χαλκίδος. Τὴν δὲ καλουμένην φωλίδα, ἡ μύξα ἣν ἀφίησι περιπλάττεται περὶ αὐτὴν, καὶ γίνεται καθάπερ θαλάμη.

56. Τῶν δ' ὀςρακοδέρμων καὶ ἀπόδων ὁ κτεὶς μάλιςα καὶ πλεῖςον κινεῖται δι' αὑτοῦ πετόμενος· ἡ γὰρ πορφύρα ἐπὶ μικρότατον προέρχεται, καὶ τὰ ὅμοια ταύτῃ.

57. Εκ δὲ τοῦ Εὐρίπου τοῦ Πυῤῥαίου οἱ ἰχθύες χειμῶνος μὲν ἐκπλέουσιν ἔξω, πλὴν κωβιοῦ, διὰ τὸ ψύχος. Ψυχρότερος γάρ ἐςιν ὁ Εὔριπος· ἅμα δὲ τῷ ἔαρι πάλιν εἰσπλέουσιν. Οὐ γίνεται δ' ἐν τῷ Εὐρίπῳ οὔτε σκάρος, οὔτε θρίσσα, οὔτε ἄλλο τῶν ἀκανθηρῶν οὐδὲν, οὐδὲ γαλεοὶ, οὐδὲ ἀκανθίαι, οὐδὲ κάραβοι, οὐδὲ πολύποδες, οὐδὲ βολιταῖναι, οὐδ' ἀλλ' ἄττα· τῶν δ' ἐν τῷ Εὐρίπῳ φυομένων οὐκ ἔςι πελάγιος ὁ λευκὸς κωβιός.

58. Ακμάζουσι δὲ τῶν ἰχθύων οἱ μὲν ᾠοφόροι τοῦ ἔαρος, ἄχρις οὗ ἂν ἐκτέκωσιν· οἱ δὲ ζωοτόκοι, τοῦ μετοπώρου, καὶ πρὸς τούτοις κεςρεῖς καὶ τρίγλαι, καὶ τἆλλα τὰ τοιαῦτα πάντα. Περὶ δὲ τὴν Λέσβον, καὶ τὰ πελάγια πάντα καὶ τὰ εὐριπώδη τίκτει ἐν τῷ Εὐρίπῳ· ὀχεύονται μὲν οὖν τοῦ μετοπώρου, τίκτουσι δὲ τοῦ ἔαρος. Εςι δὲ καὶ τὰ σελάχη κατὰ μὲν τὸ μετόπωρον ἀναμὶξ τὰ ἄῤῥενα τοῖς θήλεσι κατὰ τὴν ὀχείαν· τοῦ δὲ ἔαρος εἰσπλέουσι

entre

entre des racines dans les bas fonds, les pêcheurs les entraînent plus loin dans d'autres lieux moins profonds encore, le glanis ne les abandonne pas. S'il est jeune, il est bien aisé de le prendre alors à l'hameçon, parce qu'il se jette avec vivacité sur tout ce qu'il rencontre de petits poissons; s'il est plus au fait & en état de manger l'hameçon, il a bien la même constance à suivre ses petits, mais il mord l'hameçon, & sa dent étant très ferme il le casse.

Tous les Animaux aquatiques, soit qu'ils nagent, soit qu'ils demeurent attachés à une place, se nourrissent ou dans les lieux où ils sont nés, ou dans 55.
des lieux semblables, parce que c'est là que se trouve la nourriture propre à chacun d'eux. Les poissons qui mangent de la chair s'écartent davantage, & presque tous en mangent, à l'exception d'un petit nombre, tels que le muge, la saupe, le surmulet, & le *chalcis*. La bave que jette la pholis se répand autour d'elle, elle lui forme comme un lit.

Le pétoncle est, entre les testacées & les Animaux sans pieds, celui qui a 56.
de lui-même le plus de mouvement & qui en fait le plus d'usage : il vole. Le mouvement progressif de la pourpre & des autres qui lui ressemblent, est très-peu considérable.

Les poissons qui habitent l'Euripe Pyrrhéen en sortent l'hiver à cause du 57.
froid qui est très-sensible dans cette mer : le goujon seul y demeure. Ils y reviennent avec le printems. L'Euripe ne produit ni scare, ni alose, ni aucun des autres poissons qui ont beaucoup d'arrêtes ; on n'y trouve ni chiens, ni acanthias, ni langoustes, ni polypes, ni bolitænes, ni autres Animaux semblables. Le goujon blanc de l'Euripe ne va point en haute mer.

Le tems où les poissons se portent le mieux, est pour les ovipares, depuis le 58.
printems jusqu'à ce qu'ils ayent jetté leurs œufs; pour les vivipares, auxquels il faut joindre les muges, les surmulets & tous les autres du même genre, c'est l'automne. Indépendamment des poissons qui habitent dans l'Euripe, tous les poissons qui fréquentent la haute mer viennent dans ce même lieu, auprès de l'isle de Lesbos, pour y déposer leur frai. Ils s'accouplent en automne & font leurs petits au printems. C'est aussi en automne que les sélaques mâles vont avec leurs femelles, pour s'accoupler; au printems ils nagent séparés l'un

διακεκριμένα, μέχρις ἂν ἐκτέκωσι· κατὰ δὲ τὴν ὀχείαν ἁλίσκεται πολλὰ συνεζευγμένα.

Τῶν δὲ μαλακίων πανουργότατον μὲν ἡ σηπία, καὶ μόνον χρῆται τῷ θόλῳ κρύψεως χάριν, καὶ οὐ μόνον φοβουμένη. Ὁ δὲ πολύπους καὶ ἡ τευθὶς διὰ φόβον ἀφίησι τὸν θόλον. Ἀφίησι δὲ ταῦτα πάντα οὐδέποτε ἀθρόον τόν θόλον· καὶ ὅταν ἀφῇ, αὐξάνεται πάλιν. Ἡ δὲ σηπία, ὥσπερ εἴρηται, τῷ τε θόλῳ πολλάκις χρῆται κρύψεως χάριν, καὶ προδείξασα εἰς τὸ πρόσθεν, ἀναστρέφεται εἰς τὸν θόλον. Ἔτι δὲ θηρεύει τοῖς μακροῖς τοῖς ἀποτείνουσιν, οὐ μόνον τὰ μικρὰ τῶν ἰχθυδίων, ἀλλὰ καὶ κεστρέας πολλάκις. Ὁ δὲ πολύπους, ἀνόητον μέν ἐστι, καὶ γὰρ πρὸς τὴν χεῖρα βαδίζει τοῦ ἀνθρώπου καθιεμένην. Οἰκονομικὸς δ᾽ ἐστί· πάντα γὰρ συλλέγει μὲν εἰς τὴν θαλάμην, οὗ τυγχάνει κατοικῶν. Ὅταν δὲ καταναλώσῃ τὰ χρησιμώτατα, ἐκβάλλει τὰ ὄστρακα, καὶ τὰ κελύφια τῶν καρκίνων καὶ κογχυλίων, καὶ τὰς ἀκάνθας τῶν ἰχθυδίων· καὶ θηρεύει τοὺς ἰχθῦς, τὸ χρῶμα μεταβάλλων, καὶ ποιῶν ὅμοιον οἷς ἂν πλησιάζῃ λίθοις· Τὸ δ᾽ αὐτὸ τοῦτο ποιεῖ καὶ φοβηθείς. Λέγεται δ᾽ ὑπό τινων, ὡς καὶ ἡ σηπία τοῦτο ποιεῖ· παρόμοιον γάρ φασι τὸ χρῶμα τὸ αὐτῆς ποιεῖν τῷ τόπῳ περὶ ὃν διατρίβει· τῶν δ᾽ ἰχθύων τοῦτο ποιεῖ μόνον ἡ ῥίνη, μεταβάλλει γὰρ τὴν χρόαν ὥσπερ ὁ πολύπους.

Τὸ μὲν οὖν πλεῖστον γένος τῶν πολυπόδων οὐ διετίζει· καὶ γὰρ φύσει συντηκτικόν ἐστιν· σημεῖον δ᾽ ἐστί· πιλούμενος γὰρ ἀφίησιν ἀεί τι, καὶ τέλος ἀφανίζεται. Αἱ δὲ θήλειαι μετὰ τὸν τόκον τοῦτο πάσχουσι μᾶλλον, καὶ γίνονται μωραὶ, καὶ οὔτε κυματιζόμεναι αἰσθάνονται· λαβεῖν τε τῇ χειρὶ καταδυομένας ῥᾴδιον· βλεννώδεις τε γίνονται, καὶ οὐδὲ θηρεύουσιν ἔτι προσκαθήμεναι. Οἱ δ᾽ ἄρρενες σκυτώδεις τε γίνονται καὶ γλίσχροι· σημεῖον δὲ δοκεῖ εἶναι τοῦ μὴ διετίζειν, ὅτι μετὰ τὴν γένεσιν τῶν πολυποδίων, ἔν τε τῷ θέρει καὶ πρὸς τὸ φθινόπωρον, μέγαν

de l'autre jusqu'à ce qu'ils ayent fait leurs petits ; dans la saison de l'accouplement on les prend souvent par paires.

Le plus rusé des mollusques est la seche. Elle se sert de sa liqueur noire simplement pour se cacher & elle ne la jette pas seulement lorsqu'elle a peur, comme font le polype & le calmar. Au reste ces différens Animaux ne jettent point en une seule fois tout ce qu'ils ont de cette liqueur, & quand ils l'ont jettée elle se reproduit. La seche donc, comme je le disois, se sert souvent de sa liqueur noire pour se cacher : on la voit sortir du nuage qu'elle forme & y rentrer. Elle attrape les poissons avec ces longues appendices que j'ai décrites, & ce n'est pas seulement des petits poissons qu'elle prend ainsi, mais souvent jusqu'à des muges. Le polype est sans esprit, car si on plonge la main dans l'eau il s'avance vers elle, mais d'ailleurs il montre de l'ordre dans sa conduite. Il rassemble tout pêle-mêle dans le domicile qu'il habite, & après qu'il a mangé ce qu'il y a de bon, il jette dehors les écailles des coquillages, les enveloppes des cancres, & les arrêtes des poissons. Pour attraper les poissons, il change de couleur & prend celle des pierres contre lesquelles il s'approche. La peur opere en lui un pareil changement de couleur. Quelques personnes prétendent que la seche prend de même la couleur des corps dont elle s'approche, mais la lime est le seul poisson qui ait la faculté de changer de couleur comme le polype. 59.

La plupart des différentes especes de polypes ne vivent pas deux ans : ces Animaux sont naturellement sujets à se décomposer : on le voit en ce que, tant qu'on les presse, il en sort toujours quelque chose, jusqu'à ce qu'à la fin il ne reste plus rien. Les polypes femelles sont sujettes à cet accident sur-tout après le tems de leur ponte, elles deviennent comme hébétées, & ne sentent pas le mouvement du flot qui les agite ; un plongeur les prend facilement à la main, & elles sont si molles qu'elles n'ont pas assez de consistance pour attraper des poissons. A l'égard des mâles ils deviennent comme un cuir, & gluants. Un fait qui paroît prouver que ces Animaux ne vivent pas deux ans, c'est qu'en été & en automne, après le tems où naissent

πολύπουν οὐκέτι ῥᾴδιόν ἐστιν ἰδεῖν· μικρὸν δὲ πρὸ τούτου τοῦ καιροῦ μέγιστοί εἰσιν οἱ πολύποδες. Ὅταν δὲ τὰ ᾠὰ ἐκτέκωσιν, οὕτω καταγηράσκειν καὶ ἀσθενεῖς γίνεσθαι ἀμφοτέρους φασίν, ὥστε ὑπὸ τῶν ἰχθυδίων κατεσθίεσθαι, καὶ ῥᾳδίως ἀποσπᾶσθαι ἀπὸ τῶν φωλεῶν· πρότερον δὲ τοιοῦτον οὐδὲν πάσχειν· ἔτι δὲ τοὺς μικροὺς καὶ νέους τῶν πολυπόδων μετὰ τὴν γένεσιν οὐδὲν φασι τοιοῦτον πάσχειν, ἀλλ' ἰσχυροτέρους εἶναι τῶν μειζόνων. Οὐ διετίζουσι δὲ οὐδὲ αἱ σηπίαι. Εἰς δὲ τὸ ξηρὸν ἐξέρχεται μόνον τῶν μαλακίων ὁ πολύπους. Πορεύεται δ' ἐπὶ τοῦ τραχέος, τὸ δὲ λεῖον φεύγει. Ἔστι δὲ τὰ μὲν ἄλλα ἰσχυρὸν τὸ ζῶον, τὸν δὲ τράχηλον ἀσθενὲς, ὅταν πιεσθῇ.

60. Περὶ μὲν οὖν τῶν μαλακίων τοῦτον ἔχει τὸν τρόπον· τὰς δὲ κόγχας φασὶ τὰς λεπτὰς καὶ τραχείας ποιεῖσθαι περὶ αὐτὰς οἷον θώρακα σκληρὸν, καὶ τοῦτον μείζονα ὅταν γίνωνται μείζους, καὶ ἐκ τούτου ἐξιέναι ὥσπερ ἐκ φωλεοῦ τινὸς ἢ οἰκίας.

61. Ἔστι δὲ καὶ ὁ ναυτίλος πολύπους τῇ τε φύσει καὶ οἷς ποιεῖ περιττός. Ἐπιπλεῖ γὰρ ἐπὶ τῆς θαλάττης, τὴν ἀναφορὰν ποιησάμενος κάτωθεν ἐκ τοῦ βυθοῦ· καὶ ἀναφέρεται μὲν κατεστραμμένῳ τῷ ὀστράκῳ, ἵνα ῥᾷον γε ἀνέλθῃ, καὶ κενῷ ναυτίληται. Ἐπιπολάσας δὲ, μεταστρέφει. Ἔχει δὲ μεταξὺ τῶν πλεκτανῶν ἐπί τι σύνυφες, ὅμοιον τοῖς στεγανόποσι τῶν μεταξὺ τῶν δακτύλων· πλὴν ἐκείνοις μὲν παχὺ, τούτοις δὲ λεπτὸν τοῦτο καὶ ἀραχνῶδές ἐστι. Χρῆται δ' αὐτῷ, ὅταν πνεῦμά τι ᾖ, ἱστίῳ· ἀντὶ πηδαλίου δὲ, τῶν πλεκτανῶν παρακαθίησιν· ἂν δὲ φοβηθῇ, καταδύνει τῆς θαλάσσης, μεστώσας τὸ ὄστρακον. Περὶ δὲ γενέσεως καὶ συναυξήσεως τοῦ ὀστράκου ἀκριβῶς μὲν οὔπω ὦπται· δοκεῖ δ' οὐκ ἐξ ὀχείας γίνεσθαι, ἀλλὰ φύεσθαι ὥσπερ τἆλλα κογχύλια. Οὐ δῆλον δέ πω, οὐδ' εἰ ἀποδυόμενος δύναται ζῆν.

XXXVIII. 62. Τῶν δ' ἐντόμων ζώων ἐργατικώτατον ζῶόν ἐστι, σχεδὸν δὲ πρὸς τἆλλα συγκρίνεσθαι πάντα, τό τε τῶν μυρμήκων γένος,

les nouveaux polypes, il eſt difficile de rencontrer un grand polype; au lieu que peu auparavant il y en a de très-grands. Après donc que les polypes ont jetté leurs œufs, ils vieilliſſent, mâles comme femelles, & deviennent ſi foibles, dit-on, que les petits poiſſons les mangent & les tirent ſans peine de leurs retraites, ce qu'ils ne feroient jamais dans un autre tems. Ce même accident, ajoute-t-on, n'arrive pas aux polypes jeunes & petits qui viennent de naître; ils ſont au contraire plus forts que les grands polypes. Les ſéches ne vivent pas non plus deux ans. Le polype eſt le ſeul des molluſques qui ſorte de l'eau : il marche ſur les endroits raboteux, en évitant ceux qui ſont liſſes. C'eſt en général un animal fort, mais on lui ôte ſa force ſi on lui preſſe le cou.

Paſſons des molluſques aux conques. On dit que celles qui ſont liſſes ainſi que celles qui ne le ſont pas, ſe font à elles-mêmes une ſorte de cuiraſſe qui 60.
eſt ferme, qu'elles l'aggrandiſſent à meſure qu'elles augmentent elles-mêmes, & qu'elles en ſortent comme d'une eſpece de caverne ou comme d'une maiſon.

La nature & les actions du polype nautile, le rendent également ſingulier. 61.
Il s'éleve du fond de la mer & vogue ſur ſa ſurface : quand il veut monter, il renverſe ſa coquille, tant afin de faciliter ſa ſortie de l'eau, qu'afin que ſon vaiſſeau ſe vuide. Arrivé ſur l'eau, il la retourne. Entre ſes bras eſt une eſpece de tiſſu qui s'étend juſqu'à leur extrémité, & reſſemble à la membrane qui joint les doigts des oiſeaux palmipedes, la ſeule différence conſiſte en ce que la membrane de ces oiſeaux eſt plus épaiſſe, au lieu que celle du nautile eſt mince comme une toile d'araignée. Lorſqu'il fait un peu de vent, le nautile ſe ſert de cette membrane comme d'une voile; pour ramer, ce ſont ſes bras qu'il deſcend dans l'eau. Survient-il quelque ſujet de crainte, il ſe plonge dans la mer en empliſſant ſa coquille d'eau. On ne ſait encore rien de bien certain ſur la formation de cette coquille, ni ſur ſon accroiſſement Elle ne paroît pas être un effet de l'accouplement qui produit le nautile, mais ſe former comme les autres coquillages. Au reſte il n'y a rien de certain ſur cela, ni ſur le point de ſavoir ſi le nautile vivroit détaché de ſa coquille.

Dans la claſſe des inſectes, on peut regarder comme les plus induſtrieux XXXVIII.
pour le travail, même comparaiſon faite avec tous les autres Animaux, 62.

καὶ τὸ τῶν μελιττῶν. Ἔτι δ᾽ ἀνθρῆναι καὶ σφῆκες, καὶ πάνθ᾽, ὡς εἰπεῖν, τὰ συγγενῆ τούτοις. Εἰσὶ δὲ καὶ τῶν ἀραχνίων οἱ γλαφυρώτατοι καὶ λαγαρώτατοι, καὶ τεχνικώτεροι περὶ τὸν βίον. Ἡ μὲν οὖν τῶν μυρμήκων ἐργασία, πᾶσίν ἐστιν ἐπιπολῆς ἰδεῖν καὶ ὡς ἀεὶ μίαν ἀτραπὸν πάντες βαδίζουσι· καὶ τὴν ἀπόθεσιν τῆς τροφῆς καὶ ταμιείαν· ἐργάζονται γὰρ καὶ ταῖς νύκταις ταῖς πανσελήνοις.

XXXIX. Τῶν δ᾽ ἀραχνίων καὶ τῶν φαλαγγίων ἐστὶ μὲν πολλὰ γένη·
63. τῶν μὲν δηκτικῶν φαλαγγίων, δύο· τὸ μὲν ἕτερον ὅμοιον τοῖς καλουμένοις λύκοις, μικρὸν καὶ ποικίλον, καὶ ὀξὺ, καὶ πηδητικόν· καλεῖται δὲ ψύλλα· τὸ δ᾽ ἕτερον μεῖζον, τὸ μὲν χρῶμα μέλαν, τὰ δὲ σκέλη τὰ πρόσθια μακρὰ ἔχον, καὶ τῇ κινήσει νωθρὸν, καὶ βαδίζον ἠρέμα, καὶ οὐ κρατερὸν, οὐδὲ πηδῶν. Τὰ δ᾽ ἄλλα πάντα, ὅσα παρατίθενται οἱ φαρμακοπῶλαι, τὰ μὲν οὐδεμίαν, τὰ δ᾽ ἀσθενῆ ποιεῖ τὴν δῆξιν. Ἄλλο δ᾽ ἐστὶ τῶν καλουμένων λύκων γένος. Τοῦτο μὲν οὖν τὸ μικρὸν οὐχ ὑφαίνει ἀράχνιον, τὸ δὲ μεῖζον, τραχὺ καὶ φαῦλον, πρὸς τῇ γῇ, καὶ ταῖς αἱμασιαῖς· ἐπὶ τοῖς στομίοις δ᾽ ἀεὶ ποιεῖ τὸ ἀράχνιον, καὶ ἔνδον ἔχον τὰς ἀρχὰς τηρεῖ, ἕως ἂν ἐμπεσόν τι κινηθῇ· ἔπειτα προσέρχεται. Τὸ δὲ ποικίλον, ὑπὸ τοῖς δένδρεσι ποιεῖται μικρὸν καὶ φαῦλον ἀράχνιον.

Ἄλλο δ᾽ ἐστὶ τρίτον τούτων σοφώτατον καὶ γλαφυρώτατον· ὑφαίνει γὰρ, πρῶτον μὲν διατεῖναν πρὸς τὰ πέρατα πανταχόθεν· εἶτα στημονίζεται ἀπὸ τοῦ μέσου· λαμβάνει δὲ τὸ μέσον ἱκανῶς· ἐπὶ δὲ τούτοις ὥσπερ κρόκας ἐμβάλλει, εἶτα συνυφαίνει. Τὴν μὲν οὖν κοίτην καὶ τὴν ἀπόθεσιν τῆς θήρας ἄλλοθι ποιεῖται· τὴν δὲ θήραν, ἐπὶ τοῦ μέσου· ἔπειθ᾽ ὅταν ἐμπέσῃ τι, κινηθέντος τοῦ μέσου, πρῶτον μὲν περιδεῖ καὶ περιελίττει τοῖς ἀραχνίοις, ἕως ἂν ἀχρεῖον ποιήσῃ. Μετὰ δὲ ταῦτα ἐξήνεγκεν αἰρομένη· καὶ ἂν μὲν τύχῃ πεινῶσα, ἐξεχύλισεν· αὕτη γὰρ ἡ ἀπόλαυσις·

les fourmis & les abeilles. Ajoûtez-y les frelons & les guêpes, & si vous voulez même, tous les autres insectes de ce genre. On peut encore remarquer parmi les araignées, celles qui sont plus belles & plus lestes que les autres : elles montrent plus d'industrie dans leur maniere de vivre. Par rapport aux fourmis leurs opérations se font à la vue de tout le monde ; on sait & comment elles suivent toutes invariablement le même sentier, & comment elles serrent & amassent leur nourriture. Elles travaillent même pendant la nuit, lorsque la lune les éclaire.

Quant aux araignées & phalanges, on en distingue plusieurs especes. Il y en a deux de phalasfges qui mordent. L'une ressemble aux araignées appellées loups ; ceux de cette espece sont petits, tachetés, vifs & sautillans, on les nomme *psylles*. L'autre espece est grande, noire, & a les jambes de devant longues. Le mouvement de ces phalanges est paresseux, leur marche lente, ils ne sont pas forts & ne sautent point. Toutes les autres especes de phalanges que montrent les Charlatans, ou ne mordent point du tout, ou ne mordent que foiblement. Les araignées appellées loups, sont une autre espece ; il y en a de petites qui ne font point de toile, & de grandes qui font une toile inégale & mal tissue, près de terre & des masures. Ces araignées choisissent toujours un petit trou pour y tendre leur toile, & demeurant en dedans sur l'endroit d'où partent les fils, elles épient le moment où ils seront agités par la chûte de quelque corps, alors elles sortent. L'araignée tachetée tend sous les arbres une petite toile mal faite. XXXIX. 63.

Une troisieme espece d'araignée est beaucoup plus prévoyante & mieux faite que toutes celles-là. Pour former sa toile elle commence par tendre de tous côtés des fils aux points qui la termineront. Ensuite elle établit la chaîne, en partant du milieu qu'elle fait très-bien prendre, puis elle passe dessus la chaîne les fils qui tiennent lieu de trame, unissant tout ensemble. Dans un endroit particulier elle place son nid & le dépôt de son butin : c'est au milieu qu'elle fait le guet & delà qu'elle chasse. Si-tôt qu'il tombe quelque chose, la commotion retentit au milieu, & alors la premiere opération de l'araignée est de lier l'animal & de l'entourer de fils, si bien qu'il ne puisse plus remuer, elle l'enleve ensuite & le transporte : si elle a faim elle le succe,

εἰ δὲ μὴ, πάλιν ὁρμᾷ πρὸς τὴν θήραν, ἀκεσαμένη πρῶτον τὸ διεῤῥωγός. Ἐὰν δὲ μεταξὺ ἐμπέσῃ, πρῶτον ἐπὶ τὸ μέσον βαδίζει, κἀκεῖθεν ἐπανέρχεται πρὸς τὸ ἐμπεσὸν, ὥσπερ ἀπ' ἀρχῆς. Ἐὰν δέ τις λυμήνηται τοῦ ἀραχνίου, πάλιν ἄρχεται τῆς ὑφῆς καταφερομένου τοῦ ἡλίου, ἢ ἀνατέλλοντος, διὰ τὸ μάλιστα ἐν ταύταις ταῖς ὥραις ἐμπίπτειν τὰ θηρία. Ἐργάζεται δὲ καὶ θηρεύει ἡ θήλεια· ὁ δ' ἄῤῥην συναπολαύει.

Τῶν δ' ἀραχνίων τῶν γλαφυρῶν, καὶ ὑφαινόντων ἀράχνιον πυκνὸν, δύο ἐστὶ γένη· τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον. Τὸ μὲν οὖν μακροσκελέστερον, κάτωθεν κρεμάμενον τηρεῖ, ὅπως ἂν μὴ φοβούμενα τὰ θηρία εὐλαβῆται ἀλλ' ἐμπίπτῃ ἄνω, διὰ γὰρ τὸ μέγεθος, οὐκ εὐκρυφές ἐστι. Τὸ δὲ συμμετρότερον ἄνωθεν ἐπηλυγισάμενον τοῦ ἀραχνίου ὀπὴν μικράν.

Δύνανται δ' ἀφιέναι οἱ ἀράχναι τὸ ἀράχνιον εὐθὺς γεννώμενοι, οὐδ' ἔσωθεν ὡς ἂν περίττωμα, καθάπερ φησὶ Δημόκριτος· ἀλλ' ἀπὸ τοῦ σώματος οἷον φλοιὸν, ἢ τὰ βάλλοντα ταῖς θριξὶν, οἷον αἱ ὕστριχες. Περιτίθεται δὲ καὶ περιελίττεται καὶ τοῖς μείζοσι ζώοις· Ἐπεὶ καὶ ταῖς σαύραις ταῖς μικραῖς ἐπιβάλλον περὶ τὸ στόμα, περιθέον ἀφίησιν, ἕως ἂν συλλάβῃ τὸ στόμα· τότε δ' ἤδη δάκνει προσελθόν. Καὶ περὶ μὲν οὖν τούτων τῶν ζώων, τοῦτον ἔχει τὸν τρόπον.

XL. Ἐστι δέ τι γένος τῶν ἐντόμων, ὃ ἑνὶ μὲν ὀνόματι ἀνώνυμόν
64. ἐστιν, ἔχει δὲ πάντα τὴν μορφὴν συγγενικήν. Ἐστι δὲ ταῦτα ὅσα κηριοποιά· οἷον μέλιτται, καὶ τὰ παραπλήσια τὴν μορφήν. Τούτων δ' ἐστὶ γένη ἐννέα· ὧν τὰ μὲν ἓξ ἀγελαῖα, μέλιττα, βασιλεῖς τῶν μελιττῶν, κηφὴν ὁ ἐν ταῖς μελίτταις, σφὴξ ὁ ἐπέτειος, ἔτι δὲ ἀνθρήνη καὶ τενθρηδών· μοναδικὰ δὲ τρία, σειρὴν ὁ μικρὸς, φαιός· ἄλλος σειρὴν μείζων, ὁ μέλας καὶ ποικίλος· τρίτος δ' ὁ καλούμενος βομβύλιος, μέγιστος τούτων. Οἱ μὲν οὖν μύρμηκες θηρεύουσι μὲν οὐδὲν, τὰ δὲ πεποιημένα συλλέγουσιν· οἱ δ' ἀράχναι

c'est

c'est l'objet de sa chasse : si elle n'a pas faim elle retourne chasser, mais après avoir préalablement raccommodé les parties de sa toile qui se trouvent déchirées. Si, dans l'intervalle, quelque animal se prend, elle se porte d'abord au milieu, & va delà sur l'animal comme la premiere fois. Quelque accident détruit-il sa toile, elle recommence à l'ourdir, au coucher du soleil ou à son lever, parce que c'est principalement à ces heures-là que les Animaux s'y prennent. C'est la femelle qui travaille & qui chasse : le mâle partage sa proie.

Il y a deux autres especes d'araignées bien faites & qui ourdissent une toile serrée, de grosses & de petites. Les grosses, qui ont de longues jambes, attendent la proie, suspendues à l'extrémité de leur fil, afin que les Animaux se croyant en sûreté, se prennent dans la toile placée au dessus d'elles : car leur grosseur les empêche de se bien cacher : les araignées de la seconde espece, qui ne sont pas si grosses, se tiennent en haut, à une petite fenêtre qu'elles fabriquent dans leur toile.

Les araignées peuvent filer aussi-tôt qu'elles sont nées : leur fil ne sort pas du dedans du corps, ainsi que les excrémens, comme le prétend Démocrite ; il sort du corps même, comme naît une écorce, ou comme naissent les traits, soit du porc-épic, soit des autres Animaux qui lancent ce qui leur tient lieu de poil. L'araignée attaque même de grands Animaux & vient à bout de les enchaîner. Elle se jette sur de petits lézards, leur lie la gueule de maniere à les empêcher de l'ouvrir, après quoi elle s'approche d'eux & les mord. Telle est l'histoire des araignées.

Passons à un autre genre d'insectes : ceux-ci n'ont point de nom générique XL.
commun : cependant tous les individus ont une figure qui indique l'unité de 64.
genre. Ce sont les insectes qui construisent des cellules de cire, tels que les abeilles & autres de figure approchante. On compte neuf especes de ces insectes ; six vivent en troupe : ce sont les abeilles, les Rois des abeilles, le bourdon qui vit parmi les abeilles, la guêpe annuelle, le frelon, & le grugeur. Ceux des trois autres especes vivent seuls, savoir le petit siren brun, le grand siren noir & varié : la troisieme espece est ce qu'on appelle le bombyle ; cet insecte est plus grand que les deux autres. Observons donc que les fourmis ne chassent point, elles se contentent de ramasser ce qu'elles trouvent tout préparé ; les araignées ne préparent point leur nourriture, & n'en font

ποιοῦσι μὲν οὐδὲν, οὐδ' ἀποτίθενται, θηρεύουσι δὲ μόνον τὴν τροφήν· τῶν δ' ἐννέα γενῶν τῶν εἰρημένων· περὶ μὲν τῶν λοιπῶν ὕστερον λεχθήσεται· αἱ δὲ μέλισσαι θηρεύουσι μὲν οὐδὲν, αὗται δὲ ποιοῦνται καὶ ἀποτίθενται· ἔστι γὰρ αὐταῖς τὸ μέλι τροφή. Δῆλον δὲ ποιοῦσιν ὅταν τὰ κηρία ἐπιχειρῶσιν οἱ μελιττουργοὶ ἐξαίρειν· θυμιώμεναι γὰρ, καὶ σφόδρα πονοῦσαι ὑπὸ τοῦ καπνοῦ, τότε μάλιστα τὸ μέλι ἐσθίουσιν· ἐν δὲ τῷ ἄλλῳ χρόνῳ οὐ σφόδρα ὁρῶνται, ὡς φειδόμεναι καὶ ἀποτιθέμεναι τροφῆς χάριν. Ἔστι δὲ αὐταῖς καὶ ἄλλη τροφὴ, ἣν καλοῦσί τινες κήρινθον. Ἔστι δὲ τοῦτο ὑποδεέστερον, καὶ γλυκύτητα συκώδη ἔχον. Κομίζουσι δὲ τοῦτο τοῖς σκέλεσι, καθάπερ καὶ τὸν κηρόν.

Ἔστι δὲ περὶ τὴν ἐργασίαν αὐτῶν καὶ τὸν βίον πολλὴ ποικιλία. Ἐπειδὰν γὰρ παραδοθῇ αὐταῖς καθαρὸν τὸ σμῆνος, οἰκοδομοῦσι τὰ κηρία, φέρουσαι τῶν τ' ἄλλων ἀνθέων, καὶ ἀπὸ τῶν δένδρων τὰ δάκρυα, ἰτέας καὶ πτελέας, καὶ ἄλλων τῶν κολλωδεστάτων. Τούτῳ δὲ καὶ τὸ ἔδαφος διαχρίουσι, τῶν ἄλλων θηρίων ἕνεκεν· καλοῦσι δὲ οἱ μελιττουργοὶ τοῦτο κώνυσιν, καὶ τὰς εἰσόδους δὲ παροικοδομοῦσιν, ἐὰν εὐρεῖαι ὦσι. Πλάττουσι δὲ κηρία πρῶτον ἐν οἷς αὗται γίνονται· εἶτ' ἐν οἷς οἱ καλούμενοι βασιλεῖς, καὶ τὰ κηφήνια. Τὰ μὲν οὖν αὑτῶν, ἀεὶ πλάττουσι· τὰ δὲ τῶν βασιλέων, ὅταν ᾖ πολυγονία· τὰ δὲ κηφήνια, ἐὰν μέλιτος ἀφθονία ἐπισημαίνῃ. Πλάττουσι δὲ τὰ μὲν τῶν βασιλέων πρὸς τοῖς αὑτῶν· μικρὰ δ' ἐστὶ ταῦτα· τὰ δὲ κηφήνια, πρὸς αὐτά· ἐλάττω δ' ἐστὶ ταῦτα τῶν μελιττίων. Ἄρχονται δὲ τῶν ἱστῶν ἄνωθεν ἀπὸ τῆς ὀροφῆς τοῦ σμήνους, καὶ κάτω συνυφεῖς ποιοῦσιν ἕως τοῦ ἐδάφους, ἱστοὺς πολλούς. Αἱ δὲ θυρίδες καὶ αἱ τοῦ μέλιτος καὶ αἱ τῶν σχαδόνων, ἀμφίστομοι· περὶ μίαν γὰρ βάσιν δύο θυρίδες εἰσὶν, ὥσπερ τῶν ἀμφικυπέλλων· ἡ μὲν ἐντὸς, ἡ δὲ ἐκτός. Αἱ δὲ περὶ τὰς ἀρχὰς τῶν κηρίων, πρὸς τὰ σμήνη συνυφεῖαι, ὅσον ἐπὶ δύο ἢ τρεῖς στίχους κύκλῳ, βραχεῖαι καὶ κεναὶ μέλιτος·

point des amas, elles chassent uniquement pour se nourrir ; les abeilles, une des neuf especes d'insectes que nous venons de nommer, nous parlerons des huit autres ailleurs : les abeilles, disons-nous, ne chassent point, mais elles préparent leur nourriture & en font des magasins : car c'est à leur nourriture que le miel est destiné. On peut aisément s'en convaincre lorsque ceux qui recueillent le miel viennent enlever les gâteaux. Les abeilles qu'on enfume alors, & qui souffrent considérablement de la fumée, mangent en ce moment plus de miel que jamais : dans les autres tems on ne leur en voit pas beaucoup manger, comme si elles le ménageoient & le réservoient pour l'avenir. Les abeilles ont cependant encore une autre nourriture que quelques-uns appellent le *cerinthe*, il est d'une qualité inférieure au miel ; sa douceur approche de celle de la figue. Elles portent le cerinthe avec leurs cuisses, de même que la cire.

Il y a beaucoup de variété dans le travail & la vie des abeilles. Lorsqu'on leur donne une ruche vuide, elles y construisent leurs cellules, après avoir apporté les larmes de différentes fleurs & de plusieurs arbres, tels que le saule, l'orme, & autres qui abondent en résine. Elles en frottent jusqu'au sol de la ruche, pour se garantir des Animaux. Ceux qui ont soin des abeilles appellent cela la *conysis* : les abeilles s'en servent encore pour rétrecir l'entrée de leur ruche, si elle est trop large. Elles fabriquent d'abord les cellules destinées pour la naissance des nouvelles abeilles, ensuite celles des abeilles qu'on appelle Rois, & enfin celles des bourdons. La construction des premieres cellules pour les abeilles, a toujours lieu. Elles ne font celles des Rois que quand la réproduction doit être considérable ; celles des bourdons seulement lorsqu'il s'annonce abondance de miel. Les cellules des Rois sont auprès de celles des abeilles, mais petites ; les cellules des bourdons ensuite celles des Rois, & en moindre nombre que celles des abeilles. Les abeilles commencent la chaîne de leurs cellules en haut sous la couverture de leurs ruches, & la continuent en descendant jusques sur le sol de la ruche ; elles en font plusieurs rangs. Les cellules destinées à recevoir soit le miel, soit le couvain, ont une double entrée : il y a deux ouvertures appliquées contre un même fond, ainsi que dans une coupe double ; l'une en dedans, l'autre en dehors. Les premieres cellules des gâteaux qui tiennent à la ruche, sont moins profondes & il ne s'y trouve point de miel. Les

πληρέστερα δὲ τῶν κηρίων τὰ μάλιστα τῷ κηρῷ καταπεπλασμένα. Περὶ δὲ τὸ στόμα τοῦ σμήνους, τὸ μὲν πρῶτον τῆς εἰσδύσεως, περιαλήλιπται μίτυι· τοῦτο δ' ἐστὶ μέλαν ἱκανῶς, ὥσπερ ἀποκάθαρμα αὐταῖς τοῦ κηροῦ, καὶ τὴν ὀσμὴν δριμύς· φάρμακον δ' ἐστὶ τυμμάτων καὶ τῶν τοιούτων ἐμπυημάτων. Η δὲ συνεχὴς ἀλοιφὴ τούτῳ, πισσόκηρος, ἀμβλύτερον καὶ ἧττον φαρμακῶδες τῆς μίτυος.

Λέγουσι δέ τινες τοὺς κηφῆνας κηρία μὲν πλάττειν καθ' αὑτοὺς, καὶ ἐν τῷ αὐτῷ σμήνει, καὶ ἐν τῷ αὐτῷ κηρίῳ μεριζομένους πρὸς τὰς μελίττας, μελιτουργεῖν μέντοι οὐθὲν, ἀλλὰ τρέφεσθαι τῷ τῶν μελιττῶν καὶ αὐτοὺς καὶ τοὺς νεοττοὺς. Διατρίβουσι δ' οἱ κηφῆνες τὰ μὲν πολλὰ, ἔνδον· ἐὰν δ' ἐκπέτωνται, προσφέρονται ῥύβδην ἄνω πρὸς τὸν οὐρανὸν, ἐπιδινοῦντες αὑτοὺς, καὶ ὥσπερ ἀπογυμνάζοντες. Οταν δὲ τοῦτο δράσωσι, πάλιν εἰσελθόντες εὐωχοῦνται.

Οἱ δὲ βασιλεῖς οὐ πέτονται ἔξω, ἐὰν μὴ μετὰ ὅλου τοῦ ἑσμοῦ, οὔτ' ἐπὶ βοσκὴν οὔτ' ἄλλως. Φασὶ δὲ καὶ ἐὰν ἀποπλανηθῇ ὁ ἀφεσμὸς ἀνιχνευούσας μεταθεῖν, ἕως ἂν εὕρωσι τὸν ἡγεμόνα· τῇ ὀσμῇ· λέγεται δὲ καὶ φέρεσθαι αὐτὸν ὑπὸ τοῦ ἑσμοῦ, ὅταν πέτεσθαι μὴ δύνηται· καὶ ἐὰν ἀπόληται, ἀπόλλυσθαι τὸν ἀφεσμόν. Εὰν δ' ἄρα χρόνον τινὰ διαμείνωσι, καὶ κηρία ποιήσωσι, μέλι οὐκ ἐγγίνεσθαι, καὶ αὐτὰς ταχὺ ἀπόλλυσθαι.

Τὸν δὲ κηρὸν ἀναλαμβάνουσιν αἱ μέλισσαι ἀναρριχώμεναι πρὸς τὰ βρύα ὀξέως, τοῖς ἔμπροσθεν ποσί. Τούτους δ' ἐκμάττουσιν εἰς τοὺς μέσους, τοὺς δὲ μέσους εἰς τὰ βλαισὰ τῶν ὀπισθίων· καὶ οὕτω γεμισθεῖσαι ἀποπέτονται, καὶ δῆλαι δέ εἰσι βαρυνόμεναι. Καθ' ἑκάστην δὲ πτῆσιν οὐ βαδίζει ἡ μέλιττα ἐφ' ἕτερα τῷ εἴδει ἄνθη· οἷον ἀπὸ ἴου ἐπὶ ἴον· καὶ οὐ θιγγάνει ἄλλου γε, ἕως ἂν εἰς τὸ σμῆνος εἰσπέτηται. Οταν δὲ εἰς τὸ σμῆνος ἀφίκωνται, ἀποσείονται, καὶ ἀκολουθοῦσιν ἑκάστῃ τρεῖς ἢ τέτταρες. Τὸ δὲ λαμβανόμενον

deux ou trois premieres rangées qui forment le tour du gâteaux font de cette maniere : les cellules les plus pleines de miel sont aussi les plus fournies en cire. A l'ouverture de la ruche, le bord de son entrée est couvert de ce qu'on appelle *mytis*, matiere assez noire, qui est comme le sédiment de la cire & qui a une odeur forte. C'est une drogue bonne pour les plaies & autres dépôts de ce genre. La matiere dont la ruche est enduite immédiatement après, s'appelle *poix-cire*, elle a moins d'odeur & moins de vertu que la *mitys*.

Quelques-uns disent que les bourdons font aussi des cellules, dans la même ruche & dans le même gâteau, partageant à cet égard l'ouvrage avec les abeilles, mais qu'ils ne font point du tout de miel, & qu'ils se nourrissent eux & leurs petits de celui des abeilles. Les bourdons restent la plus grande partie du tems enfermés dans la ruche : s'ils en sortent ils s'élevent par troupe vers le ciel, volent en tournant & comme pour s'exercer, après quoi ils rentrent dans la ruche & mangent.

Les Rois ne volent point hors de la ruche, ni pour aller chercher de la nourriture, ni pour autre cause. Ils ne sortent qu'après tout l'essaim. S'il s'égare il revient, dit-on, sur ses pas jusqu'à ce qu'il trouve son roi qu'il reconnoît à l'odeur. On ajoute que l'essaim le porte quand il ne peut pas voler, & que s'il meurt l'essaim périt, ou que s'il subsiste pendant quelque tems, si même il fait des gâteaux, il ne les remplit point de miel, & ne tarde pas à se détruire.

Les abeilles recueillent la cire en grimpant le long des plantes qu'elles grattent avec vivacité. Elles la recueillent d'abord avec leurs pattes de devant, qu'elles secouent ensuite sur celles du milieu ; puis elles secouent celles-ci sur la partie courbe des pattes de derriere. Elles reviennent ainsi chargées ; on voit bien qu'elles portent un fardeau. Dans chaque voyage, l'abeille ne vole point d'une fleur sur une fleur d'une autre espece, mais elle va par exemple de la violette à la violette, sans toucher aucune autre fleur qu'elle ne soit d'abord rentrée dans la ruche. A leur arrivée elles se déchargent, & chacune est servie en ce moment par trois ou quatre abeilles. Il n'est pas facile de voir ce qu'elles

ἐ ῥᾴδιόν ἐστιν ἰδεῖν, ἐδὲ τὴν ἐργασίαν ὅντινα τρόπον ποιοῦνται οὐκ ὦπται· τῆ δὲ κηροῦ ἡ ἀνάληψις τεθεώρηται ἐπὶ τῶν ἐλαιῶν, διὰ πυκνότητα τῶν φύλλων, ἐν ταὐτῷ διαμένεσῶν πλείω χρόνον.

Μετὰ δὲ τῦτο νεοττεύουσιν. Οὐδὲν δὲ κωλύει ἐν τῷ αὐτῷ κηρίῳ, εἶναι νεοττὲς, καὶ μέλι, καὶ κηφῆνας. Εὰν μὲν ἦν ὁ ἡγεμὼν ζῇ, χωρὶς φασὶ τὲς κηφῆνας γίγνεσθαι· εἰ δὲ μὴ, ἐν τοῖς τῶν μελιττῶν κυττάροις γεννᾶσθαι ὑπὸ τῶν μελιττῶν, καὶ γίγνεσθαι τέτοις θυμικωτέρες· διὸ καὶ καλεῖσθαι κεντρωτὲς, ἐκ ἔχοντας κέντρον, ἀλλ' ὅτι βέλονται μὲν, ἐ δύνανται δὲ βάλλειν. Εἰσὶ δὲ μείζες οἱ τῶν κηφήνων κύτταροι. Αναπλάττουσι δὲ ὁτὲ μὲν καὶ αὐτὰ καθ' αὐτὰ τὰ κηρία τὰ τῶν κηφήνων· ὡς ἐπιτοπολὺ δ' ἐν τοῖς τῶν μελιττῶν· διὸ καὶ ἀποτέμνεσιν.

Εἰσὶ δὲ γένη τῶν μελιττῶν πλείω, καθάπερ εἴρηται πρότερον· δύο μὲν ἡγεμόνων· ὁ μὲν βελτίων πυῤῥός· ὁ δ' ἕτερος μέλας καὶ ποικιλώτερος· τὸ δὲ μέγεθος διπλάσιος τῆς χρηστῆς μελίττης. Η δ' ἀρίστη, μικρὰ, στρογγύλη, καὶ ποικίλη· ἄλλη μακρὰ, ὁμοία τῇ ἀνθρήνῃ. Ετερος ὁ φὼρ καλούμενος, μέλας καὶ πλατυγάστωρ· ἔτι δὲ ὁ κηφήν· ἔτος μέγιστος πάντων, ἄκεντρος δὲ καὶ νωθρός. Διαφέρεσι δ' αἱ γινόμεναι τῶν μελιττῶν, αἵτ' ἀπὸ τῶν τὰ ἥμερα νεμομένων, καὶ ἀπὸ τῶν τὰ ὀρεινά. Εἰσὶ γὰρ αἱ ἀπὸ τῶν ὑλονόμων δασύτεραι, καὶ ἐλάττες, καὶ ἐργατικώτεραι, καὶ χαλεπώτεραι. Αἱ μὲν ἦν χρησταὶ μέλιτται ἐργάζονται τά τε κηρία ὁμαλὰ, καὶ τὸ ἐπιπολῆς κάλυμμα πᾶν λεῖον· ἔστι δὲ ἓν εἶδος τῦ κηρίε, οἷον ἅπαν μέλι, ἢ νεοττὲς, ἢ κηφῆνας· ἂν δὲ συμβῇ ὥστε ἐν τῷ αὐτῷ κηρίῳ ἅπαντα εἶναι αὐτὰ, ἔσται ἐφεξῆς ἓν εἶδος εἰργασμένον δι' ἀντλίας. Αἱ δὲ μακραὶ, τά τε κηρία ποιῦσιν ἀνώμαλα, καὶ τὸ κάλυμμα ἀνῳδηκὸς, ὅμοιον τῷ τῆς ἀνθρίνης· ἔτι δὲ τὸν γόνον καὶ τἆλλα ἐ τεταγμένα, ἀλλ' ὡς ἂν τύχῃ. Γίνονται δὲ ἐξ αὐτῶν οἵ τε πονηροὶ ἡγεμόνες, καὶ πολλοὶ κηφῆνες, καὶ οἱ φῶρες καλέμενοι, μέλι δὲ πάνυ βραχὺ, ἢ ἐδέν.

prennent sur les plantes : on n'a pas non plus été témoin de la maniere dont elles font leur récolte, mais pour la cire on les a vu la recueillir sur les feuilles de l'olivier, parce que l'épaisseur de ces feuilles fait qu'elles y demeurent plus long-tems.

Après ces opérations vient le travail relatif à la reproduction. Il n'est pas impossible de trouver dans un même gâteau des petits, du miel, & des bourdons. On prétend que quand le Roi est vivant, les bourdons naissent à part, mais que s'il ne vit plus, ils naissent dans les cellules des abeilles & sous elles ; ceux-ci sont, ajoute-t-on, courageux, ce qui les fait appeller aiguillonnés, non qu'il ayent un aiguillon, mais parce qu'ils font leurs efforts pour darder un aiguillon sans pouvoir y réussir. Les cellules des bourdons sont plus grandes que les autres. Quelquefois les abeilles forment des gateaux séparés pour les cellules des bourdons, mais le plus souvent celles-ci sont confondues avec les cellules des abeilles, ceux qui en ont soin les séparent.

J'ai déja dit qu'il y avoit plusieurs especes d'abeilles : & d'abord il y a deux sortes de Rois : l'un est roux, c'est le meilleur : l'autre est noir, ses couleurs sont plus variées. Le Roi est deux fois gros comme l'abeille ouvriere. La meilleure de celles-ci est petite, ronde & de plusieurs couleurs. Les autres sont longues & semblables à la guêpe. Il y a encore la mouche qu'on appelle le voleur, à la couleur noire & au ventre large, & enfin le bourdon, plus grand que toutes ces mouches, sans aiguillon, & paresseux. On observe des différences entre les abeilles nées de celles qui habitent les lieux cultivés, & celles qui viennent d'abeilles habitantes des montagnes. Les abeilles nées de celles qui fréquentent les futayes, sont plus velues, plus petites, plus ardentes au travail & plus méchantes. Les ouvrieres de la bonne espece font leurs gâteaux de même grandeur ; la surface qui les recouvre est absolument lisse, & chaque gâteau est destiné en entier ou pour le miel, ou pour les petites abeilles, ou pour les bourdons : s'il arrive que tout soit réuni dans un même gâteau, il y en aura un second ensuite pour recevoir le superflu du premier. Au contraire les abeilles longues font des gâteaux inégaux, ce qui les recouvre est boursoufflé comme dans l'ouvrage de la guêpe : leurs petits & leurs différentes productions ne sont point disposées par ordre, mais confondues au hazard. Ce sont d'elles que viennent les Rois de la mauvaise espece, beaucoup de bourdons, & les mouches que nous avons appellées les voleurs ; elles font très peu de miel, ou même n'en font point du tout.

Ἐπικάθηνται δ' ἐπὶ τοῖς κηρίοις αἱ μέλιτται καὶ συμπέττουσιν· ἐὰν δὲ τοῦτο μὴ ποιῶσι, φθείρεσθαί φασι τὰ κηρία, καὶ ἀραχνιοῦσθαι. Καὶ ἐὰν μὲν τὸ λοιπὸν δύνωνται κατέχειν ἐπικαθήμεναι, τοῦθ' ὥσπερ ἔκβρωμα γίνεται· εἰ δὲ μὴ, ἀπόλλυνται ὅλα. Γίνεται δὲ σκωλήκια ἐν τοῖς φθειρομένοις, ἃ πτερούμενα ἐκπέτανται. Καὶ τὰ πίπτοντα δὲ τῶν κηρίων ὀρθοῦσιν αἱ μέλιτται, καὶ ὑφιστᾶσιν ἐρείσματα, ὅπως δύνωνται ὑπιέναι. Ὅταν γὰρ μὴ ἔχωσιν ὁδὸν ᾗ προσπορεύσονται, οὐ προσκαθίζουσιν· εἶτ' ἀραχνιοῦνται.

Τοῦ δὲ φωρὸς καὶ τοῦ κηφῆνος γενομένων οὐδὲν ἐστὶν ἔργον, τὰ δὲ τῶν ἄλλων βλάπτουσιν. Ἁλισκόμενοι δὲ, θνήσκουσιν ὑπὸ τῶν χρηστῶν μελιττῶν. Κτείνουσι δ' αὗται σφόδρα καὶ τῶν ἡγεμόνων τοὺς πολλοὺς, καὶ μᾶλλον τοὺς πονηροὺς, ἵνα μὴ πολλοὶ ὄντες διασπῶσι τὸν ἑσμόν. Κτείνουσι δὲ μάλιστα ὅταν μὴ πολύγονον ᾖ τὸ σμῆνος, μηδὲ ἀφέσεις μέλλωσι γίγνεσθαι· ἐν γὰρ τούτοις τοῖς καιροῖς, καὶ τὰ κηρία διαφθείρουσι τὰ τῶν βασιλέων, ἐὰν ᾖ παρεσκευασμένα, ὡς ἐξαγωγέων ὄντων. Διαφθείρουσι δὲ καὶ τὰ τῶν κηφήνων, ἐὰν ὑποφαίνηται ἀπορία μέλιτος, καὶ μὴ εὐμελιτῇ τὰ σμήνη· καὶ τοῖς ἐξαιροῦσι περὶ τοῦ μέλιτος τότε μάχονται μάλιστα, καὶ τοὺς ἐνυπάρχοντας τῶν κηφήνων ἐκβάλλουσι, καὶ πολλάκις ὁρῶνται ἐν τῷ τεύχει ἀποκαθήμεναι. Πολεμοῦσι δὲ σφόδρα αἱ μικραὶ τῷ γένει τῷ μακρῷ, καὶ πειρῶνται ἐκβάλλειν ἐκ τῶν σμηνῶν· κἂν ἐπικρατήσωσι, τοῦτο δοκεῖ ὑπερβολῇ γίγνεσθαι ἀγαθὸν σμῆνος· αἱ δ' ἕτεραι ἂν γένωνται αὗται ἐφ' ἑαυτῶν, ἀργοῦσί τε καὶ τελέως οὐδὲν ποιοῦσιν ἀγαθόν. Ἀπόλλυνται δὲ καὶ αὗται πρὸ τοῦ φθινοπώρου.

Ὅσας δὲ κτείνουσιν, αἱ χρησταὶ μέλιτται πειρῶνται μὲν ἔξω τοῦ σμήνους τοῦτο πράττειν· ἐὰν δ' ἔσω τις ἀποθάνῃ, ἐξάγουσιν ὁμοίως. Οἱ δὲ φῶρες καλούμενοι, κακουργοῦσι μὲν καὶ τὰ παρ' αὐτοῖς κηρία· εἰσέρχονται δὲ, ἐὰν λάθωσι, εἰς τὰ ἀλλότρια·

Les

Les abeilles se tiennent sur leurs gâteaux, elles les cuisent pour ainsi-dire. Sans cette précaution, on prétend qu'ils se corromproient & qu'ils deviendroient pleins de toiles d'araignée. Si elles ont le courage d'y demeurer tout le tems nécessaire, leur miel devient propre à leur nourriture, sans cela leurs gâteaux se perdent absolument. Il se forme dans les parties qui se corrompent des vers auxquels il naît des aîles & qui volent. Quand les gâteaux penchent, les abeilles les redressent en plaçant dessous des pilliers, entre lesquels elles se conservent un passage. Autrement elles ne pourroient aller se mettre dessus, & ils se rempliroient de toiles d'araignée.

Le voleur & le bourdon ne font rien, ils détruisent seulement l'ouvrage des autres : aussi les abeilles ouvrieres s'en saisissent & les tuent. Elles n'épargnent pas davantage leurs chefs & en tuent beaucoup, particuliérement ceux de la mauvaise espece, de peur que, s'ils demeuroient en nombre, ils ne dispersassent l'essaim. Elles se portent à les tuer sur-tout quand l'essaim n'est pas abondant en petits, & qu'il ne doit pas fournir de nouveaux essaims. Alors elles détruisent les gâteaux où seroient les cellules des Rois destinés à être les chefs des essaims que la ruche auroit jettés. Les abeilles détruisent encore les gâteaux des bourdons, si elles prévoyent qu'il y aura disette de miel, & que l'essaim n'en fera pas abondamment. C'est alors aussi qu'elles se défendent plus vigoureusement contre quiconque veut enlever leur miel : elles chassent les bourdons qui sont dans la ruche, & on les voit souvent faire le guet en dehors sur la ruche. Les abeilles de la petite espece font une guerre cruelle aux abeilles longues, & elles s'efforcent de les chasser de la ruche. Si elles remportent la victoire, on peut juger que la ruche réussira au-delà de l'ordinaire : au contraire si les mouches longues demeurent seules, ce sont des paresseuses qui n'achevent rien de bon, & elles périssent elles-mêmes avant l'automne.

Lorsque les abeilles ouvrieres veulent tuer quelque autre mouche, elles tâchent de le faire hors de la ruche : si quelqu'une meurt dans la ruche, elles emportent son cadavre dehors. Les mouches qu'on appelle les voleurs, gâtent jusqu'aux gâteaux destinés a eux-mêmes, & quand ils peuvent se cacher ils

ἐὰν δὲ ληφθῶσιν, θνήσκουσιν· οὐκ ἔργον δ' ἐςὶ λαβεῖν· ἐπί τε γὰρ εἰσόδῳ ἑκάςῃ φύλακές εἰσιν. Αὐτός τε ἐὰν εἰσελθὼν λάθῃ, διὰ τὸ ὑπερπεπλῆσθαι, οὐ δύναται πέτεσθαι, ἀλλὰ πρὸ τοῦ σμήνους κυλίεται· ὥςʼ ἔργον ἐςὶν αὐτῷ ἐκφυγεῖν. Οἱ δὲ βασιλεῖς, αὐτοὶ μὲν οὐχ ὁρῶνται ἔξω ἄλλως ἢ μετ' ἀφέσεως· ἐν δὲ ταῖς ἀφέσεσιν, αἱ λοιπαὶ περὶ τοῦτον συνεσπαρμέναι φαίνονται. Οταν δ' ἄφεσις μέλλῃ γίγνεσθαι, φωνὴ μονῶτις καὶ ἴδιος γίνεται ἐπί τινας ἡμέρας, καὶ πρὸ δύο ἢ τριῶν ἡμερῶν ὀλίγαι πέτονται περὶ τὸ σμῆνος· εἰ δὲ γίνεται καὶ βασιλεὺς ἐν ταύταις, οὐκ ὦπταί πω, διὰ τὸ μὴ ῥᾴδιον εἶναι. Οταν δ' ἀθροισθῶσιν, ἀποπέτονται καὶ χωρίζονται καθ' ἕκαςον τῶν βασιλέων αἱ ἄλλαι. Εὰν δὲ τύχωσιν ὀλίγαι πολλαῖς ἐγγὺς καθεζόμεναι, μεταν̓ίςανται αἱ ὀλίγαι πρὸς τὰς πολλὰς, καὶ τὸν βασιλέα ὃν ἀπέλιπον, ἐὰν συνακολουθήσῃ, διαφθείρουσι.

Τὰ μὲν οὖν περὶ τὴν ἀπόλειψιν καὶ ἄφεσιν, τοῦτον συμβαίνει γίνεσθαι τὸν τρόπον. Εἰσὶ δ' αὐταῖς τεταγμέναι ἐφ' ἕκαςον τῶν ἔργων· οἷον, αἱ μὲν ἀνθοφοροῦσιν· αἱ δὲ ὑδροφοροῦσιν· αἱ δὲ λεαίνουσι καὶ κατορθοῦσι τὰ κηρία. Φέρει δ' ὕδωρ, ὅταν τεκνοτροφῇ· πρὸς σάρκα δὲ οὐδενὸς καθίζει, οὐδ' ὀψοφαγεῖ. Χρόνος δ' αὐταῖς οὐκ ἔςιν εἰθισμένος, ἀφ' ὅτου ἄρχονται ἐργάζεσθαι· ἀλλ' ἐὰν τὰ ἐπιτήδεια ἔχῃ, καὶ εὖ διάγωσι, μᾶλλον ἐν ὥρᾳ τοῦ ἔτους ἐγχειροῦσι τῇ ἐργασίᾳ· καὶ ὅταν εὐδία ᾖ, συνεχῶς ἐργάζονται. Καὶ εὐθὺς δὲ νέα οὖσα, ὅταν ἐκδύῃ, ἐργάζεται τριταία, ἐὰν ἔχῃ τροφήν. Καὶ ὅταν ἑσμὸς προκάθηται, ἀποτρέπονται ἔνιαι πρὸς τροφὴν, εἶτ' ἐπανέρχονται πάλιν. Εν δὲ τοῖς εὐθηνοῦσι τῶν σμηνῶν, ἐκλείπει ὁ γόνος τῶν μελιττῶν περὶ τετταράκονθ' ἡμέρας μόνον τὰς μετὰ χειμερινὰς τροπάς. Επειδὰν δ' ηὐξημένοι ὦσιν οἱ νεοττοὶ, τροφὴν αὐτοῖς παραθεῖσαι καταχρίουσιν· ὅταν δ' ᾖ δυνατὸς, αὐτὸς διελὼν τὸ κάλυμμα ἐξέρχεται. Τὰ δὲ γινόμενα θηρία ἐν τοῖς σμήνεσι, καὶ λυμαινόμενα τὰ κηρία,

entrent dans les autres gâteaux, mais s'ils y sont pris on les fait mourir, & il est aisé de les prendre, parce qu'à chaque entrée il y a des abeilles qui font la garde. Si un voleur a pu réussir à se cacher & à entrer, il lui devient impossible de s'envoler, parce qu'il se remplit outre mesure : il se roule devant la ruche, de sorte qu'il est difficile qu'il échappe. Les Rois ne se montrent hors la ruche que quand les jeunes essaims sortent, & dans ce moment les autres abeilles volent autour du Roi. Aux approches de cette sortie, on entend dans la ruche pendant quelques jours, une voix particuliere & qui n'a lieu qu'alors, & deux ou trois jours avant on voit quelques mouches, en petit nombre cependant, voler autour de la ruche : on n'a pas pu s'assurer encore si le Roi se trouvoit avec elles, l'observation ne seroit pas facile à faire. Toutes s'étant rassemblées elles s'envolent, & s'attachent chacune à la suite de leur Roi : mais s'il s'en rencontre une troupe peu nombreuse auprès d'une troupe considérable, celles qui étoient en moindre nombre passent dans l'autre troupe, & si le Roi qu'elles ont abandonné les suit, elles le font périr.

Voilà ce qui arrive quand les essaims quittent la ruche & vont s'établir ailleurs. Dans une ruche, chaque abeille a son ouvrage marqué : les unes recueillent le suc des fleurs, d'autres apportent de l'eau, d'autres dressent les gâteaux & les travaillent. Elles apportent de l'eau dans le tems où elles nourrissent leurs petits ; jamais elles ne se posent sur de la viande, jamais elles ne mangent rien de cuit. Il n'y a point de tems précis & marqué pour les abeilles, où elles commencent à travailler ; quand elles ont tout ce qui leur convient, & qu'elles se portent bien, c'est là le moment où elles se mettent à l'ouvrage, en quelque saison de l'année que ce soit, & si le tems est favorable, elles continuent leur travail sans interruption. L'abeille travaille toute jeune, trois jours après qu'elle a quitté sa dépouille, pourvu qu'elle ait de quoi se nourrir. Dans les intervalles de repos d'un essaim qui quitte la ruche, quelques abeilles se détachent pour aller prendre de la nourriture, & elles reviennent ensuite au gros de la troupe. Dans une ruche qui va bien, les mouches ne cessent d'avoir des petits que pendant les quarante jours seulement qui suivent le solstice d'hiver. Lorsque ces petits ont pris une certaine croissance, les abeilles leur mettent de la nourriture auprès d'eux & bouchent l'entrée de leur cellule ; la petite abeille ayant acquis des forces, perce ce qui couvre sa cellule & sort. Les bonnes abeilles nétoyent leur ruche des petits Animaux

αἱ μὲν χρησαὶ μέλιτται ἐκκαθαίρουσιν· αἱ δ' ἕτεραι, διὰ κακίαν, περιορῶσιν ἀπολλύμενα τὰ ἔργα.

Οταν δὲ τὰ κηρία ἐξαιρῶσιν οἱ μελιττουργοὶ, ἀπολείπουσιν αὐταῖς τροφὴν διὰ χειμῶνα· ἣ ἐὰν διαρκὴς ᾖ, σώζεται τὸ σμῆνος, εἰ δὲ μὴ, ἐὰν μὲν χειμὼν ᾖ, αὐτοῦ θνήσκουσιν· εὐδίων δ' οὐσῶν, ἐκλείπουσι τὸ σμῆνος. Τροφῇ δὲ χρῶνται μέλιτι καὶ θέρους καὶ χειμῶνος· τίθενται δὲ καὶ ἄλλην τροφὴν ἐμφερῆ τῷ κηρῷ τὴν σκληρότητα, ἣν ὀνομάζουσί τινες σανδαράκην.

Αδικοῦσι δ' αὐτὰς μάλιστα αἵ τε σφῆκες, καὶ οἱ αἰγίθαλοι καλούμενοι τὰ ὄρνεα· ἔτι δὲ χελιδὼν καὶ μέροψ. Θηρεύουσι δὲ καὶ οἱ τελματιαῖοι βάτραχοι πρὸς τὸ ὕδωρ αὐτὰς ἀπαντώσας· διόπερ καὶ τούτους οἱ μελισσεῖς ἐκ τῶν τελμάτων ἀφ' ὧν ὑδρεύονται αἱ μέλιτται θηρεύουσι, καὶ τὰς σφηκίας καὶ τὰς χελιδόνας τὰς πλησίον τῶν σμηνῶν ἐξαιροῦσι, καὶ τὰς τῶν μερόπων νεοττίας· οὐδὲν δὲ φεύγουσι τῶν ζώων, ἀλλ' ἢ ἑαυτά. Η δὲ μάχη αὐτῶν ἐστι καὶ πρὸς αὑτὰς, καὶ πρὸς τοὺς σφῆκας· καὶ ἔξω μὲν, οὔτε ἀλλήλας ἀδικοῦσιν, οὔτε τῶν ἄλλων οὐθέν· τὰ δὲ πρὸς τῷ σμήνει ἀποκτείνουσιν, ὧν ἂν κρατήσωσιν.

Αἱ δὲ τύπτουσαι ἀπόλλυνται, διὰ τὸ μὴ δύνασθαι τὸ κέντρον ἄνευ τοῦ ἐντέρου ἐξαιρεῖσθαι· πολλάκις γὰρ σώζεται ἐὰν ὁ πληγεὶς ἐπιμελῆται, καὶ τὸ κέντρον ἐκθλίψῃ· τὸ δὲ κέντρον ἀποβάλλουσα ἡ μέλιττα, ἀποθνήσκει. Κτείνουσι δὲ βάλλουσαι καὶ τὰ μεγάλα τῶν ζώων· καὶ ἵππος ἤδη ἀπέθανεν ὑπὸ μελιττῶν. Ηκιστα δὲ χαλεπαίνουσιν οἱ ἡγεμόνες καὶ τύπτουσι. Τὰς δ' ἀποθνησκούσας τῶν μελιττῶν ἐκκομίζουσιν· καὶ τἄλλα δὲ καθαριώτατόν ἐστι τὸ ζῶον· διὸ καὶ τὸ περίττωμα πολλάκις ἀφιᾶσιν ἀποπετόμεναι, διὰ τὸ δυσῶδες εἶναι. Δυσχεραίνουσι δ' ὥσπερ εἴρηται, ταῖς δυσώδεσιν ὀσμαῖς, καὶ ταῖς τῶν μύρων· διὸ καὶ τοὺς χρωμένους αὐταῖς τύπτουσιν. Απόλλυνται δὲ διά τε ἄλλα συμπτώματα, καὶ ὅταν οἱ ἡγεμόνες πολλοὶ γενόμενοι, ἕκαστος αὐτῶν μέρος

qui s'y engendrent, & qui nuisent à leurs gâteaux, la paresse des autres leur laisse voir tranquillement la destruction de leurs ouvrages.

Lorsque ceux qui ont soin des ruches enlevent les gâteaux, ils ont l'attention de laisser aux mouches de la nourriture pour l'hiver; si elle est en quantité suffisante, la ruche se conserve: autrement, si l'hiver est rude, les mouches meurent sur la place; s'il fait des jours doux & sereins, elles désertent la ruche. En été comme en hiver, c'est le miel qui est leur nourriture, néanmoins elles ont encore un autre aliment qui approche de la cire pour la dureté, & que quelques-uns appellent sandaraque.

Les Animaux les plus nuisibles aux abeilles, sont les guêpes & les oiseaux qu'on appelle mésanges, avec l'hirondelle & le mérops. Les grenouilles de marais les prennent aussi lorsqu'elles approchent de l'eau: c'est ce qui fait que ceux qui ont des ruches chassent les grenouilles des étangs où les abeilles vont prendre de l'eau, détruisent les guêpes, les hirondelles, & les nids de mérops. L'abeille ne fuit d'autre animal que l'abeille même. Elles se battent ou contre les guêpes, ou les unes contre les autres: non pas toutefois quand elles sont éloignées de la ruche: car alors elles ne s'attaquent point les unes les autres, & n'attaquent non plus aucun autre animal: mais dans le voisinage de la ruche, elles tuent tout ce dont elles peuvent se rendre maîtresses.

La piquure que fait l'abeille lui est mortelle à elle-même, par l'impossibilité de faire sortir son aiguillon sans faire sortir son intestin. Souvent celui qui a été piqué n'a point de mal lorsqu'il est attentif à faire sortir l'aiguillon; mais l'abeille qui a perdu son aiguillon périt toujours. Cet aiguillon suffit pour faire périr même de grands Animaux, on a eu, entre autres exemples, celui d'un cheval tué par des abeilles. Leurs Rois ne s'irritent point & ne piquent point. Les abeilles emportent dehors celles d'entre elles qui meurent dans la ruche, en général elles sont extrêmement propres, & elles font d'ordinaire leurs ordures en volant, parce que l'odeur en est forte. Toute odeur forte leur déplait, même celle des parfums; & elles piquent ceux qui en font usage. Outre les accidens dont j'ai parlé, il y en a plusieurs autres qui font périr les abeilles; lors par exemple que se trouvant plusieurs Rois, il se forme des

ἀπαγάγῃ. Ἀπόλλυσι δὲ καὶ ὁ φρῦνος τὰς μελίσσας· ἐπὶ τὰς εἰσόδους γὰρ ἐλθὼν φυσᾷ τε, καὶ ἐπιτηρῶν ἐκπετομένας, κατεσθίει. Ὑπὸ μὲν οὖν τῶν μελιττῶν οὐδὲν δύναται κακὸν πάσχειν· ὁ δ᾽ ἐπιμελούμενος τῶν σμηνῶν, κτείνει αὐτόν.

Τὸ δὲ γένος τὸ τῶν μελιττῶν, ὃ εἴρηται ὅτι πονηρόν τε καὶ τραχέα τὰ κηρία ἐργάζεται, εἰσί τινες τῶν μελιττουργῶν οἵ φασι μάλιστα τὰς νέας τοῦτο ποιεῖν δι᾽ ἀνεπιστημοσύνην· νέαι δ᾽ εἰσὶν αἱ ἐπέτειοι. Οὐχ ὁμοίως δὲ κεντοῦσιν αἱ νέαι· διὸ οἱ ἑσμοὶ φέρονται, εἰσὶ γὰρ νέων μελιττῶν. Ὅταν δ᾽ ἀπολίπῃ τὸ μέλι, τοὺς κηφῆνας ἐκβάλλουσι, καὶ παραβάλλουσι σῦκα καὶ τὰ γλυκέα αὐταῖς. Τῶν δὲ μελιττῶν αἱ μὲν πρεσβύτεραι τὰ εἴσω ἐργάζονται, καὶ δασεῖαί εἰσι διὰ τὸ εἴσω μένειν. Αἱ δὲ νέαι ἔξωθεν φέρουσι, καὶ εἰσὶ λειότεραι, καὶ τοὺς κηφῆνας ἀποκτείνουσιν ὅταν μηκέτι χωρῇ αὐταῖς ἐργαζομέναις· εἰσὶ γὰρ ἐν μυχῷ τοῦ σμήνους.

Ἤδη δὲ νοσήσαντός τινος σμήνους, ἦλθόν τινες ἐπ᾽ ἀλλότριον, καὶ μαχόμεναι, νικῶσαι ἐξέφερον τὸ μέλι· ἐπεὶ δ᾽ ἀπέκτεινεν ὁ μελιττουργὸς, οὕτως ἐπεξῄεσαν αἱ ἕτεραι, καὶ ἠμύνοντο, καὶ τὸν ἄνθρωπον οὐκ ἔτυπτον. Τὰ δὲ νοσήματα ἐμπίπτει μάλιστα εἰς τὰ εὐθηνοῦντα τῶν σμηνῶν, ὅ τε καλούμενος κλῆρος. Τοῦτο γίνεται ἐν τῷ ἐδάφει σκωλήκια μικρὰ, ἀφ᾽ αὐξομένων, ὥσπερ ἀράχνια κατίσχει τὸ σμῆνος ὅλον, καὶ σήπεται τὰ κηρία. Ἄλλο δὲ νόσημα οἷον ἀργία τις γίνεται τῶν μελιττῶν, καὶ δυσωδία τῶν σμηνῶν.

Νομὴ δὲ τῶν μελιττῶν τὸ θύμον· ἄμεινον δὲ τὸ λευκὸν τοῦ ἐρυθροῦ. Τόπος δ᾽, ἐν τῷ πνίγει μὴ ἀλεεινός· ἐν δὲ τῷ χειμῶνι, ἀλεεινός· νοσοῦσι δὲ μάλιστα, ὅταν ἐρυσιβώδη ἐργάζωνται ὕλην. Ὅταν δ᾽ ἄνεμος ᾖ μέγας, φέρουσι λίθον ἐφ᾽ ἑαυταῖς, ἕρμα πρὸς τὸ πνεῦμα. Πίνουσι δ᾽, ἂν μὲν ᾖ ποταμὸς πλησίον, οὐδαμόθεν ἄλλοθεν ἢ ἐντεῦθεν, θέμεναι τὸ ἄχθος πρῶτον· ἐὰν

partis opposés qui s'attachent à eux. La grenouille de haie est encore un des fléaux des abeilles : elle vient à l'entrée de la ruche, souffle, & attend qu'elles sortent en volant pour les attraper. Les abeilles ne peuvent rien contre elle; il faut que celui qui a soin de la ruche, la tue.

J'ai parlé d'une espece d'abeille moins bonne que les autres, dont les gâteaux sont irréguliers. Parmi les personnes qui s'occupent de cette partie ; quelques-unes prétendent que, ce sont particuliérement les jeunes abeilles qui travaillent de cette maniere défectueuse, & elles l'attribuent à leur inexpérience. On appelle jeunes abeilles, celles de l'année. Elles ne piquent pas comme les autres, & on ne risque rien en portant les nouveaux essaims ; parce qu'ils sont formés de jeunes abeilles. Quand le miel manque, on chasse les bourdons, & on donne aux abeilles des figues & autres choses sucrées. Les abeilles les plus vieilles travaillent dans l'intérieur de la ruche, & elles sont plus velues parce qu'elles ne sortent point : les jeunes, qui sortent, sont plus lisses. La place pour travailler leur manquant, elles tuent les bourdons, car ils occupent le fonds de la ruche.

Voici un fait qu'on rapporte. Les abeilles d'une ruche étant venues attaquer celles d'un autre ruche qui étoient malades, eurent l'avantage, & elles emportoient le miel. Le gardien de la ruche survint & se mit à les tuer; alors les abeilles qui avoient été vaincues sortirent & se défendirent de nouveau sans faire aucun mal à l'homme. Les maladies auxquelles une ruche, d'ailleurs en bon état, est sujette, sont premiérement celle qu'on appelle le *clerus*. On donne ce nom à de petits vers qui se forment dans le plancher de la ruche ; quand ils ont pris croissance, ils remplissent toute la ruche comme de fils d'araignée, & la pourriture se met dans les gâteaux. Une seconde maladie est une sorte de léthargie qui tombe sur les abeilles ; la ruche contracte alors une mauvaise odeur.

Les abeilles vont butiner sur le thym : le blanc est préférable pour elles au rouge. Pour le lieu où on établit la ruche, il faut en choisir un qui ne soit pas trop chaud dans les grandes chaleurs, mais qui au contraire soit chaud en hiver. Les abeilles sont plus sujettes à devenir malades lorsque les fleurs sur lesquelles elles font leur récolte sont attaquées de la rouille. Dans les grands vents, elles portent une petite pierre pour se lester. S'il y a de l'eau

δὲ μὴ ᾖ, ἑτέρωθεν πίνουσαι ἀνεμοῦσι τὸ μέλι, καὶ εὐθὺς ἐπ' ἔργον πορεύονται. Τῆς δὲ τοῦ μέλιτος ἐργασίας διττοὶ καιροί εἰσιν, ἔαρ καὶ μετόπωρον. Ἥδιον δὲ καὶ λευκότερον, καὶ τὸ σύνολον κάλλιόν ἐστι τὸ ἐαρινὸν τοῦ μετοπωρινοῦ. Μέλι δὲ κάλλιον γίνεται ἐκ νέου κηροῦ καὶ ἐκ μόσχου. Τὸ δὲ πυῤῥὸν, αἴσχιον, διὰ τὸ κηρίον· διαφθείρεται γὰρ ὥσπερ οἶνος, ὑπ' ἀγγείου· διὸ δεῖ ξηραίνειν αὐτό· ὅταν δὲ τὸ θύμον ἀνθῇ, καὶ πλῆρες γίνηται τὸ κηρίον, οὐ πήγνυται τοῦτο. Ἐστι δὲ καλὸν τὸ χρυσοειδές· τὸ δὲ λευκὸν, οὐκ ἐκ θύμου εἰλικρινοῦς· ἀγαθὸν δὲ πρὸς ὀφθαλμοὺς καὶ ἕλκη. Τοῦ δὲ μέλιτος τὸ μὲν ἀσθενὲς, ἀεὶ ἄνω ἐπιπολάζει· ὃ δεῖ ἀφαιρεῖν· τὸ δὲ καθαρὸν, κάτω.

Ὅταν δὲ ἡ ὕλη ἀνθῇ, κηρὸν ἐργάζονται, διὸ ἐκ τοῦ σίμβλου τότε ἐξαιρετέον τὸν κηρόν· ἐργάζονται γὰρ εὐθύς. Ἀφ' ὧν δὲ φέρουσιν, ἐστι τάδε· ἀτρακτυλλὶς, μελίλωτον, ἀσφόδελος, μυῤῥίνη, φλεὼς, ἄγνος, σπάρτον. Ὅταν δὲ τὸ θύμον ἐργάζωνται, ὕδωρ μιγνύουσι πρὶν τὸ κηρίον καταλείφειν. Ἀφοδεύουσι δὲ μέλιτται πᾶσαι, ἢ ἀποπετόμεναι, ὥσπερ εἴρηται, ἢ εἰς ἓν κηρίον. Εἰσὶ δὲ αἱ μικραὶ, ἐργάτιδες μᾶλλον τῶν μεγάλων, ὥσπερ εἴρηται. Ἔχουσι δὲ τὰ πτερὰ περιτετριμμένα, καὶ χροιὰν μέλαιναν, καὶ ἐπικεκαυμέναι· αἱ δὲ φαναὶ καὶ λαμπραὶ, ὥσπερ γυναῖκες, ἀργαί,

Δοκοῦσι δὲ χαίρειν αἱ μέλιτται καὶ τῷ κρότῳ· διὸ καὶ κροτοῦντές φασιν ἀθροίζειν αὐτὰς εἰς τὸ σμῆνος, ὀστράκοις τε καὶ ψόφοις· ἐστι μέντοι ἄδηλον ὅλως εἴτε ἀκούουσιν, εἴτε μὴ, καὶ πότερον, ἢ δι' ἡδονὴν τοῦτο ποιοῦσιν, ἢ διὰ φόβον. Ἐξελαύνουσι δὲ καὶ τὰς ἀργὰς αἱ μέλιτται, καὶ τὰς μὴ φειδομένας. Διῄρωνται δὲ τὰ ἔργα, ὥσπερ εἴρηται πρότερον· καὶ αἱ μὲν, κηρία ἐργάζονται· αἱ δὲ τὸ μέλι, αἱ δὲ ἐριθάκην. Καὶ αἱ μὲν πλάττουσι κηρία· αἱ δὲ ὕδωρ φέρουσιν εἰς τοὺς κυττάρους, καὶ μιγνύουσι τῷ μέλιτι· αἱ δὲ ἐπ' ἔργον ἔρχονται. Ὀρθριαι δὲ σιωπῶσιν, ἕως

courante

courante auprès de la ruche, c'eſt là ſeulement qu'elles vont boire, & elles commencent par dépoſer leur charge avant de boire. A défaut d'eau courante, elles prennent de l'eau d'ailleurs, ne jettent leur miel qu'après avoir bu, & retournent auſſi-tôt à l'ouvrage. Il y a deux ſaiſons particuliérement propres à la fabrication du miel ; le printems & l'automne, mais le miel du printems, eſt plus doux, plus blanc, & en tout, meilleur que celui de l'automne. Le plus excellent eſt celui que les abeilles dépoſent dans des cellules neuves, & qu'elles font avec des plantes nouvelles, le miel roux eſt d'une qualité inférieure, à cauſe de la nature des cellules, qui gâtent le miel, de même qu'un vaſe peut gâter le vin qu'on y verſe. Le reméde eſt de faire ſécher ce miel. Si les cellules ſont emplies dans le tems où le thym eſt en fleur, le miel ne ſe durcit point. Le bon miel eſt le miel couleur d'or; le miel blanc n'a pas été fait avec du thym pur, mais on le préfere pour les yeux & pour les ulceres. La partie la plus foible du miel monte toujours ſur la ſurface, & il faut l'enlever ; la partie la plus pure deſcend en bas.

Les abeilles travaillent à la cire lorſque les arbres ſont en fleur, il faut alors tailler les ruches, parce qu'elles font auſſi-tôt de nouvelle cire. Les plantes ſur leſquelles elles la récoltent ſont l'atractylis, le melilot, l'aſphodele, le mirthe, le phleos, l'agnus, & le ſparte. Quand elles employent le thym, elles portent de l'eau dans la cellule, avant de la fermer. Toutes les abeilles font leurs ordures dehors en volant, comme je l'ai déja dit, ou bien dans un même gâteau deſtiné pour cela. Les petites abeilles, c'eſt encore une remarque déja faite, travaillent avec plus d'ardeur que les grandes. Elles ont les aîles froiſſées ; elles ſont noires & comme brûlées par le ſoleil. Celles qui ſont belles & polies ſont, comme les femmes, fainéantes.

Les abeilles ſemblent aimer le bruit, & d'après cette obſervation on prétend qu'en faiſant du bruit, & en frappant des vaſes de terre, on raſſemble l'eſſaim dans la ruche. Au reſte il eſt peu certain ſi elles entendent ou non ; on ne ſçait ſi c'eſt le plaiſir ou la peur qui les porte à ſe réunir au bruit. Les abeilles chaſſent de leur ruche celles qui ne font rien & celles qui conſomment trop. J'ai déja obſervé qu'elles ſe diſtribuent l'ouvrage entre elles, les unes travaillant la cire, d'autres le miel, d'autres l'érithaque ; tandis qu'on en voit d'autres encore conſtruire les gâteaux, porter de l'eau dans les cellules, tremper le miel, & ſortir pour travailler. Le matin elles gardent le ſilence juſqu'à ce que l'une d'elles

ἂν μία ἐγείρῃ βομβήσασα δὶς ἢ τρίς. Τότε δ' ἐπ' ἔργον ἀθρόαι πέτονται· καὶ ἐλθοῦσαι πάλιν, θορυβοῦσι τὸ πρῶτον· κατὰ μικρὸν δ' ἧττον, ἕως ἂν μία περιπετομένη βομβήσῃ, ὥσπερ σημαίνουσα καθεύδειν· εἶτ' ἐξαπίνης σιωπῶσι.

Διαγινώσκεται δὲ ἰσχύειν τὸ σμῆνος, τῷ ψόφον εἶναι πολὺν, καὶ κινεῖσθαι ἐξιούσας καὶ εἰσιούσας. Τότε γὰρ σχαδόνας ἐργάζονται. Πονοῦσι μάλιστα δ' ἡνίκ' ἂν ἄρχωνται ἐκ τοῦ χειμῶνος. Αργότεραι δὲ γίνονται, ἐὰν πλεῖον τις καταλίπῃ μέλι βλίττων· ἀλλὰ δεῖ πρὸς τὸ πλῆθος καταλείπειν τὰ κηρία. Αθυμοτέρως δ' ἐργάζονται, ἐὰν ἔλαττω καταλειφθῇ. Αργότεραι δὲ γίνονται κἂν μέγα τὸ κυψέλλιον ᾖ· ἀθυμότερον γὰρ πονοῦσι. Βλίττεται δὲ σμῆνος χοᾶ, ἢ τρία ἡμίχοα· τὰ δὲ εὐθενοῦντα, δύο χοᾶς, ἢ πέντε ἡμίχοα· τρεῖς δὲ χοᾶς, ὀλίγα.

Πολέμιον δὲ πρόβατον ταῖς μελίτταις, καὶ οἱ σφῆκες, ὥσπερ εἴρηται καὶ πρότερον. Θηρεύουσι δὲ τούτους καὶ οἱ μελιττουργοὶ, λοπάδα τιθέντες, καὶ κρέας εἰς αὐτὴν ἐμβάλλοντες· ὅταν δὲ πολλοὶ ἐμπίπτωσιν, εἰς τὸ πῦρ πωμάσαντες ἐπιτιθέασι. Κηφῆνες δ' ὀλίγοι ἐνόντες ὠφελοῦσι τὸ σμῆνος· ἐργατικωτέρας γὰρ ποιοῦσι τὰς μελίττας.

Προγινώσκουσι δὲ καὶ χειμῶνα καὶ ὕδωρ αἱ μέλιτται. Σημεῖον δέ· οὐκ ἀποπέτονται γὰρ, ἀλλ' ἐν τῇ εὐδίᾳ αὐτοῦ ἀνειλοῦνται· ᾧ γινώσκουσιν οἱ μελιττουργοὶ, ὅτι χειμῶνα προσδέχονται. Οταν δὲ κρέμωνται ἐξ ἀλλήλων ἐν τῷ σμήνει, σημεῖον γίνεται τοῦτο ὅτι ἀπολείψει τὸ σμῆνος· ἀλλὰ καταφυσῶσι τὸ σμῆνος οἴνῳ γλυκεῖ οἱ μελιττουργοὶ, ὅταν τοῦτ' αἴσθωνται. Φυτεύειν δὲ συμφέρει περὶ τὰ σμήνη, ἀχράδας, κυάμους, πόαν μηδικὴν, συρίαν, ὤχρους, μυῤῥίνην, μήκωνα, ἕρπυλλον, ἀμυγδαλῆν. Γινώσκουσι δέ τινες τῶν μελιττουργῶν τὰς ἑαυτῶν, ἐν τῷ νομῷ ἀλεύρῳ καταπάσσαντες. Εὰν δ' ἔαρ ὄψιον γένηται, ἢ αὐχμὸς, καὶ ὅταν ἐρυσίβη, ἔλαττον ἐργάζονται αἱ μέλιτται τὸν γόνον.

les éveille par deux ou trois bourdonnemens. Alors elles volent en foule au travail. En rentrant, elles font un bruit qui diminue peu à peu : l'une d'elles vole autour de la ruche en bourdonnant, comme pour donner le signal du repos ; à l'instant elles se taisent.

On connoît qu'un essaim se porte bien, quand il fait beaucoup de bruit, & que la sortie & la rentrée des abeilles sont accompagnées de grands mouvemens : c'est alors qu'elles font leurs petits. Le plus grand travail des abeilles est lorsqu'elles commencent après l'hiver passé. Trop de miel laissé dans la ruche les rend paresseuses : il faut des gâteaux à proportion du nombre des abeilles, car on les décourageroit aussi en ne leur en laissant pas assez. On les rend encore paresseuses si on leur donne une ruche trop grande ; elles travaillent alors avec moins de cœur. Une ruche peut fournir une mesure ou une mesure & demi de miel : si elle est bonne, on en tirera deux mesures ou deux mesures & demi, rarement peut-on en tirer trois mesures.

J'ai déja remarqué que les guêpes étoient un animal ennemi des abeilles. Pour prendre les guêpes, ceux qui ont soin des abeilles mettent auprès de la ruche un plat avec de la viande, les guêpes se jettent dessus en grand nombre ; alors on couvre le plat & on le porte sur le feu. Les bourdons sont utiles dans une ruche quand ils y sont en petit nombre : ils rendent les abeilles plus ardentes à l'ouvrage.

Les abeilles connoissent d'avance la pluie & le mauvais tems : la preuve, c'est qu'elles ne s'écartent point alors de la ruche ; elles se rassemblent sous l'abri qu'elle leur forme. C'est un signe pour ceux qui ont soin d'elles, qu'elles appréhendent du mauvais tems. Quand on voit les abeilles suspendues à la ruche, accrochées les unes aux autres, c'est une annonce que l'essaim va abandonner la ruche : pour l'y fixer on souffle sur l'essaim du vin sucré. Il est bon de garnir les environs des ruches, de poiriers, de feves, de luzerne, d'herbe de Syrie, d'arbeille, de mirthe, de pavots, de serpolet & d'amandiers. Il y a des personnes qui, pour reconnoître leurs abeilles, les poudrent de farine tandis qu'elles sont à picorer. Si le printems est tardif, si la saison est séche & chaude, ou s'il tombe de la rouille, les abeilles font moins de petits.

XLI. Τὰ μὲν οὖν περὶ τὰς μελίτlας, τοῦτον ἔχει τὸν τρόπον.

65. Τῶν δὲ σφηκῶν ἐστὶ δύο γένη. Τούτων δ' οἱ μὲν ἄγριοι, σπάνιοι· γίνονται δ' ἐν τοῖς ὄρεσι, καὶ τίκτουσιν οὐ κατὰ γῆς, ἀλλ' ἐν ταῖς δρυσί. Τὴν μὲν μορφὴν μείζους, καὶ προμηκέστεροι, καὶ μελαγχρῶτες τῶν ἑτέρων μᾶλλον· ποικίλοι δὲ, καὶ ἔγκεντροι πάντες, καὶ ἀλκιμώτεροι, καὶ τὸ πλῆγμα ὀδυνηρότερον αὐτῶν ἢ ἐκείνων· καὶ γὰρ τὸ κέντρον ἀνάλογον μεῖζον τὸ τούτων. Οὗτοι μὲν οὖν διετίζουσι, καὶ ὁρῶνται τοῦ χειμῶνος ἐκ δρυῶν κοπτομένων ἐκπετόμενοι. Ζῶσι δὲ φωλεύοντες τὸν χειμῶνα· ἡ δὲ διατριβὴ ἐν τοῖς ξύλοις.

Εἰσὶ δ' αὐτῶν οἱ μὲν μῆτραι, οἱ δ' ἐργάται, ὥσπερ καὶ τῶν ἡμερωτέρων. Τίς δ' ἡ φύσις τοῦ ἐργάτου καὶ τῆς μήτρας, ἐπὶ τῶν ἡμερωτέρων ἔσται δῆλον. Ἔστι γὰρ καὶ τῶν ἡμέρων σφηκῶν δύο γένη· οἱ μὲν ἡγεμόνες, οὓς καλοῦσι μήτρας· οἱ δ' ἐργάται. Εἰσὶ δὲ μείζους οἱ ἡγεμόνες πολὺ, καὶ πρᾳότεροι. Καὶ οἱ μὲν ἐργάται, οὐ διετίζουσιν, ἀλλὰ πάντες ἀποθνήσκουσιν, ὅταν χειμὼν ἐπιπέσῃ. Φανερὸν δ' ἐστὶ τοῦτο. Τοῦ γὰρ χειμῶνος ἀρχομένου μὲν, μωροὶ γίνονται οἱ ἐργάται αὐτῶν, περὶ τροπὰς δὲ οὐ φαίνονται ὅλως. Οἱ δ' ἡγεμόνες, οἱ καλούμενοι μῆτραι, ὁρῶνται δι' ὅλου τοῦ χειμῶνος, καὶ κατὰ γῆς φωλεύουσιν. Ἀροῦντες γὰρ καὶ σκάπτοντες ἐν τῷ χειμῶνι μήτρας μὲν πολλοὶ ἑωράκασιν, ἐργάτας δ' οὐδείς.

Ἡ δὲ γένεσις τῶν σφηκῶν ἐστὶ τοιάδε. Οἱ ἡγεμόνες, ὅταν λάβωσι τόπον εὔσκοπον, ἐπιόντος τοῦ θέρους, πλάττονται τὰ κηρία, καὶ συνίστανται οὓς καλοῦσι σφηκῶνας τοὺς μικροὺς, οἷον τετραθύρους, ἢ ἐγγὺς τούτων, ἐν οἷς σφῆκες γίνονται, καὶ οὐ μῆτραι. Τούτων δὲ αὐξηθέντων, πάλιν μετὰ τούτους ἄλλους μείζους συνίστανται· καὶ πάλιν, τούτων αὐξηθέντων, ἑτέρους· ὥστε, τοῦ μετοπώρου τελευτῶντος, πλεῖστα καὶ μέγιστα γίνεσθαι σφηκία, ἐν οἷς ὁ ἡγεμὼν, ἡ καλουμένη μήτρα, οὐκέτι σφῆκας γεννᾷ,

Des abeilles je passe aux guêpes: on en distingue deux genres. Les unes sont XLI.
sauvages, & rares. Elles habitent les montagnes & ne se reproduisent point 65.
sous terre, mais dans des troncs de chênes. On les reconnoît à ce qu'elles sont plus grosses, plus allongées & plus noires que les autres : toutes sont tachetées, armées intérieurement d'un aiguillon ; elles sont aussi plus fortes que les autres, & leur piquure est plus douloureuse, leur aiguillon étant proportionellement plus grand que celui des autres. Ces guêpes vivent deux ans ; on en a vu l'hiver s'envoler de dedans des chênes qu'on abattoit. Elles demeurent cachées l'hiver, & elles le passent dans des arbres.

On distingue parmi ces guêpes, comme parmi celles qui ne sont pas sauvages, des meres & des ouvrieres : mais c'est d'après l'examen des guêpes non sauvages, que je vais expliquer la différente nature des unes & des autres, puisque ces deux sortes de guêpes se trouvent également parmi les guêpes non sauvages. On y distingue les chefs qui sont les mêmes que les meres, & les ouvrieres. Les premieres sont beaucoup plus grosses que les autres & elles sont en même tems plus douces. Les guêpes ouvrieres ne vivent pas deux ans ; toutes meurent à l'entrée de l'hiver. C'est un fait dont on peut aisément se convaincre. Au commencement de l'hiver on voit ces guêpes perdre, pour ainsi-dire, le sens : vers le solstice elles ne paroissent plus du tout : au lieu que les chefs, ou meres, se trouvent pendant tout l'hiver cachés sous la terre. Les Laboureurs & autres qui fouillent la terre en hiver, rencontrent souvent de ces guêpes meres, jamais de guêpes ouvrieres.

La reproduction des guêpes se fait de cette maniere. A l'entrée de l'été, lorsque les chefs ont découvert un lieu convenable, ils forment des gâteaux & construisent ce que l'on appelle des guêpiers. Ces guêpiers sont petits, ont quatre cellules ou à peu près, & c'est là que se forment des guêpes ouvrieres, & non des guêpes meres. Ces nouvelles guêpes ayant pris leur accroissement, les chefs font de nouveaux guêpiers plus grands, & après ceux-ci, les guêpes étant toujours augmentées, elles en font d'autres encore, de sorte que les guêpiers se trouvent & plus nombreux & plus grands à la fin de l'automne que dans tout autre tems : alors ce n'est plus des ouvrieres, mais des meres qu'y produit

ἀλλὰ μήτρας. Γίνονται δ' οὗτοι ἄνω ἐπὶ τοῦ σφηκίου ἐπιπολῆς μείζους σκώληκες ἐν θυρίσι συνεχέσι τέτταρσιν, ἢ μικρῷ πλείοσιν· παραπλησίως δ' ὥσπερ ἐν τοῖς κηρίοις τὰ τῶν σφηκῶν. Επειδὰν δὲ γένωνται οἱ ἐργάται σφῆκες ἐν τοῖς κηρίοις, οὐκέτι οἱ ἡγεμόνες ἐργάζονται, ἀλλ' οἱ ἐργάται αὐτοῖς τὴν τροφὴν εἰσφέρουσι. Φανερὸν δ' ἐστὶ τοῦτο, τῷ μηκέτι τοὺς ἡγεμόνας ἐκπέτεσθαι τῶν ἐργατῶν, ἀλλ' ἔνδον μένοντας ἡσυχάζειν. Πότερον δ' οἱ περυσινοὶ ἡγεμόνες, ὅταν νέους ποιήσωσιν ἡγεμόνας, ἀποθνήσκουσι ἀπὸ τῶν νέων σφηκῶν, καὶ τοῦτ' ὁμοίως συμβαίνει, ἢ καὶ πλείω χρόνον δύνανται ζῆν, οὐδὲν ὦπταί πω· οὔτε γῆρας, οὔτε μήτρας, οὔτε τῶν ἀγρίων σφηκῶν, οὐδείς πω ὦπται ἑωρακὼς, οὐδ' ἄλλο τοιοῦτο πάθος οὐδέν.

Εστι δ' ἡ μήτρα πλατὺ καὶ βαρὺ, καὶ παχύτερον καὶ μεῖζον τοῦ σφηκὸς, καὶ πρὸς τὴν πτῆσιν, διὰ τὸ βάρος, οὐκ ἄγαν ἰσχυρὸν, οὐδὲ δύνανται ἐπὶ πολὺ πέτεσθαι. Διὸ καὶ κάθηνται ἐν τοῖς σφηκίοις ἀεὶ, συμπλάττουσαι καὶ διοικοῦσαι τὰ ἔνδον. Εν δὲ τοῖς πλείστοις σφηκίοις, ἔνεισιν αἱ μῆτραι καλούμεναι· ἀμφισβητεῖται δὲ, πότερον ἔγκεντροί εἰσιν, ἢ ἄκεντροι. Εοίκασι δ' ὥσπερ οἱ τῶν μελιττῶν ἡγεμόνες ἔχειν μὲν, οὐκ ἐξιέναι δὲ, οὐδὲ βάλλειν. Τῶν δὲ σφηκῶν οἱ μὲν, ἄκεντροί εἰσιν, ὥσπερ κηφῆνες· οἱ δ' ἔχουσι κέντρον. Εἰσὶ δ' οἱ ἄκεντροι ἐλάττους καὶ ἀμβλυώτεροι, καὶ οὐκ ἀμύνονται· οἱ δ' ἔχοντες τὰ κέντρα, μείζους καὶ ἄλκιμοι· καὶ καλοῦσι τούτους ἔνιοι μὲν ἄῤῥενας, τοὺς δ' ἀκέντρους θηλείας. Πρὸς δὲ τὸν χειμῶνα ἀποβάλλειν δοκοῦσι πολλοὶ τῶν ἐχόντων, τὰ κέντρα· αὐτόπται δ' οὔπω ἐντετυχήκαμεν.

Γίνονται δ' οἱ σφῆκες μᾶλλον ἐν τοῖς αὐχμοῖς, καὶ ἐν ταῖς χώραις ταῖς τραχείαις. Γίνονται δ' ὑπὸ γῆν, καὶ τὰ κηρία πλάττουσιν ἐκ φορυτοῦ καὶ γῆς, ἀπὸ μιᾶς ἀρχῆς ἕκαστον, ὥσπερ ἀπὸ ῥίζης. Τροφῇ δὲ χρῶνται μὲν καὶ ἀπ' ἀνθῶν τινῶν καὶ καρπῶν· τὴν δὲ πλείστην, ἀπὸ ζωοφαγίας. Ωχευμένοι δ' εἰσὶν ὀχευόμενοι

la guêpe chef ou mere. On les voit paroître comme de longs vers, en haut & sur la surface du guêpier, dans quatre rangs de cellules ou un peu plus. Il y a très-peu de différence entre leur formation & celle des autres guêpes dans l'intérieur du gâteau. Après la naissance des guêpes ouvrieres dans les gâteaux, les chefs ne travaillent plus, & ce sont les ouvrieres qui leur apportent leur nourriture. On fonde cette assertion sur ce qu'on ne voit plus les chefs des ouvrieres voler dehors, ils restent tranquilles au dedans. On ne sait pas encore si les chefs de l'année précédente sont tués par les jeunes guêpes ouvrieres, après qu'ils ont donné l'être à de nouveaux chefs, ou bien s'ils pourroient vivre plus long-tems : le premier est le plus vraisemblable. On n'a point non plus d'observation, soit sur la vieillesse, soit sur aucun autre des accidens auxquels peuvent être sujets ou la mere guêpe, ou les guêpes sauvages.

La guêpe mere est large & pésante ; elle est plus épaisse & plus grosse que l'abeille ouvriere, le poids de son corps lui ôte de la force & ne lui permet pas de voler au loin. Aussi ces guêpes demeurent-elles toujours dans le guêpier où elles travaillent & arrangent l'intérieur. Dans la plupart des guêpiers on trouve de ces guêpes que l'on nomme meres, mais on doute si elles ont un aiguillon ou si elles n'en ont point. A juger par comparaison avec les chefs des abeilles, elles auroient un aiguillon mais qui ne sortiroit point & qu'elles ne darderoient point. Entre les guêpes il en est qui, comme les bourdons, n'ont point d'aiguillon & d'autres qui en ont. Les premieres sont petites, foibles, & ne sont pas capables de se battre ; les autres sont grandes & fortes. Quelques-uns donnent aux guêpes qui ont un aiguillon, le nom de mâles, aux autres le nom de femelles. Avant l'hiver la plupart des guêpes qui ont un aiguillon semblent le perdre : mais sur ce fait nous n'avons encore aucun témoin oculaire.

Les guêpes naissent sur-tout dans les tems d'une chaleur seche, & dans les pays incultes. Elles naissent sous terre ; elles forment leurs gâteaux avec de la terre & d'autres matieres qu'elles rassemblent : ils partent tous d'un même point qui en est comme la racine. Ces insectes tirent leur nourriture de quelques fleurs & de quelques fruits, mais principalement de la chair des Animaux. On a vu quelquefois des guêpes non sauvages, accouplées, mais on n'a pas découvert si celles qui étoient ainsi accouplées avoient l'une & l'autre un aiguillon,

καὶ τῶν ἄλλων τινές. Εἰ δ' ἄκεντροι ἄμφω, ἢ κέντρα ἔχοντες, ἢ ὁ μὲν, ὁ δ' οὔ, οὐκ ὦπται. Καὶ τῶν ἀγρίων ὀχευόμενοι ὠμμένοι, καὶ ὁ ἕτερος ἔχων κέντρον· περὶ θατέρου δὲ οὐκ ὤφθη.

Ο δὲ γόνος, οὐ δοκεῖ ἐκ τοῦ τόκου γίνεσθαι, ἀλλ' εὐθὺς μείζων εἶναι ἢ ὡς σφηκὸς τόκος. Εὰν δὲ λάβῃ τις τῶν ποδῶν σφῆκα, καὶ τοῖς πτεροῖς ἐᾷ βομβεῖν, προσπέτονται οἱ ἄκεντροι· οἱ δὲ τὰ κέντρα ἔχοντες, οὐ προσπέτονται· ᾧ τινες τεκμηρίῳ χρῶνται, ὡς τῶν μὲν ἀῤῥένων ὄντων, τῶν δὲ θηλειῶν. Αλίσκονται δ' ἐν τοῖς σπηλαίοις τοῦ χειμῶνος, καὶ ἔχοντες ἔνιοι κέντρα, καὶ οὐκ ἔχοντες. Εργάζονται δ' οἱ μὲν μικρὰ καὶ ὀλίγα σφηκία, οἱ δὲ, πολλὰ καὶ μεγάλα.

Αἱ δὲ μῆτραι καλούμεναι ἁλίσκονται προϊούσης τῆς ὥρας, αἱ πολλαὶ περὶ τὰς πτελέας· συλλέγουσι γὰρ τὰ γλίσχρα καὶ τὰ κομμιώδη. Γεγένηται δέ που μητρῶν πλῆθος, γενομένων τῷ ἔμπροσθεν ἔτει πολλῶν σφηκῶν, καὶ ἐπομβρίας. Θηρεύονται δὲ περὶ τοὺς κρημνοὺς, καὶ τὰ ῥήγματα τῆς γῆς τὰ εἰς ὀρθόν· καὶ πάντες φαίνονται ἔχοντες κέντρα. Τὰ μὲν οὖν περὶ τοὺς σφῆκας τοῦτον ἔχει τὸν τρόπον.

XLII, 66. Αἱ δ' ἀνθρίναι ζῶσι μὲν οὐκ ἀνθολογούμεναι ὥσπερ αἱ μέλιτται, ἀλλὰ τὰ πολλὰ σαρκοφαγοῦσαι· διὸ καὶ περὶ τὴν κόπρον διατρίβουσι. Θηρεύουσι γὰρ τὰς μεγάλας μυίας, καὶ ὅταν καταλάβωσιν, ἀφελοῦσαι τὴν κεφαλὴν, ἀποπέτονται φέρουσαι τὸ σῶμα τὸ λοιπόν. Απτονται δὲ καὶ τῆς γλυκείας ὀπώρας. Τροφῇ μὲν οὖν χρῶνται τῇ εἰρημένῃ· ἔχουσι δ' ἡγεμόνα ὥσπερ αἱ μέλιτται καὶ οἱ σφῆκες· καὶ οἱ ἡγεμόνες οὗτοι μείζους εἰσὶ τῷ μεγέθει κατὰ λόγον πρὸς τὰς ἀνθρίνας, ἢ ὁ τῶν σφηκῶν πρὸς τοὺς σφῆκας, καὶ ὁ τῶν μελιττῶν πρὸς τὰς μελίττας. Διατρίβει δὲ εἴσω καὶ οὗτος, ὥσπερ ὁ τῶν σφηκῶν ἡγεμών. Ποιοῦσι δὲ τὸ σμῆνος ὑπὸ γῆν αἱ ἀνθρίναι, ἐκφέρουσαι τὴν γῆν, ὥσπερ οἱ μύρμηκες. Αφεσμὸς γὰρ, ὥσπερ τῶν μελιττῶν, οὐ γίνεται οὔτε τούτων,

ou n'en avoient point, ou bien si l'une des deux seulement en avoit. On a vu aussi des guêpes sauvages s'accoupler : l'une d'elles avoit un aiguillon, mais on n'a pas vu celui de l'autre.

Les petites guêpes ne paroissent point venir par les voies ordinaires de la génération, elles sont dès les premiers momens trop grosses pour qu'on les croie provenues d'une autre guêpe. Si on prend une guêpe par les pattes & qu'on lui laisse les aîles libres pour bourdonner, les autres guêpes qui n'ont point d'aiguillon s'approchent d'elles, mais on ne voit pas venir celles qui sont armées d'aiguillon : c'est, suivant quelques-uns, un signe que les premieres sont mâles & les autres femelles. On en prend l'hiver, dans les cavernes, dont les unes ont un aiguillon & les autres n'en ont point. Les guêpiers des unes sont petits, & ont peu de cellules; les guêpiers des autres sont grands & ont beaucoup de cellules.

Les guêpes meres se prennent lorsque la saison est avancée, sur-tout auprès des ormes. Elles y recueillent des substances visqueuses & gluantes. On a remarqué un grand nombre de guêpes meres une année dont la précédente avoit donné beaucoup de guêpes ouvrieres, & avoit été fort pluvieuse. On prend ces guêpes dans les lieux escarpés, & dans les gersures de la terre dont la direction est en droite ligne; elles paroissent avoir toutes des aiguillons. Voilà ce que nous avions à dire des guêpes.

Les frelons ne vont point chercher leur nourriture sur les fleurs, comme XLII.
les abeilles, mais ordinairement ils se nourrissent de chair, & c'est pourquoi 66.
ils fréquentent le fumier. Ils attrapent de grosses mouches; après s'en être saisis ils leur ôtent la tête, & s'envolent avec le surplus du corps. Quelquefois ils entament aussi des fruits sucrés. Telle est leur nourriture. Ils ont un chef comme les abeilles & les guêpes, mais parmi les frelons, le chef est plus gros proportionnellement aux autres, que ne l'est le chef des abeilles ou des guêpes comparé aux autres abeilles ou guêpes. Le chef des frelons vit en dedans de la ruche comme celui des guêpes. Les frelons fabriquent leur ruche sous terre, ils creusent la terre comme les fourmis. Mais dans cette espece & dans celle des guêpes, ils n'y a point de jettée d'essaim ainsi que chez les

ὔτε τῶν σφηκῶν. ἀλλ' ἀεὶ ἐπιγινόμεναι νεώτεραι αὐτοῦ μένουσι, καὶ τὸ σμῆνος μεῖζον ποιοῦσιν, ἐκφέρουσαι τὸν χοῦν. Γίνεται δὲ μεγάλα τὰ σμήνη· ἤδη γὰρ εὐθηνοῦντος σμήνους, κόφινοι τρεῖς καὶ τέτταρες ἐξῄρηνται κηρίων.

Οὐδὲ τροφὴν δ' ὥσπερ αἱ μέλιτται, ἀποτίθενται, ἀλλὰ φωλεύουσι τὸν χειμῶνα· αἱ δὲ πλεῖσται ἀποθνήσκουσιν· εἰ δὲ καὶ πᾶσαι, οὔπω δῆλον. Οἱ δὲ ἡγεμόνες πλείους ἑνὸς οὐ γίνονται ἐν τοῖς σμήνεσιν, ὥσπερ ἐν τοῖς τῶν μελιττῶν, οἳ διασπῶσι τὰ σμήνη τῶν μελιττῶν. Οταν δὲ πλανηθῶσί τινες τῶν ἀνθρηνῶν ἀπὸ τοῦ σμήνους, συστραφεῖσαι πρός τινα ὕλην, ποιοῦσι κηρία, οἷάπερ καὶ ὁρᾶται ἐπιπολῆς ὄντα πολλάκις· καὶ ἐν τούτῳ ἐργάζονται ἡγεμόνα ἕνα. Οὗτος δὲ ἐπὰν ἐξέλθῃ καὶ αὐξήσῃ, ἀπάγει λαβὼν, καὶ κατοικίζει μεθ' αὐτῶν εἰς σμῆνος. Περὶ δὲ ὀχείας τῶν ἀνθρηνῶν, οὐδὲν ὦπταί πω, οὐδὲ πόθεν γίνεται ὁ γόνος. Εν μὲν οὖν ταῖς μελίτταις ἄκεντροι εἰσὶ καὶ οἱ κηφῆνες καὶ οἱ βασιλεῖς, καὶ τῶν σφηκῶν ἔνιοι ἄκεντροί εἰσι, καθάπερ εἴρηται πρότερον· αἱ δ' ἀνθρῆναι πᾶσαι φαίνονται κέντρον ἔχουσαι· ἐπισκεπτέον δὲ μᾶλλον καὶ περὶ τοῦ ἡγεμόνος, εἰ κέντρον ἔχει ἢ μή.

XLIII. Οἱ δὲ βομβύλιοι τίκτουσιν ὑπὸ πέτρας ἐπ' αὐτῆς τῆς γῆς,
67. θυρίσι δυσὶν, ἢ μικρῷ πλείοσιν· εὑρίσκεται δὲ καὶ μέλιτος ἀρχὴ φαύλου τινὸς ἐν τούτοις.

Η δὲ τενθρηδὼν, προσεμφερὴς μέν ἐστι τῇ ἀνθρήνῃ, ποικίλον δὲ, καὶ τὸ πλάτος ὅμοιον τῇ μελίττῃ. Λίχνον δὲ ὂν, καὶ πρὸς τὰ μαγειρεῖα, καὶ τοὺς ἰχθύας, καὶ τὴν τοιαύτην ἀπόλαυσιν καταμόνας προσπέταται. Εκτίκτει δὲ κατὰ γῆς, ὥσπερ καὶ οἱ σφῆκες. Πολύχουν δ' ἐστὶ, καὶ τὸ τενθρήνιον αὐτῶν πολὺ μεῖζον ἢ τῶν σφηκῶν, καὶ προμηκέστερον.

Τὰ μὲν οὖν περὶ τὴν τῶν μελιττῶν, καὶ τῶν σφηκῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων ἐργασίαν καὶ τὸν βίον, τοῦτον ἔχει τὸν τρόπον.

abeilles. Les nouveaux frelons qui se joignent aux anciens, demeurent dans le même lieu, & ils aggrandissent la ruche en continuant à emporter la terre dehors. Ces ruches deviennent considérables. On a vu en tirer quand elles avoient réussi, trois & quatre paniers de gâteaux.

Les frelons ne font point de magasin de nourriture comme les abeilles, mais ils se cachent pendant l'hiver, & la plupart meurent alors. On ne sait pas cependant encore s'ils périssent tous. Il n'y a dans leurs ruches qu'un seul chef, & non, comme parmi les abeilles, plusieurs chefs qui puissent conduire les essaims qui sortent. Si quelques frelons s'écartent de la ruche & s'égarent, ils se rassemblent aux environs de quelque arbre & y construisent leurs gâteaux, tels qu'on en voit souvent, qui ne sont point enterrés ; ils y font aussi un seul chef, qui étant éclos & ayant pris croissance, emmene les autres frelons, & va habiter avec eux dans une ruche. A l'égard de l'accouplement des frelons on n'a encore rien découvert, non plus que d'où viennent leurs petits. Parmi les abeilles, les bourdons & les Rois sont sans aiguillon : de même parmi les guêpes il y en a quelques-unes qui sont sans aiguillon comme je l'ai dit plus haut : les frelons paroissent avoir tous un aiguillon, il reste cependant à examiner plus particuliérement si leur chef a un aiguillon ou non.

Le bombyle se reproduit sur la terre nue, sous une pierre : il fait deux cellules XLIII.
ou un peu plus ; on y trouve une sorte de miel mauvais & qui n'est que 67.
commencé.

Le grugeur ressemble assez au frelon, cependant la variété de ses couleurs 68.
& la largeur de son corps le rapprochent de l'abeille. Cet insecte est friand, il vole seul à seul vers les cuisines, pour y chercher le poisson & autre pâture de ce genre. Il se reproduit sous terre comme les guêpes & fait de grandes excavations ; sa retraite est beaucoup plus grande que celle des guêpes, & plus allongée.

Après avoir parlé des travaux & de la maniere de vivre des abeilles, des guê- XLIV.
pes & autres insectes de même genre, considérons les différences de caractere 69.

Περὶ δὲ τὰ ἤθη τῶν ζώων, ὥσπερ εἴρηται καὶ πρότερον, ἔστι θεωρῆσαι διαφορὰς, πρὸς ἀνδρίαν μὲν μάλιστα καὶ δειλίαν, ἔπειτα καὶ πρὸς πρᾳότητα καὶ ἀγριότητα, καὶ αὐτῶν τῶν ἀγρίων. Καὶ γὰρ ὁ λέων ἐν τῇ βρώσει μὲν χαλεπώτατός ἐστι, μὴ πεινῶν δὲ καὶ βεβρωκὼς, πρᾳότατος. Εστι δὲ τὸ ἦθος οὐχ ὑπόπτης οὐδενὸς, οὐδ' ὑφορώμενος οὐδέν· πρός τε τὰ σύντροφα καὶ συνήθη σφόδρα φιλοπαίγμων, καὶ στερκτικός. Εν δὲ ταῖς θήραις ὁρώμενος μὲν, οὐδέποτε φεύγει, οὐδὲ πτήσσει· ἀλλ' ἐὰν καὶ διὰ πλῆθος ἀναγκασθῇ τῶν θηρευόντων ὑπαγαγεῖν, βάδην ὑποχωρεῖ καὶ κατὰ σκέλος, βραχὺ ἐπιστρεφόμενος. Εὰν μέντοι ἐπιλάβηται δασέος, φεύγει ταχέως, ἕως ἂν καταστῇ εἰς φανερόν· τότε δὲ πάλιν ὑπάγει βάδην. Εν δὲ τοῖς ψιλοῖς ἐὰν ποτ' ἀναγκασθῇ εἰς φανερὸν διὰ τὸ πλῆθος φεύγειν, τρέχει κατατείνας, καὶ οὐ πηδᾷ· τὸ δὲ δρόμημα συνεχῶς, ὥσπερ κυνός ἐστι κατατεταμένον. Διώκων μέντοι ἐπιῤῥίπτει ἑαυτὸν, ὅταν ᾖ πλησίον. Αληθῆ δὲ καὶ τὰ λεγόμενα, τό τε φοβεῖσθαι μάλιστα τὸ πῦρ, ὥσπερ καὶ Ομηρος ἐποίησε.

Ιλιάδ. λ. ς. φνγ'. Καιόμεναί τε δεταὶ, τάς τε τρεῖ ἐσσύμενός περ.

Καὶ τὸ, τὸν βάλλοντα τηρήσαντα ἵεσθαι ἐπὶ τοῦτον. Εὰν δέ τις βάλλῃ μὲν, μὴ ἐνοχλῇ δὲ αὐτὸν, ἐὰν ἐπαΐξας συλλάβῃ, ἀδικεῖ μὲν οὐδὲν, οὐδὲ βλάπτει τοῖς ὄνυξι· σείσας δὲ καὶ φοβήσας ἀφίησι πάλιν. Πρὸς δὲ τὰς πόλεις ἔρχονται μάλιστα, καὶ τοὺς ἀνθρώπους ἀδικοῦσιν, ὅταν γένωνται πρεσβῦται, διά τε τὸ γῆρας ἀδύνατοι θηρεύειν ὄντες, καὶ διὰ τὸ πεπονηκέναι τοὺς ὀδόντας. Ετη δὲ ζῶσι πολλά· καὶ ὁ ληφθεὶς λέων χωλὸς πολλοὺς τῶν ὀδόντων εἶχε κατεαγότας· ᾧ τεκμηρίῳ ἐχρῶντό τινες, ὅτι πολλὰ ἔτη ζῶσι· τοῦτο γὰρ οὐκ ἂν συμπέσῃ, μὴ οὐ πολυχρονίῳ ὄντι.

Γένη δ' ἐστὶ λεόντων δύο. Τούτων δ' ἐστὶ τὸ μὲν στρογγυλώτερον, καὶ οὐλοτριχώτερον, δειλότερον· τὸ δὲ μακρότερον, καὶ εὔτριχον, ἀνδρειότερον. Φεύγουσι δ' ἐνίοτε κατατείναντες τὴν

que nous avons déja fait remarquer entre les Animaux, principalement celles qui ont rapport au courage ou à la lâcheté, à la douceur ou à la férocité: différences qui se font remarquer même dans les Animaux féroces. Le lion, par exemple, est inabordable lorsqu'il mange, mais quand il a mangé & qu'il n'a plus faim, il est très doux. Son caractere n'est ni inquiet, ni soupçonneux; il aime même à jouer avec les Animaux qu'une éducation commune, ou de même mœurs, rapprochent de lui, & il les caresse. Quand on le chasse & qu'on l'a découvert, il ne fuit point, il ne paroît point effrayé. La multitude des chasseurs l'oblige-t-elle à s'éloigner, il se retire lentement pas à pas, & bientôt il se retourne. S'il rencontre des lieux fourrés, il fuit avec vîtesse jusqu'à ce qu'il se retrouve dans une plaine, où il ne marche plus que lentement. La multitude des chasseurs le forçant à fuir même dans les lieux nuds & découverts, il court d'un trait & sans bondir: sa course est continue & égale comme celle du chien. Mais lorsqu'il poursuit sa proie il s'élance dessus quand il en est près. On a raison de dire qu'il redoute principalement le feu, d'où vient ce vers d'Homere: les brandons ardens qui, dans sa fureur même, le font trembler; il est vrai encore qu'il distingue celui qui l'a frappé, pour se jetter sur lui. Si on le tire sans le blesser, le lion tâche de saisir celui qui l'a tiré, & sans lui faire d'autre mal ni le déchirer avec ses ongles, il se contente de le secouer & de lui faire peur, après quoi il le laisse aller. C'est principalement lorsque les lions deviennent vieux qu'ils s'approchent des villes & attaquent les hommes; la vieillesse les rendant inhabiles à la chasse, & d'ailleurs leurs dents leur faisant mal. La vie du lion est longue: on en prit un qui étant boiteux avoit un grand nombre de dents cassées, d'où on concluoit que cet accident n'ayant pu lui arriver que parce qu'il étoit fort âgé, il falloit que les lions vécussent un grand nombre d'années.

Iliad. Liv. II. v. 553.

On distingue deux especes de lions, l'un plus rond, dont la criniere est plus crépue & qui est plus timide: l'autre qui a le corps plus allongé & une belle criniere: celui-ci est plus courageux. Quelquefois le lion a, en fuyant,

χέρκον, ὥσπερ κύνες. Ἤδη δ' ὦπται λέων καὶ ὗι ἐπιτίθεσθαι
μέλλων, ὡς εἶδεν ἀντιφρίξαντα, φεύγων. Ἔστι δὲ πρὸς τὰς
πληγὰς, εἰς μὲν τὰ κοῖλα, ἀσθενής· κατὰ δὲ τὸ ἄλλο σῶμα
δέχεται πολλὰς, καὶ κεφαλὴν ἔχει ἰσχυράν. Ὅσα δ' ἂν δάκῃ,
ἢ τοῖς ὄνυξιν ἑλκώσῃ, ἐκ τῶν ἑλκῶν ἰχῶρες ῥέουσιν ὠχροὶ
σφόδρα, καὶ ἐκ τῶν ἐπιδέσμων καὶ σπόγγων ὑπ' οὐδενὸς δυνάμενοι
ἐκκλύζεσθαι. Ἡ δὲ θεραπεία ἡ αὐτὴ καὶ τῶν κυνοδήκτων ἑλκῶν.

70. Φιλάνθρωποι δ' εἰσὶ καὶ οἱ θῶες καὶ οὔτ' ἀδικοῦσι τοὺς ἀν-
θρώπους, οὔτε φοβοῦνται σφόδρα· πολεμοῦσι δὲ τοῖς κυσὶ καὶ
τοῖς λέουσι· διὸ ἐν τῷ αὐτῷ τόπῳ οὐ γίνονται. Ἄριστοι δ' οἱ
μικροὶ τῶν θώων. Γένη δ' αὐτῶν οἱ μέν φασιν εἶναι δύο, οἱ δὲ
τρία· οὐ δοκεῖ δὲ πλείω εἶναι, ἀλλ' ὥσπερ τῶν ἰχθύων καὶ τῶν
ὀρνέων καὶ τῶν τετραπόδων ἔνια, καὶ οἱ θῶες μεταβάλλουσι κατὰ
τὰς ὥρας, καὶ τό τε χρῶμα ἕτερον τοῦ χειμῶνος καὶ τοῦ θέρους
ἴσχουσι. Καὶ τοῦ μὲν θέρους λεῖοι γίνονται, τοῦ δὲ χειμῶνος δασεῖς.

XLV. Ὁ δὲ βόνασσος γίνεται μὲν ἐν τῇ Παιονίᾳ, ἐν τῷ ὄρει τῷ
71. Μεσσαπίῳ, ὃ ὁρίζει τὴν Παιονικὴν καὶ τὴν Μαιδικὴν χώραν·
καλοῦσι δὲ αὐτὸν οἱ Παίονες μόναπον. Τὸ δὲ μέγεθός ἐστιν
ἡλίκον ταῦρος, καὶ ἔστιν ὀγκωδέστερον ἢ βοῦς· οὐ γὰρ πρόμηκές
ἐστι. Τὸ δὲ δέρμα αὐτοῦ κατέχει εἰς ἑπτάκλινον ἀποταθέν· τὸ δὲ
ἄλλο εἶδος ὅμοιον βοΐ, πλὴν χαίτην ἔχει μέχρι τῆς ἀκρωμίας,
ὥσπερ ἵππος. Μαλακωτέρα δὲ ἡ θρὶξ τῆς τοῦ ἵππου, καὶ προ-
σεσταλμένη μᾶλλον. Χρῶμα δ' ἔχει τοῦ τριχώματος ξανθόν·
βαθεῖα δὲ, καὶ μέχρι τῶν ὀφθαλμῶν καθήκουσα ἡ χαίτη ἐστὶ,
καὶ πυκνή· τὸ δὲ χρῶμα ἔχει μέσον τι τεφροῦ καὶ πυῤῥοῦ, οὐχ
οἷον αἱ παρῶαι ἵπποι καλούμεναι, ἀλλ' αὐχμηροτέραν τὴν τρίχα,
κάτωθεν ἐριώδη· μέλανες δ' ἢ πυῤῥοὶ σφόδρα οὐ γίνονται. Φωνὴν
δ' ὁμοίαν ἔχουσι βοΐ, κέρατα δὲ γαμψὰ, κεκαμμένα πρὸς
ἄλληλα, καὶ ἄχρηστα πρὸς τὸ ἀμύνεσθαι, τῷ μεγέθει σπιθα-
μιαῖα, ἢ μικρῷ μείζω· πάχος δ' ὥσπερ χωρῆσαι, μὴ πολλῷ

la queue tendue comme le chien. On a vu un lion prêt à attaquer un porc, s'enfuir à l'inſtant où le porc ſe mettoit en défenſe. Ses flancs ne ſont pas capables de ſupporter les coups, mais les autres parties de ſon corps y réſiſtent bien, & il a les os de la tête forts. Les plaies qui réſultent de ſa morſure, ou de l'impreſſion de ſes ongles, jettent un pus fort jaune, & malgré les bandages & les éponges on ne ſauroit parvenir à les nétoyer. Les remédes pour les guérir ſont les mêmes que pour la morſure du chien.

Le thos eſt un des amis de l'homme ; il ne l'attaque pas & ne le craint pas beaucoup. Il fait la guerre aux chiens & aux lions, c'eſt pourquoi ces Animaux ne ſe trouvent pas dans les mêmes lieux. Les petits thos ſont au-deſſus des autres. Quelques-uns prétendent qu'il y a deux eſpeces de thos, d'autres en comptent trois. Je croirois que ce ne ſont pas des eſpéces différentes, mais ſeulement que, comme il arrive à quelques poiſſons, oiſeaux & quadrupedes, le thos change ſelon les ſaiſons & que ſa couleur n'eſt pas la même en hiver & en été. Leur poil eſt plus épais en hiver, & il eſt plus clair en été. 70.

Le bonaſe ſe trouve dans la Pæonie ſur le mont Meſſapius, qui ſépare la Pæonie de la Mædie ; les Pæoniens appellent cet animal monape. Sa grandeur eſt celle d'un taureau, mais il eſt plus épais que le bœuf, ſa taille n'étant point allongée. Son cuir étendu pourroit ſervir de lit à ſept perſonnes à table. L'enſemble de ſa figure eſt aſſez ſemblable à celle du bœuf, ſi ce n'eſt qu'il a, comme le cheval, une criniere qui va juſqu'aux épaules ; mais les poils de cette criniere ſont plus mous & deſcendent plus bas que ceux du cheval. Le pelage du bonaſe eſt fauve, ſa criniere épaiſſe & aſſez longue pour deſcendre juſques ſur les yeux. Sa couleur tient à peu près le milieu entre le cendré & le roux, ſans être cependant telle que celle des chevaux qu'on appelle alezans ; leur poil eſt plus ſale, dans les parties baſſes il approche de la laine. On n'en voit point qui ſoient ou noirs, ou roux foncé. Leur voix reſſemble à celle du bœuf : leurs cornes ſont pliées & recourbées l'une vers l'autre, de ſorte qu'ils ne peuvent s'en ſervir pour frapper. La grandeur de chaque corne eſt d'une palme, ou un peu plus ; la groſſeur, telle qu'elles pourroient tenir près XLV. 71.

ἔλαττον, ἡμίχουν ἑκάτερον. Η δὲ μελανία καλὴ καὶ λιπαρὰ τῦ κέρατος. Τὸ δὲ προκόμιον καθήκει ἐπὶ τοὺς ὀφθαλμοὺς ὥστ' εἰς τὸ πλάγιον παρορᾶν μᾶλλον, ἢ εἰς τὸ πρόσθεν. Οδόντας δὲ τὺς ἄνωθεν ὐκ ἔχει, ὥσπερ οὐδὲ βοῦς οὐδ' ἄλλο τῶν κερατοφόρων ὐδέν· σκέλη δὲ δασέα· καὶ ἔστι διχηλόν. Κέρκον δ' ἐλάττω ἢ κατὰ τὸ μέγεθος, ὁμοίαν τῇ τῦ βοός. Καὶ ἀναῤῥίπτει τὴν κόνιν καὶ ὀρύττει ὥσπερ ταῦρος· δέρμα δ' ἔχει πρὸς τὰς πληγὰς ἰσχυρόν. Εστι δὲ ἡδύκρεων· διὸ καὶ θηρεύυσιν αὐτό· ὅταν δὲ πληγῇ, φεύγει, καὶ ὑπομένει ὅταν ἐξαδυνατῇ. Αμύνεται δὲ λακτίζων, καὶ προσαφοδεύων, καὶ εἰς τέτταρας ὀργυὰς ἀφ' ἑαυτοῦ ῥίπτων· ῥᾳδίως δὲ χρῆται τούτῳ, καὶ πολλάκις· καὶ ἐπικαίει, ὥστε ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. Τεταραγμένου μὲν οὖν καὶ φοβουμένου τοῦτο ποιεῖ ἡ κόπρος· ἀταράκτου δ' ὄντος, οὐκ ἐπικαίει. Η μὲν οὖν ἰδέα τῦ θηρίυ καὶ ἡ φύσις, τοιαύτη τίς ἐστιν. Οταν δ' ὥρα ᾖ τῦ τίκτειν, ἀθρόοι τίκτουσιν ἐν τοῖς ὄρεσι. Περὶ δὲ τὸν τόπον ἀφοδεύυσι πρότερον πρὶν τεκεῖν, καὶ ποιῦσιν οἷον περίβολον· προΐεται γὰρ τὸ θηρίον πολὺ τὸ πλῆθος τῦ περιττώματος.

XLVI. 72. Πάντων δὲ τιθασσόταλον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας· πολλὰ γὰρ καὶ παιδεύεται καὶ ξυνίησιν· ἐπεὶ καὶ προσκυνεῖν διδάσκονται τὸν βασιλέα. Εστι δὲ καὶ εὐαίσθητον, καὶ τῇ συνέσει τῇ ἄλλῃ ὑπερβάλλον. Ο δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιήσῃ, τούτου πάλιν οὐχ ἅπτεται. Ζῆν δέ φασι τὸν ἐλέφαντα, οἱ μὲν ἔτη διακόσια, οἱ δὲ ἑκατὸν εἴκοσι· καὶ τὴν θήλειαν ἴσα σχεδὸν τῷ ἄῤῥενι· ἀκμάζειν δὲ περὶ ἔτη ἑξήκοντα. Πρὸς δὲ τὺς χειμῶνας καὶ τὰ ψύχη δύσριγον εἶναι. Εστι δὲ τὸ ζῶον παραποτάμιον, ὐ ποτάμιον. Ποιεῖται δὲ καὶ διὰ τῦ ὕδατος τὴν πορείαν· ἕως τούτου δὲ προέρχεται ἕως ἂν ὁ μυκτὴρ ὑπερέχῃ αὐτῦ· ἀναφυσᾷ γὰρ διὰ τύτυ, καὶ τὴν ἀναπνοὴν ποιεῖται· νεῖν δὲ ὐ πάνυ δύναται, διὰ τὸ τῦ σώματος βάρος,

d'une

l'une demie mesure. Leur couleur est d'un beau noir luisant. Les crins qu'ils ont sur le front leur viennent jusques sur les yeux, de sorte qu'ils voyenr mieux de côté qu'en face. Ils n'ont comme le bœuf & tous les autres Animaux portant cornes, point de dents sur le devant de la machoire supérieure ; leurs jambes sont couvertes d'un poil épais, & leur corne fendue. Leur queue, d'ailleurs semblable à celle du bœuf, est petite par proportion à leur corps. Le bonase fait voler la poussiere & creuse la terre comme le taureau. Son cuir résiste bien aux coups. Sa chair est de bon goût, & c'est pour cette raison qu'on le chasse. Lorsqu'il a été frappé il fuit, & ne s'arrête que quand il n'en peut plus. Sa défense est de ruer, & de lâcher ses excrémens qu'il lance jusqu'à la distance de quatre brasses. C'est une défense aisée & il y recourt souvent : ces excrémens brûlent au point que les chiens qui en sont atteints perdent le poil, mais il n'ont cette qualité que quand l'animal est troublé & épouvanté : quand il est tranquille ses excrémens ne brûlent pas. Voilà l'idée qu'on peut se former du bonase & sa nature. Dans la saison où les femelles mettent bas, ces Animaux se rassemblent dans les montagnes pour cette opération ; mais auparavant ils couvrent de leurs excrémens les environs de leur retraite, & ils s'en font comme un rempart : cela leur est facile parce qu'ils en ont une grande abondance.

De tous les Animaux sauvages le plus doux & le plus facile à apprivoiser est l'éléphant. Il a de l'intelligence & on lui apprend beaucoup de choses ; XLVI. 72.
puisqu'on l'instruit même à se prosterner devant le Roi. Ses sens sont exquis & il surpasse les autres Animaux en compréhension. Lorsqu'il s'est accouplé avec une femelle & qu'elle a conçu, il ne la touche plus. L'éléphant vit, suivant les uns, deux cens ans, suivant d'autres cent vingt ans ; on ajoute que la femelle vit à peu près antant que le mâle : ces Animaux sont, dit-on, dans la force de l'âge environ à soixante ans. L'éléphant a de la peine à supporter l'hiver & le froid. Ce n'est point un animal de riviere, mais, si l'on peut s'exprimer ainsi, un animal de rivage. Il marche dans l'eau, & il s'y avance tant que sa trompe peut excéder au-dessus de l'eau ; cela lui est nécessaire pour souffler & respirer, la pésanteur de son corps ne lui permettant pas d'ailleurs de nager facilement.

XLVII. Οἱ δὲ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλὰ
73. κἂν βιάζηταί τις, οὐ θέλουσιν. Ἤδη γάρ ποτε ἐπειδὴ οὐκ ἦν ὀχεῖον, ὁ ἐπιμελητὴς περικαλύψας τὴν μητέρα, ἐφῆκε τὸν πῶλον. Ὡς δ' ὀχεύοντος ἀπέπεσε, τότε μὲν ἀπετέλεσε τὴν συνουσίαν μικρὸν δ' ὕστερον δακὼν τὸν καμηλίτην, ἀπέκτεινε. Λέγεται δὲ καὶ τῷ Σκυθῶν βασιλεῖ γενέσθαι ἵππον γενναίαν, ἐξ ἧς ἅπαντας ἀγαθοὺς γίνεσθαι τοὺς ἵππους. Τοῦτον ἐκ τοῦ ἀρίστου βουλόμενοι γεννῆσαι ἐκ τῆς μητρὸς, προσαγαγεῖν ἵν' ὀχεύσῃ· τὸν δὲ οὐκ ἐθέλειν· περικαλυφθείσης δὲ, λαθόντα ἀναβῆναι. Ὡς δ' ὀχεύσαντος, ἀπεκαλύφθη τὸ πρόσωπον τῆς ἵππου, ἰδόντα τὸν ἵππον φεύγειν, καὶ ῥίψαι ἑαυτὸν κατὰ τῶν κρημνῶν.

XLVIII Τῶν δὲ θαλασσίων πλεῖστα λέγεται σημεῖα περὶ τοὺς δελφῖνας
74. πραότητος καὶ ἡμερότητος· καὶ δὴ καὶ πρὸς παῖδας ἔρωτες καὶ ἐπιθυμίαι, καὶ περὶ Τάραντα καὶ Καρίαν, καὶ ἄλλους τόπους. Περὶ Καρίαν γὰρ ληφθέντος δελφῖνος, καὶ τραυματισθέντος, ἀθρόον ἐλθεῖν λέγεται πλῆθος δελφίνων εἰς τὸν λιμένα, μέχριπερ ὁ ἁλιεὺς ἀφῆκε· τότε δὲ πάλιν ἅμα πάντες ἀπῆλθον. Καὶ τοῖς μικροῖς δελφῖσιν ἀκολουθεῖ τις ἀεὶ τῶν μεγάλων, φυλακῆς χάριν. Ἤδη δ' ὤπται δελφίνων μεγάλων ἀγέλη ἅμα καὶ μικρῶν, τούτων δ' ἀπολειπόμενοί τινες δύο, μετ' οὐ πολὺ ἐφάνησαν, δελφινίσκον μικρὸν τεθνηκότα, ὅτ' εἰς βυθὸν φέροιτο, ὑπονέοντες καὶ μετεωρίζοντες τῷ νώτῳ, οἷον κατελεοῦντες, ὥστε μὴ καταβρωθῆναι ὑπό τινος τῶν ἄλλων θηρίων.

Λέγεται δὲ καὶ περὶ ταχυτῆτος ἄπιστα τοῦ ζώου. Ἁπάντων γὰρ δοκεῖ εἶναι ζώων τάχιστον, καὶ τῶν ἐνύδρων καὶ τῶν χερσαίων, καὶ ὑπεράλλονται δὲ πλοίων μεγάλων ἱστούς. Μάλιστα δὲ τοῦτ' αὐτοῖς συμβαίνει ὅταν διώκωσί τινα ἰχθὺν τροφῆς χάριν. Τότε γὰρ, ἐὰν ἀποφεύγῃ, συνακολουθοῦσιν εἰς βυθὸν, διὰ τὸ πεινῆν. Ὅταν δ' αὐτοῖς μακρὰ γίνηται ἡ ἀναστροφὴ, κατέχουσι τὸ πνεῦμα, ὥσπερ ἀναλογισάμενοι· καὶ συστρέψαντες ἑαυτοὺς,

Les chameaux ne couvrent point leur mere, & si on vouloit les y forcer XLVII.
ils s'y refuseroient. Un Chamelier qui manquoit d'étalon, voila une femelle, 73.
& amena pour la couvrir le chameau dont elle étoit mere. Celui-ci s'étant mis en devoir, le voile qui cachoit la mere se détacha : le chameau consomma l'accouplement, mais peu de tems après il tua par ses morsures le Chamelier. On rapporte de même qu'un Roi de Scythie ayant une jument de bonne race, qui n'avoit donné que des poulains excellens, désira avoir un poulain de cette jument, accouplée avec le meilleur des chevaux dont elle étoit mere. On l'amena pour la couvrir, mais il refusa. Alors on voila la jument & on la lui présenta sans qu'il la reconnut. Mais lorsqu'après être descendu, on découvrit la tête de la jument & qu'il l'eut reconnue, il prit la fuite & alla se jetter dans un précipice.

Dans le nombre des Animaux qui habitent la mer, on cite une multitude XLVIII.
de traits de douceur & de familiarité du dauphin ; des faits arrivés auprès, 74.
soit de Tarente, soit de la Carie, soit d'autres lieux, qui prouvent leur amour pour des jeunes gens, & le regret qu'ils ressentoient de leur perte. Sur les côtes de Carie on avoit pris un dauphin ; il étoit blessé : on dit qu'il vint dans le port une troupe de dauphins qui y resterent juqu'à ce que le pêcheur eut lâché sa prise ; ils s'en allerent alors tous avec lui. Les petits dauphins sont toujours suivis de quelque grand dauphin qui les garde. On apperçut un jour une troupe de dauphins grands & petits ; un peu plus loin venoient deux autres qui parurent peu de tems après ; ils soulevoient de leur dos & portoient en nageant un petit dauphin mort, qu'ils empêchoient d'aller à fonds, on eut dit qu'ils étoient touchés de son sort, & qu'ils ne vouloient pas le laisser manger par les poissons.

